Debere autem semper consignatam stare mentem imaginibus divinis, probat locus ille, ubi Deus ait: *Faciamus hominem ad similitudinem nostram.* De interiori loquens homine. Atenim forte dices: illic non agi de cogitationibus, ubi solùm dicitur: faciendum hominem ad imaginem Dei. Nam cogitatio non est homo. Audi ad hoc tibi respondentem Apostolum. *Licet is qui foris est noster homo corrumpitur: tamen is qui intus est renovatur de die in diem.* Vides duos ibi distingui homines, unum apparentem; alterum absconditum intra eum qui apparet. Habemus ergo hominem interiorem: & duplices quidam sumus: duorum autem istorum quis præcipuus homo sit, percontanti, verè respondebitur: esse illum utique qui intus est, potiùs quam exteriorem istum alterum. unde interior homo

Gen. I. 26.

II. Cor. IV. 16.

Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν· τὸν ἔσω ἄνθρωπον λέγει· ἀλλ' ἐρεῖς σύ, οὐ λέγει ἡμῖν περὶ λογισμῶν· τὸν ἄνθρωπον εἶπε κατ' εἰκόνα τοῦ Θεοῦ· ὁ δὲ λογισμὸς πῶς ἄνθρωπος; ἄκουε τοῦ Ἀποστόλου λέγοντος· εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ· δύο λοιπὸν γνωρίζων ἀνθρώπους, ἕνα τὸν φαινόμενον, καὶ ἕνα τὸν ὑποκεκρυμμένον ἐν τῷ φαινομένῳ· ἔστω τοίνυν ἔχομεν ἀνθρώπων, καὶ διπλοῖ τινες ἐσμέν· ἔστι τό γε ἀληθῶς λεγόμενον· ὅτι ἔνδον ἐσμὲν ἄνθρωποι· τὸ δὲ ἔξω, οὔ· ἀλλὰ τὸ τέλειον ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἔχοντες· ὥστε τὸ μὲν σῶμα ὄργανόν ἐστι τῆς τοῦ ἀνθρώπου ψυχῆς· ἄνθρωπος δὲ κυρίως τὸ κατ' αὐτὴν τὴν ψυχήν. ἔστι τῷ, ἀρξάτωσαν, τίνι ἄρχει, σώματι ἢ λογισμῷ; ἐν ψυχῇ τὸ ἀρχικὸν, ἢ ἐν σαρκί; ἀλλ' ἐν τίνι τὸ ἀρχικὸν ἢ ἐν τῇ τοῦ λογισμοῦ περιουσίᾳ; οὕτω γὰρ λείπεται τῇ δυνάμει τοῦ σώ-

ματος. ὁ ἄνθρωπος, τοσοῦτον περιέστι τῇ τοῦ λογισμοῦ κατασκευῇ· οὐχὶ, ποιήσωμεν κατ' εἰκόνα ἡμετέραν εἶπε, καὶ θυμούσθωσαν; οὐ γὰρ τὰ πάθη πρὸς τὴν τοῦ Θεοῦ εἰκόνα παρελήφθη, ἀλλ' ὁ λογισμὸς τῶν παθῶν δεσπότης. ἐδόθη σοι ἄρχειν τῶν ἀλόγων, ὥστε τοῦ ἀλόγου πάθους κρατεῖν· εἰ οὖν τῶν θηρίων ἄρχεις, διὰ τί τὰ ἔνδον ἀβασίλευτα καταλιμπάνεις; ἄρχων τίνων ἐκτίσθης, μὴ μέντοι λογισμοὺς ἔχε μετεώρους, μηδὲ κοῦφος ἔσο καὶ ἄστατος τῇ διανοίᾳ. ἄτοπον γὰρ εἰ τὰ μὲν πετόμενα ἔξω καταβάλλεις· σεαυτὸν δὲ κούφως ὥσπερ καὶ μετεώρως παραιρόμενον καταβάλλεσθαι. μὴ οὖν τυφωθῇς ἐπαρθεὶς ὑπὲρ ὃ εἶ, καὶ μείζω φρονήσῃς τῆς ἀνθρωπίνης φύσεως, μηδὲ ἐπαινούμενος φυσιωθῇς, μηδὲ δόξαν ἐπιζήτει, μηδὲ μέγα τι σεαυτὸν εἶναι νομίσῃς· ἐπεὶ ἔσῃ ὡς πτηνὸν ἀστεῖον ὧδε κἀκεῖσε περιφερόμενον. ἄρχε τῶν ἐν σοι λογισμῶν, ἵνα γένῃ πάντων κύριος. ἡ γὰρ δεδομένη ἡμῖν ἀρχὴ τῶν ζώων ῥυθμίζειν ἡμᾶς ὀφείλει πρὸς τὸ ἑαυτοὺς ἡμᾶς ἄρχειν.

propriè nos ſumus. Siquidem hominis perfectio in rationali animæ facultate ſita eſt. ita ut corpus inſtrumentum duntaxat & organum ſit Animæ humanæ: homo autem verè ac propriè cenſenda ſit Anima. quare quod de hominibus jam formatis Deus Creator dicit: *& præſint*, utri parti competere tradita hæc imperandi putanda poteſtas eſt; corpori. ne, an menti? In animâ-ne (inquam) reſidet principatus, an in carne? fatebitur profectò quiſquis ſapit, in mente ac ratione corporis rectrice Imperium hominis ſitum. Quantum enim multis homo animantibus robore corporis cedit, tantum cunctis antiſtat vigore mentis, & victrice virium omnium corporearum induſtriâ. Num igitur poſtquam dixit Deus: *faciamus homines ad imaginem*, adjunxit; non, *& præſint*: ſed: *& iraſcantur?* minimè. Nam ejuſmodi turbulentorum hominis motuum forma haud ſanè ad imitationem divinæ imaginis eſt effícta. uni enim Dominæ perturbationum menti, hæc ad Dei ſimilitudinem efformatio convenit. Datum tibi eſt irrationalibus præeſſe: itaque inſurgens in te ſine ratione motus ſubjectus tibi debet eſſe, ac tributâ iſtâ tibi autoritate temperandus. Quorſum enim beſtiis imperes, belluinis in te ortis obſequens motibus? Regnum tuum à teipſo in-

Gen. 1.

choa. in regnandi enim sorte conditus es. ne ergo in cogitationes te effundas temerè vagantes. ne levis, ne instabilis mente sis. Incongruum quippe est, habere te vim & artem dejiciendi cum libet in terram Aves per aërem volantes: te vero ipsum levitate vituperabili sublimem, & superbè cum præcipitij periculo eminentem nescire demittere quando convenit. Ne igitur inflеris exaltatus suprà quod es. ne supra humanæ naturæ tuæ modum magnificè de te sentias. ne intumescas laudibus tibi datis. ne gloriam quære. ne te magnum aliquid reputa. Si enim hæc agas, eris ut volucris instabilis hùc illùcque se temerè circumferens. Impera natis in te cogitationibus, ut sis Dominus universorum. Concessum quippe nobis in Animalia imperium dirigere nos debet ad nobis metipsis imperandum.

Vt enim oculo circumagenti se perpetuò; & nunc quidem in obliqua hinc & hinc circumvagante: mox ad alta, statimque ad infima, sese creberrimè vertente, introspicere liquidò, & perspicacissimè discernere propositam rem non licet. Sed intendere ipsum & ex proposito defigere totam in objecto aciem necesse est, ut veram & exactam ejus expressionem effingat: sic & mentem hominis innumeris solicitudinibus undique districtam impossibile est obtutum ita in veritate figere, ut eam liquidò cognoscat; ac paratam esse ad excipiendas corde informationes Magisterij divini; prohibentibus id ex pravâ consuetudine haustis præjudiciis va-

Ὡς γὰρ ὀφθαλμῷ περιαγομένῳ συνεχῶς· καὶ νῦν μὲν περὶ τὰ πλάγια περιφερομένῳ· νῦν δὲ πρὸς τὰ ἄνω κάτω πυκνὰ στρεφομένῳ, ἰδεῖν ἐναργῶς τὸ ὑποκείμενον οὐχ οἷόν τε· ἀλλὰ χρὴ προσερεῖσαι τὴν γνώμην τοῦ ὁρατοῦ εἰ μέλλει ἀληθῆ ποιεῖσθαι τὴν θέαν· οὕτω καὶ νοῦν ἀνθρώπου ὑπὸ μυρίων φροντίδων περιελκόμενον ἀμήχανον ἐναργῶς ἐνατενίσαι τῇ ἀληθείᾳ, καὶ ἕτοιμον εἶναι ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις, ἐκ πονηρᾶς συνηθείας προκαταχόντων αὐτὴν διδαγμάτων· ἄλλως γὰρ ἐγγραφῆναι ἐν τῇ ψυχῇ τὰ θεῖα οὐκ ἔστιν, μὴ τὰς ἐξ ἔθους προλήψεις αὐτοῦ ἐξελόντα· νοῦς γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ἀπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος ἐπάνεισι μὲν

πρὸς

πρὸς ἑαυτόν. διὰ ἑαυτοῦ δὲ πρὸς τὴν περὶ Θεοῦ ἔννοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει· μήτε πρὸς τροφῆς φροντίδα, μήτε πρὸς περιβολαίων μέριμναν, τὴν ψυχὴν καθελκόμενος· ἀλλὰ σχολὴν ἀπὸ τῶν γηΐνων φροντίδων ἄγων τὴν πᾶσαν ἑαυτοῦ σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν ἀποτίθησιν.

narum opinionum quibus se præoccupari passa est. Insculpi quippe animo Divina simulacra non aliter possunt, quàm priùs ex eo erasis deletisque præscriptionibus mundanis quibus antea consignata est, usu longo inveteratæ consuetudinis autoritatem velut irrefragabilem adeptis. è contrario mens non sparsa in res exteriores: neque per sensus in Mundum effusa; redit primum in seipsam: deinde per bonum sui usum ad Dei, invante ipso, cogitationem ascendit. Divinæque illius affusâ circum intusque illapsâ penitùs luce resplendens, ipsius quoque naturæ oblivionem capit; Animam haud sinens suam trahi vel ad necessarias alimenti ac indumentorum curas. Sed à terrenis plenè feriata solicitudinibus, studium colligens confert universum in unam acquisitionem bonorum æternorum.

Οὕτως ἐγὼ νοῶ τοῦ Δαβὶδ ἐκεῖνο τὸ πρὸς Θεὸν εἰρημένον. τὸ οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ὥσπερ γὰρ ὁ μνημονεύων Θεοῦ οὐ φοβεῖται τὸν ψυχικὸν θάνατον, οὐδὲ ἔστιν ἐν τῷ τοιούτῳ θάνατος· οὕτω τοῖς ἐν ἀμνηστίᾳ Θεοῦ τεθνήξασιν οὐκ ἔστιν ἐξομολόγησις καὶ διόρθωσις.


Sic ego intelligo illud Davidis dictum ad Deum: *Non est in morte qui memor sit tui: in Inferno autem quis confitebitur tibi?* Sicut enim qui memor est Dei non timet animæ mortem; neque in tali mors est: ita iis qui Dei oblivione sunt mortui, non est confessio nec correctio.

Οὐ τοσοῦτον δυσχερὲς εὑρεθήσεται τὸ ποταμοῦ ἀνακόψαι ὁρμὴν ἐπὶ τὰ κάτω μὴ φέρεσθαι, ὅσον νοῦ ῥύμην ἀναχαιτίσαι μὴ ἐν τοῖς ὁρωμένοις σκεδάννυσθαι πρὸς δὲ τὰ

Arduum quin hoc sit, non nego. Neque enim adeò difficile reperietur fluminis in pronum præcipitis lapsum sistere: ac mentis impetum re-

primere, ne per sensibilia spargatur: at ad superna, & suæ spirituali naturæ cognata, reflectatur: quoties iis se admovere orando voluerit. Prius quippe illud secundùm naturam est: hoc alterum præter naturam.

ἄνω καὶ συγγενῆ ὅτε βούλεται τῷ εὐχομένῳ συνάγεσθαι. καὶ τοῦτο μὲν κατὰ φύσιν· ἐκεῖνο δὲ παρὰ φύσιν καθέστηκεν.



OPUSCULUM II.

τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Περὶ φυλακῆς Καρδίας

λόγος.

ΚΕΦΑΛΑΙΟΝ Α.

Πῶς δύναται λέγειν ὁ τυχών· ὅτι νηστεύων, καὶ ξενιτεύων, καὶ ψωμίζων μου τὰ ὑπάρχοντα ἅγιός εἰμι; ἅγιός ἐστι. οὐ καθαρθεὶς τὸν ἔσω ἄνθρωπον; οὐ γὰρ ἡ ἀποχὴ τῶν κακῶν ἐστιν ἡ κάθαρσις· ἀλλ' ἡ κατὰ συνείδησιν τελεία κάθαρσις· εἴσελθε γὰρ ὦ οὗτος διὰ τῆς τῶν λογισμῶν σου ἐπιστάσεως πρὸς τὸν αἰχμάλωτον καὶ δοῦλον τῆς ἁμαρτίας νοῦν σου, καὶ ἴδε τὸν κατώτερον τοῦ νοῦ καὶ βαθύτερον τῶν

S. P. N.

MACARII MAGNI

De Custodia Cordis

Liber.

CAP. I.

QVOMODO potest dicere quilibet: Iejunans, peregrè degēs, divisis dispertitisque bonis meis omnibus, Sanctus sum? An ille Sanctus est qui nondum emundavit interiorem hominem? non enim qualiscumque abstinentia à malis: Sed quę intimos conscientiæ sinus omni inquinamento cum diligentia expurgat, perfecta demum

emundatio eſt. Ergo ingredere ſis heus tu, in laxa penitùs conclavia latè intùs vagantium cogitationum tuarum, ad tuam captivam & ſervam peccati mentem : & vide in intimo ejus fundo, ſub turbâ bullientium cogitationum, in ipſis, quæ animæ penetralia dicuntur, occultiſſimis conſcientiæ receſſibus, reptantem nidulantemque anguem qui te occidit, veneno ſuo infectis vitalibus animæ tuæ partibus ac membris. Abyſſus enim imperſcrutabilis cor eſt. & ſi quidem anquem iſtum interfeceris, tunc ſanè aude apud Deum gloriari de tuâ puritate. Sin minus : humiliatus, ut indigens & peccator, accede ad Deum & coràm illo procide orans, ut te ab occultis tuis mundet.

λογισμῶν, εἰς τὰ λεγόμενα ταμεῖα τῆς ψυχῆς σου τὸν ἕρποντα καὶ ἐμφωλεύοντα ὄφιν, τὸν φονεύσαντά σε διὰ τῶν καιριωτέρων τῆς ψυχῆς σου μελῶν. ἄβυσσος γάρ ἐστιν ἀκατάληπτος ἡ καρδία· καὶ ἐὰν τοῦτον φονεύσῃς, καύχησαι τῷ Θεῷ περὶ καθαρότητος. εἰ δὲ μή· ταπεινωθεὶς ὡς ἐνδεὴς καὶ ἁμαρτωλὸς ὑπὲρ τῶν κρυφίων σου δεόμενος τοῦ Θεοῦ.

CAP. II.

Vera mors intus in corde abſcondita eſt, quâ exterior homo, utcumque ſpirare videatur, revera eſt mortuus. Si quis igitur in illo arcano cordis à morte ad vitam tranſit, is verè vivit vitâ perenni, nec ampliùs moritur. Etſi enim talium quoque corpora, ſeparantibus ſe ſtatuto tempore ab iis animabus, certo ſpatio ſolvuntur & corruptioni ſubjacent : eadem tamen, ut pote Sanctificata, reſurgent cum glorià. Propterea ſomnum vocamus mortem Sanctorum.

ΚΕΦ Β.

Ὁ ἀληθινὸς θάνατος ἔνδοθεν ἐν τῇ καρδίᾳ κέκρυπται· καὶ ὁ ἄνθρωπος ἔξω νενέκρωται. εἴτις οὖν μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν ἐν τῷ κρυπτῷ, οὗτος ἀληθῶς εἰς τοὺς αἰῶνας ζῇ, καὶ οὐκ ἀποθνήσκει. ἀλλ' εἰ καὶ τὰ σώματα τῶν τοιούτων λύεται πρός καιρόν τινα· ἀλλ' οὖν ἡγιασμένα τέ εἰσι καὶ ἐγείρονται σὺν δόξῃ. διὸ καὶ ὕπνον λέγομεν τὴν κοίμησιν τῶν ἁγίων.

ΚΕΦ. Γ.

Ὅλος ὁ ἀγὼν τοῦ ἀντικειμένου οὗτός ἐστιν, ἵνα δυνηθῇ τὸν νοῦν ἡμῶν ἀπὸ τῆς περὶ Θεὸν μνήμης καὶ ἀγάπης ἐκσπάσαι, δελεάσμασι γηΐνοις χρώμενος, καὶ ἀπὸ τοῦ ὄντως καλοῦ παρεκτρέπων ἐπὶ τὰ δοκήσει, ἀλλ' οὐκ ὄντως καλά. πᾶν γὰρ ὃ ἐὰν ποιῇ ἄνθρωπος καλὸν, σπιλοῦν καὶ μιαίνειν ὁ πονηρὸς βούλεται· καὶ τὴν ἰδίαν ἐπεισπορὰν τῆς κενοδοξίας ἢ οἰήσεως τῇ ἐντολῇ συμμιγνύειν ἀγωνίζεται· ἵνα μὴ διὰ Θεὸν καὶ μόνον κατὰ προθυμίαν ἀγαθὴν τὸ γινόμενον ἀγαθὸν γένηται.

CAP. III.

Totum Adversarij certamen in eo desudat, ut queat mentem nostram à Dei recordatione & amore abstrahere, illecebras ad id adhibens terrenas, omnique arte satagens affectum sensumque nostros ab eo qui unus verè bonus est, ad ea quæ solâ opinione, non autem solidâ veritate, bona sunt, avertere. Quodcumque enim homo bonum facit, polluere ac contaminare improbus conatur. maximéque contendit cum quem videt legi observandæ operam dantem, operi bono aut vanæ gloriæ, aut tumidæ sui præfidentiæ labes inspergere. ne Dei solius causa, & ex bono veréque laudabili proposito, quod exteriùs bene fit, interiùs geratur.

ΚΕΦ. Δ.

Τί οὖν ἡμεῖς οἱ μηδόλως εἰς τὴν καρδίαν εἰσελθόντες, πῶς ἀρξώμεθα; διὰ νηστείας καὶ προσευχῆς ἔξω ἑστῶτες κρούωμεν, καθὼς ὁ Κύριος ἐκέλευσεν εἰπών· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· ἐὰν γὰρ ἐμμείνωμεν τῷ λόγῳ τοῦ Κυρίου, καὶ τῇ πτωχείᾳ καὶ τῷ ταπεινῷ φρονήματι, καὶ πάσαις τῶν ἐντολῶν ἀρετῶν νυκτὸς καὶ ἡμέρας κρούοντες εἰς τὴν πνευματικὴν τοῦ Κυρίου θύραν,

CAP. IV.

Quid igitur nos numquam ac nusquam soliti in cor nostrum ingredi, quomodo incipiemus? Per jejunium & orationem foris stantes pulsemus, prout Dominus jussit, dicens: *pulsate & aperietur vobis*. Si enim permanserimus in verbo Domini, & in sensu intimè demisso mendicitatis & vilitatis nostræ; ac simul exer-

Mat. vij. 7. Luc. xi. 9.

citio cunctarum, quæ per mandata imperantur, virtutum nocte ac die perseveraverimus pulsantes spiritualem Domini Ianuam, fieri poterit ut nobis contingat id quod quærimus. Per hanc enim Ianuam potest redemptionem assequi quicumque vult fugere à captivitate tenebrarum. Invenit quippe ibi libertatem animæ, & recipit congruas ipsi pacisque allatrices cogitationes; ac tandem eò usque valet provehi, ut possideat cœlestem Regem Christum.

δυνησόμεθα τυχεῖν τοῦ ζητουμένου. διὰ ταύτης γὰρ τῆς θύρας δύναται ἀπολυτρώσεως τυχεῖν πᾶς ὁ βουλόμενος φυγεῖν τοῦ σκότους. εὑρίσκει γὰρ ἐκεῖ τὴν ἐλευθερίαν τῆς ψυχῆς, καὶ ἀπολαμβάνει τοὺς λογισμοὺς αὐτῆς, καὶ κτᾶται τὸν ἐπουράνιον βασιλέα Χριστόν.

CAPUT V.

ΚΕΦ. Ε.

Quando Mens oblita fuerit mentalis & piæ tribulationis, tunc & mandatorum obliviscitur, & unde videtur currere, errat à viâ plana, & obliquis gyrans semitis ambulat. propter quod in feras incurrit bestias. Nisi enim orationis & spei laborem excidissemus, non utique peccavissemus. His porrò qui animo angustiantur dicit scriptura: *Fidelis Deus qui non patietur vos tentari supra id quod potestis.* Incorrectis autem *occurrent mala.*

1. Cor. x. 13.

Deut. xxxi. 29.

Ὅταν ὁ νοῦς ἐπιλάθηται τῆς νοερᾶς καὶ εὐσεβοῦς θλίψεως· τότε καὶ τῶν ἐντολῶν ἐπελάθετο· καὶ ὅθεν ἂν δοκῇ τρέχειν παρεκτρέπεται τῆς λείας, καὶ σκολιάζων πολιτεύεται· διὰ τοῦτο συναντᾷ θηρίοις· εἰ γὰρ μὴ τὸν τῆς εὐχῆς καὶ ἐλπίδος κόπον ἐκκόπτομεν, οὐκ ἂν ἐπλημμελήσαμεν. τοῖς γὰρ περὶ ψυχῆς θλιβομένοις λέγει ἡ γραφή· πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε. ἀπαιδεύτοις δὲ συναντήσει κακά.

CAPUT VI.

ΚΕΦ. Σ.

Sicut exteriores oculi longè prospiciunt spinas & præcipitiis invia loca; sic & acri

Ὥσπερ οἱ ἔξω ὀφθαλμοὶ βλέπουσι μακρόθεν τὰς ἀκάνθας, καὶ τοὺς κρημνούς· οὕτω καὶ ὁ περ-

βλεπτικὸς νοῦς προβλέπει ταχὺς ὢν τῆς ἀντικειμένης δυνάμεως τὰς τέχνας καὶ τὰς ἐπισκευάς· καὶ ἀσφαλίζεται τὴν ψυχὴν, ὡς ὀφθαλμὸς ὢν αὐτῆς.

providendi perspicaciâ prædita mens citò prospicit Adversariæ potestatis artes insidiasque, ac contra eas præmunit animam cujus est oculus.

ΚΕΦ. Ζ.

Ἀγῶνος πολλοῦ καὶ πόνου κρυπτοῦ καὶ ἀοράτου χρεία. λογισμῶν ἐρευνὰν ποιεῖσθαι· καὶ τὰ ἠθενηκότα τῆς ψυχῆς ἡμῶν αἰσθητήρια γυμνάζειν πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ· δεῖ πάντοτε καὶ ἀναζωπυρεῖν διὰ τῆς τοῦ νοὸς πρὸς Θεὸν ἐπείξεως τὰ ἐξηθενηκότα τῇ ψυχῇ μέλη· τοῦ νοῦ ἡμῶν προσκαλουμένου μετὰ τοῦ Κυρίου πάντοτε· ἵνα γένηται εἰς ἓν πνεῦμα κατὰ τὸ λόγιον Παύλου. τοῦτον δὲ τὸν κρυπτὸν ἀγῶνα καὶ μελέτην Κυρίου καὶ πόνον νυκτὸς καὶ ἡμέρας ἔχειν ἡμᾶς χρὴ εἰς πᾶσαν ἐπιτήδευσιν ἐντολῆς εἴτε εὐχομένων, εἴτε ἐσθιόντων, ἢ διακονούντων, ἢ πινόντων ἢ ἕτερόν τι ποιούντων· ἵνα πᾶν ὃ γίνεται ἀγαθὸν ἐπιτήδευμα εἰς δόξαν Θεοῦ γένηται. ἁγιάζεται γὰρ καὶ ἡ τῶν ἐντολῶν πᾶσα ἀκολουθία· καὶ καθαρῶς ὑφ' ἡμῶν ἐπιτελεῖται, διὰ τῆς ἀδιαλείπτου μνήμης τοῦ Θεοῦ, καὶ φόβου καὶ ἀγάπης τῆς πρὸς Θεόν· καὶ γινόμεθα ἐκτὸς ἀπὸ τοῦ μιαίνοντος τὰς ἐντολὰς τοῦ Θεοῦ.

CAPUT VII.

Contentione multâ: & labore, eoque occulto & invisibili, est opus in scrutatione cogitationum faciendâ: & in hebetatis Animæ nostræ sensibus acuendis, exercitandisque ad discretionem boni & mali. Oportet omninò undecumque exsuscitare; conatu Mentis ad Deum se incitantis, debilitata Animæ membra: Mente nostrâ cum Domini adjutorio semper nos provocante ad ei adhærendum, ut cum illo coalascamus in unum Spiritum 1. Cor.
juxtà oraculum Pauli. Hoc vj. 17.
autem certamen occultum, & meditationem Domini, ac laborem diù noctuque continuatum necesse est nos habere ad omnem studiosam executionem mandati præscribentis quippiam sive orantibus, sive comedentibus, sive Ministrantibus, sive bibentibus, sive aliud quidvis agentibus: ut quodcumque fit opus bonum in Dei Gloriam fiat. Sanctifi-

catur enim tota Series Mandatorum, & purè perfectéque à nobis executioni traditur per indesinentem memoriam Dei, perque timorem & caritatem erga Deum. per hæc enim nos disjungimus seorsimque locamus ab eo qui polluit mandata Dei.

CAPVT VIII.

Gen. xiv. Etenim Patriarcha Abraam è primitiis Sacerdoti Dei Melchisedech obtulit. & sic benedictionem accepit ab ipso. quid vero aliud per hæc adumbrat Spiritus? sublimiori nimirùm intelligentiâ significare vult, utique summa & intima, verticem & ossa totius concretionis naturæ nostræ; hoc est, ipsam mentem, ipsam conscientiam, ipsam dispositionem ipsam cogitationem, ipsam amandi potentiam, tamquam primitias totius nostri hominis, Deo ante omnia debere nos afferre, & velut Sacram cordis nostri offerre victimam, Primitias & summitates bonarum cogitationum, in eandem Dei memoriam & meditationem, omni aliâ occupatione sepositâ, vacantis. Et sic possumus quotidiè augmentum & profectúm accipere, adjuti à Divinâ gratiâ. Et onus justitiæ mandatorum leve nobis apparebit purè & irreprehensibili-

ΚΕΦ. Η.

Καὶ γὰρ ὁ πατριάρχης Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων τῷ Ἱερεῖ τοῦ Θεοῦ Μελχισεδὲκ προσενήνοχε· καὶ οὕτως τὴν εὐλογίαν ἐδέξατο παρ' αὐτοῦ. τί δ' ἄλλο διὰ τούτων αἰνίττεται τὸ πνεῦμα, ἀλλ' ἢ ὑψηλοτέραν θεωρίαν ἐμφαίνων πως τὰ ἄκρα καὶ τὰ ὀστᾶ τοῦ ὅλου συγκρίματος τῆς φύσεως ἡμῶν· τουτέστιν, αὐτὸν τὸν νοῦν, αὐτὴν τὴν συνείδησιν, αὐτὴν τὴν διάθεσιν, αὐτὸν τὸν λογισμὸν, αὐτὴν τῆς ψυχῆς τὴν ἀγαπητικὴν δύναμιν, τὴν ἀπαρχὴν τοῦ ὅλου ἡμῶν ἀνθρώπου τῷ Θεῷ πρότερον κομίζειν δεῖν πάντοτε, τὴν τῆς καρδίας ἱερὰν θυσίαν· τὰ ἀκροθίνια, καὶ τὰ ἄκρα τῶν ἀγαθῶν λογισμῶν εἰς τὴν αὐτὴν μνήμην καὶ μελέτην διὰ παντὸς ἀπασχολοῦντος· καὶ οὕτως δυνάμεθα ὁσημέραι τὴν αὔξησιν καὶ προκοπὴν λαμβάνειν βοηθούμενοι ὑπὸ τῆς θείας χάριτος, καὶ τὸ φορτίον τῆς δικαιοσύνης τῶν ἐντολῶν ἐλαφρὸν ἡμῖν καταφανήσεται, καθαρῶς καὶ ἀμώμως ταύτας ἐπιτελοῦντες, συνεργούμενοι ὑπ' αὐτοῦ τοῦ Κυρίου διὰ τῆς πρὸς αὐτὸν ἡμῶν πίστεως. περὶ

τῆς

δὲ τῆς φαινομένης ἀσκήσεως, καὶ ποῖον ἀγαθὸν ἐπιτήδευμα μεῖζον καὶ πρῶτον τυγχάνει, τοῦτο γινώσκετε, ἀγαπητοί, ὅτι ἀλλήλων πᾶσαι αἱ ἀρεταὶ κρέμανται, καὶ ἀλλήλων συνδέδενται· καὶ, ὥσπερ ἱερά τις πνευματικὴ ἅλυσις, μία ἀπὸ μιᾶς ἤρτηται· ἡ εὐχὴ ἀπὸ τῆς ἀγάπης· ἡ ἀγάπη ἀπὸ τῆς χαρᾶς· ἡ χαρὰ ἀπὸ τῆς πραότητος· ἡ πραότης ἀπὸ τῆς ταπεινώσεως. ἡ ταπείνωσις ἀπὸ τῆς διακονίας. ἡ διακονία ἀπὸ τῆς ἐλπίδος· ἡ ἐλπὶς ἀπὸ τῆς πίστεως· ἡ πίστις ἀπὸ τῆς ὑπακοῆς· ἡ ὑπακοὴ ἀπὸ τῆς ἁπλότητος. ὥσπερ δὲ τὸ ἐναντίον, ἐφ' ἑνὸς τὰ κακὰ ἐκδέδεται· τὸ μῖσος ἀπὸ τοῦ θυμοῦ· ὁ θυμὸς ἀπὸ ὑπερηφανίας· ἡ ὑπερηφανία ἀπὸ τῆς κενοδοξίας· ἡ κενοδοξία ἀπὸ τῆς ἀπιστίας· ἡ ἀπιστία ἀπὸ τῆς σκληροκαρδίας· ἡ σκληροκαρδία ἀπὸ τῆς ἀμελείας· ἡ ἀμέλεια ἀπὸ τῆς χαυνώσεως· ἡ χαύνωσις ἀπὸ τῆς ὀλιγωρείας· ἡ ὀλιγωρεία ἀπὸ τῆς ἀκηδίας· ἡ ἀκηδία ἀπὸ τῆς μικροψυχίας· ἡ μικροψυχία ἀπὸ τῆς φιληδονίας· καὶ τὰ λοιπὰ μέρη τῆς κακίας ἀλλήλων εἰσὶν ἐκκρεμάμενα. οὕτως ἐν τῷ ἀγαθῷ μέρει αἱ ἀρεταὶ εἰσὶν ἀπηρτημέναι· Κεφαλὴ δὲ πάσης ἀρετῆς καὶ κορυφὴ τῶν κατορθωμάτων ἐστὶν ἡ προσευχῆς προσκαρτέρησις. δι' ἧς καὶ τὰς λοιπὰς ἀρετὰς διὰ τῆς παρὰ Θεοῦ αἰτή-

ter ea implentibus, cooperante ad hoc nobis ipso Domino per nostram in ipsum fidem. De apparente vero exercitatione; & quodnam bonum studium majus inter omnia & primum, sit, illud scitote, Dilectissimi, hærere committique invicem virtutes omnes, & nexu pendere mutuo devinctas unam ab altera, sic constituentes sacram quamdam & spiritualem Catenam, in quâ Oratio Caritati, Caritas Gaudio, Gaudium Mausuetudini, Mansuetudo Humilitati, Humilitas Ministrationi, Ministratio Spei, Spes Fidei, Fides Obedientiæ, Obedientia Simplicitati, subjuncta insertáque connectitur. Sicut è contrario vitia quoque inter sese junguntur, & ex uno aliud germinat: Puta Odium ab ira, Ira à superbiâ, Superbiâ à vanâ gloriatione, vana gloriatio ab Infidelitate, Infidelitas à duritiè cordis, duritia cordis à negligentiâ, negligentia à languore, languor à non curantiâ, Non curantia à pigritiâ, Pigritia à pusillanimitate, Pusillanimitas ab amore voluptatis. & sic consequenter alia membra malitiæ suspensa nexaque

trahuntur invicem. Pari exemplo atque in Parte meliori virtutes ex se mutuò pendent.

σεως, ὁσημέραι κτήσασθαι δυνάμεθα.

Caput vero virtutis omnis & supremus vertex operum Laudabilium est constans in Oratione perseverantia; per quam reliquas quoque virtutes à Deo continuâ petitione impetratas adipisci quotidiè possumus.

CAPUT IX.

Nisi Humilitas & Simplicitas, & Benignitas exornet nos, habitus Orationis nihil nobis proderit. Non solùm autem id de oratione dicimus, sed & de quavis aliâ contentione laboriosâ, sive in Virginitatis custodiâ, in precibus recitandis, in aliâ qualibet ærumnosâ functione virtutis causâ susceptâ: nisi fructûs Caritatis, Pacis, Gaudij, Mansuetudinis, Humilitatis, Simplicitatis, Sinceritatisque, Fidei, Longanimitatis, exemptionis ab Invidiâ, in nobis ipsis reperiamus, in vanum & vacuum nostri labores resolvuntur. omnis enim ista exercitatio & contentio propter hos fructus suscipi debet. quare his fructibus non comparentibus intra nos, liquidò cernitur frustraneam & irritam illam omnem fuisse operationem. adeóque, qui sine his operantur, similes in die ju-

ΚΕΦ. Θ.

Ἐὰν μὴ ἡ ταπεινοφροσύνη, καὶ ἡ ἁπλότης, καὶ ἡ ἀγαθότης, κατακοσμήσῃ ἡμᾶς, τὸ σχῆμα τῆς εὐχῆς ἡμᾶς οὐδὲν ὠφελήσει. οὐ μόνον δὲ περὶ τῆς εὐχῆς λέγομεν, ἀλλὰ καὶ περὶ παντὸς καμάτου, ἢ πόνου, ἢ παρθενίας, ἢ εὐχῆς, ἢ οἱουδήποτε καμάτου καὶ ἐργασίας ἀρετῆς ἕνεκεν ἐπιτελουμένου· ἐὰν μὴ τοὺς καρποὺς τῆς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ πραότητος καὶ ταπεινότητος, ἁπλότητός τε καὶ ἀφελότητος, καὶ μακροθυμίας, ἀφθόνως ἐν ἑαυτοῖς εὑρίσκομεν, εἰκῆ καὶ μάτην οἱ κάματοι ἡμῶν γεγόνασι· ἡ πᾶσα γὰρ ἐκείνη ἐργασία καὶ οἱ κάματοι διὰ τοὺς καρποὺς γίνεσθαι ὀφείλουσι· τῶν δὲ καρπῶν τῆς ἀγάπης καὶ εἰρήνης μὴ εὑρισκομένων ἐν ἡμῖν, εἰκῆ καὶ μάτην ἡ ὅλη ἐργασία γίνεται· οἱ γὰρ χωρὶς τούτων ἐργαζόμενοι κατὰ τὰς πέντε μωρὰς παρθένους ἐν ἡμέρᾳ κρίσεως ἀποδείκνυνται· αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἀποκομίσασθαι ἐν τοῖς τῆς καρδίας ἀγγείοις τὸ πνεύ-

ματικὸν ἔλαιον ὅπερ ἐστὶ τῶν προειρημένων ἀρετῶν, μωραὶ ὠνομάσθησαν, καὶ τοῦ πνευματικοῦ τῆς βασιλείας νυμφῶνος ἀπεκλείσθησαν· καὶ, ὁ τῆς παρθενίας κάματος διὰ τῶν ἀρετῶν ἔλλειψιν καὶ στέρησιν τῆς ἐναργοῦς ἐνοικήσεως τοῦ πνεύματος, εἰς οὐδὲν ἐλογίσθη. ὥσπερ γὰρ ἐν τῇ γεωργίᾳ τῆς ἀμπέλου πᾶσα ἐπιμέλεια καὶ διὰ τὴν τῶν καρπῶν ἀπόλαυσιν γίνεται· καρπῶν δὲ μὴ εὑρισκομένων ἐν τῇ ἀμπέλῳ εἰκῇ καὶ μάτην πᾶσα ἐμπόνησις τῆς ἐργασίας γίνεται· οὕτως ἐὰν μὴ διὰ τῆς ἐνεργείας τοῦ πνεύματος καρποὺς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ ταπεινώσεως καὶ τῶν λοιπῶν παρὰ τῷ ἀποστόλῳ ῥιθέντων ἐν πάσῃ πληροφορίᾳ καὶ αἰσθήσει πνευματικῇ ἐν ἑαυτοῖς ἐπιγνῶμεν, εἰκῇ ὁ τῆς παρθενίας κάματος, καὶ εὐχῆς, καὶ ψαλμῳδίας, νηστείας τε καὶ ἀγρυπνίας ὁ πόνος εἰς οὐδὲν ἀποδείκνυται. οὗτοι γὰρ οἱ πόνοι ψυχῆς καὶ σώματος ἐπ' ἐλπίδι πνευματικῶν καρπῶν ἐπιτελεῖσθαι ὀφείλουσιν· ἡ δὲ τοῦ πνεύματος ἐν ταῖς ἀρεταῖς καρποφορία ἀπόλαυσίς ἐστι πνευματικὴ ἐν ἡδονῇ ἀφθάρτῳ, ἐν καρδίαις πισταῖς, ὑπὸ τοῦ πνεύματος ἐνεργουμέναις· ἐν πολλῇ γὰρ διακρίσει συνέσεως ἡ ἐργασία καὶ πόνος καὶ κάματοι τῆς φύσεως ἡγείσθωσαν διὰ πίστεως καὶ ἐλπίδος ἀπὸ τοῦ ἁγίου πνεύματος τοῖς

dicij deprehendentur fatuis quinque Virginibus, quæ, quod hinc non asportassent in vasis cordis spirituale oleum, quo priùs memoratæ virtutes designantur, fatuæ nominatæ sunt, & Spirituali Regni thalamo exclusæ. Laborque Virginitatis, propter defectum virtutum, & privationem manifestæ inhabitationis Spiritûs, pro nihilo reputatus est. Sicut enim in culturâ vineæ omnis industria & labor ad fructuum perceptionem refertur: quæ si demùm fallat, non repertis vindemiæ tempore uvis in vite, nequidquam & sine operæpretio existimatur desudasse vinitor: ita nisi per operationem Spiritus sancti fructus Caritatis, Pacis, Gaudij, Humilitatis, aliorumque enumeratorum ab Apostolo dono- *Gal. v. 22.* rum, in omni certitudine ac sensu spirituali in nobis ipsis agnoscamus, frustrà contentionem virginitatis, orationis, Psalmodiæ, jejunij & vigiliarum laborem suscepisse convincemur. Hi quippe labores animæ ac corporis, spe spiritualium ejusmodi fructuum appeti & exerceri debent. Spiritûs verò in virtutibus fructi-

ficatio, fruitio est spiritualis in voluptate incorruptâ, in cordibus fidelibus operatione Spiritus sancti animatis. In multâ siquidem discretione prudentiæ, operatio, labores, & ærumnæ naturæ, existimentur per fidem & spem à sancto Spiritu iis qui digni sunt efficaciter inditi. Bonum est jejunium, bona vigilia, bona fuga patriæ & conversationis humanæ in solitudine. Sed hæc flos ipse ac vigor sunt conversationis bonæ: cœterùm ordo Christianorum interior est his. & non debet quis his inniti solis ad confidentiam. contingit autem esse quosdam participes Gratiæ: in quibus malitia, cum revera subsit, insidiosè latêre satagit; ultrò agere cessans & se abscondens. tantúmque illo interdum astu proficiens, ut ipsum, in quo habitat, fallat, malè pervasum; esse suam mentem jam plenè purgatam. unde in arrogantiam inflatur, aiens: perfectus ego Christianus sum. at dum miser isti fiduciæ homo indormit, liberum se nunc demum prædicans: in hujus ipsâ gratulationis inconsultâ securitate opprimitur ab irruente in eum, latronum more, è latebris, ubi subsederat, Malitiâ,

ἀξίοις ἐνεργούμενοι· καλόν ἐστιν ἡ νηστεία, ἡ ἀγρυπνία, ἡ ξενιτεία· ἀλλὰ ταῦτα ἀκμὴ πολιτείας ἐστὶν ἀγαθῆς· πλὴν ἡ τάξις τῶν χριστιανῶν ἐσωτέρα ἐστὶ τούτων, καὶ οὐκ ὀφείλει τις ἐπὶ τούτοις τὴν πεποίθησιν ἔχειν καὶ μόνοις· συμβαίνει δὲ ὅτι εἰσί τινες χάριτος μέτοχοι· καὶ ἡ κακία ἔτι οὖσα τεχνάζεται, καὶ παραχωρεῖ ἐκοῦσα, καὶ οὐκ ἐνεργεῖ· ἀλλὰ ποιεῖ νομίσαι τὸν ἄνθρωπον ὅτι ἐκαθαρίσθη ὁ νοῦς αὐτοῦ· καὶ λοιπὸν φέρει αὐτὸν εἰς οἴησιν· ὅτι χριστιανός εἰμι τέλειος. καὶ μετὰ ταῦτα ὅταν νομίσῃ ὁ ἄνθρωπος· ὅτι ἐλεύθερός εἰμι, καὶ ἀμεριμνεῖ, τότε λῃστρικῷ τρόπῳ ἔρχεται αὐτῷ ἡ κακία ἔγκρυμμα ποιοῦσα, καὶ πειράζει αὐτὸν, καὶ καταφέρει αὐτὸν εἰς τὰ κατώτατα τῆς γῆς. εἰ γὰρ ἄνθρωποι πολλάκις λῃσταὶ ὄντες ἢ στρατιῶται κατὰ πολεμίων οἴδασι τεχνάζεσθαι, καὶ ἀποκαθέζονται, καὶ ποιοῦσιν ἔγκρυμμα, καὶ λαμβάνουσι κατὰ νῶτα τοὺς ἐχθροὺς, καὶ περικυκλοῦσιν αὐτοὺς ἀθρόως, καὶ ἀποκτείνουσι· πολλῷ μᾶλλον ἡ κακία οὖσα τοσούτων χιλιάδων ἐτῶν τὸ ἔργον ἔχουσα, πόσας ἀπολέσασα ψυχάς; οἶδεν οὖν ἔγκρυμμα ποιεῖν ἐν τῇ καρδίᾳ, καὶ κατὰ καιροὺς μὴ ἐνεργεῖν, ἵνα ἐνέγκῃ τὴν ψυχὴν εἰς οἴησιν τελειότητος.

quæ nihil minus, opinantem tentatione vehementi adoriens vincit & deprimit in terræ infima. Si enim Homines triti usu bellicarum artium, quippe instituto vitæ latrones aut milites, stratagemate uti sciunt, subsidentes in locis occultis, & ex insidiis repentè coorientes in Hostium alia cogitantium terga, ipsosque circumventos vi subitâ trucidant. Quanto magis malitiæ pater Diabolus tot millibus annorum in istiusmodi belli exercitatione ac meditatione versatus, successu maximo perniciéque multarum animarum, notam usitatamque habebit artem insidiarum in imo corde struendarum, ibi quiescendo, & per cessationem agendi fidem absentiæ faciendo, ut inflatam per hoc in opinionem falsam consummatæ perfectionis animam, repentino incursu dejiciat in præceps.

I. CAP. X.

Ὁ θεμέλιος τοῦ χριστιανισμοῦ οὗτός ἐστιν ἵνα ἂν ποιήσῃ ὁ ἄνθρωπος δικαιοσύνας, μὴ ἐπαναπαύῃ ἐν αὐτοῖς, καὶ ἔχῃ ἑαυτὸν μέγαν. ἀλλ' ᾖ πτωχὸς τῷ πνεύματι· καὶ ἐὰν γένηται μέτοχος χάριτος, μὴ νομίσῃ ἑαυτὸν κατειληφέναι τι, καὶ οἰηθῇ εἶναί τις, καὶ ἄρξηται διδάσκειν· ἀλλ' ἵνα ὢν καλῆς ξενιτείας καὶ πολιτείας, νηστεύων πολύ, ξενιτεύων, εὐχόμενος, μετέχων χάριτος, μὴ ἡγήσηται τὴν ψυχὴν αὐτοῦ τιμίαν· ἀλλὰ τότε μάλιστα ὅταν ἀρχὴ χάριτος γένηται· ἵνα ἔχῃ τὸν πόνον, τὴν δίψαν· ἵνα μὴ κεκορεσμένος· ἵνα μὴ ἔχῃ ἑαυτὸν δίκαιον ἢ πλούσιον ἐν χάριτι· ἀλλ' ᾖ πενθῶν καὶ δακρύων, καὶ ὃν τρόπον ἐὰν ᾖ μήτηρ, καὶ ἔχῃ υἱὸν με-

Fundamentum Christianismi hoc est. Homo post quantalibet bona opera, ne in ipsis acquiescat, aut se magnum putet: sed perseveret esse pauper spiritu: ac quantævis se gratiæ participem sentiat, non existimet se quippiam adeptum. Neve se aliquem supra vulgus jam esse reputet, aut Magistri supercilium sumat, docere ultrò alios affectans. quin etiam post secessum in solitudinem, post vitam ibi diù sanctè actam, multùm licet jejunans, exilium mundi fortiter tolerans, piè orans, Gratiæ donorum ingentium conscius, nihilò tamen magis Animam suam pretiosam

habeat. Imo tum maximè quando primum sentit appulsum gratiæ, solicitè laboret. Sitimque monstret ulterioris profectûs; valde cavens ne quasi jam satiatus, se abundè justum, aut donorum gratiæ locupletem habeat. è contrario potiùs lugeat, & inconsolabiliter lachrymetur ob exilium, periculum, & egestatem suam. Quomodo si mater educatum à puero curâ magnâ unicum filium, ubi ad virilem pervenerit ætatem mori videat. eam enim qui consolari aggrediatur, incentiva luctûs magis accumulet, refricandâ tantæ jacturæ memoriâ. Sic flere indesinenter Christianum oportet lapsum suum: & ante omnia habere cor contritum.

νοητῇ καὶ παιδεύσει αὐτοῦ· καὶ ὅταν γένηται ἀνήρ, συμβῇ αὐτῷ ἀποθανεῖν· καὶ λοιπὸν ὅσοι ἂν ὦσι παραμυθούμενοι τὴν μητέρα, μᾶλλον ἐπεγείρουσιν αὐτῇ τὸ πένθος, καὶ ἀπαραμύθητός ἐστιν· οὕτω χρὴ κλαίειν τὸν χριστιανὸν τὴν πτῶσιν αὐτοῦ καὶ ἀδιαλείπτως δακρύειν· πρὸ πάντων δὲ ἔχειν συντετριμμένην τὴν καρδίαν.

CAPUT XI.

Ut si Palatium Regis cujuspiam multis constans cubiculis, diversis Aulis, vestibulis & Atriis pluribus, præter interiora conclavia, ubi residet Rex, ubi purpura & Thesauri reponuntur, quis exteriorum tenus Atriorum ingrediens, erret si credat se jam in intima quasi viscera tantarum Ædium penetrasse, atque adeò tenere apothecas in quibus gaza & gloria Regis, Purpura & Thesauri custodiuntur. Sic, istâ imagine ad spirituale negotium translatâ: Ne putent

Ι Α.

Ὥσπερ εἰ οἶκος βασιλέως ἔχων διαίτας πολλὰς καὶ αὐλὰς διαφόρους, καὶ πρόθυρα πολλά, καὶ ἐσωτέρους οἴκους, ἔνθα μένει ὁ βασιλεύς. καὶ ἡ πορφύρα, καὶ οἱ θησαυροὶ ἀπόκεινται· λοιπὸν ὁ εἰσερχόμενος εἰς τὰς ἐξωτέρας αὐλὰς μὴ νομίσῃ, ὅτι ἤδη εἰς τοὺς ἐσωτέρους οἴκους ἦλθεν, ὅπου ἡ δόξα τοῦ βασιλέως, καὶ ἡ πορφύρα, καὶ οἱ θησαυροί· οὕτως εἰς τὸ πνευματικὸν, οἱ νηστεύοντες, οἱ ἀγρυπνοῦντες, οἱ ψάλλοντες καὶ εὐχόμενοι, μὴ νομίσωσιν ὅτι εἰσῆλθον εἰς τὴν κατάπαυσιν. ὡς δὲ ἀκμὴν εἰς τὰ πρόθυρα καὶ εἰς τὰς

αὐλὰς εἰσέρχονται· οὐχ ὅπου ἡ πορφύρα καὶ οἱ θησαυροί· οὐκ ὀφείλουσιν οὖν ἀδελφοὶ τῇ ἔξω πολιτείᾳ θαῤῥεῖν, καὶ λέγειν ὅτι εἰμί τις. εἰ δὲ καὶ χάριτος μέτοχος γένηται, οἰηθῆναι ὡς καταλαβὼν, ἢ γενόμενος ἐγγύτατος τοῦ βασιλέως· ἀκμὴν γὰρ εἰς τοὺς ἐξωτέρους οἴκους διατρίβει· οὐκ ὀφείλει ἐρευνᾷν ἕκαστον εἰ εὗρεν ἐν τῷ ὀστρακίνῳ σκεύει τὸν θησαυρὸν, ἢ ἐνεδύσατο τὴν πορφύραν τοῦ πνεύματος· ἢ εὗρε τὸν βασιλέα, καὶ ἀνεπαύσατο. ἡ γὰρ ψυχὴ τοιαύτη ἐστίν· ἔχει βάθος τι καὶ μέλη πολλά· καὶ λοιπὸν ἡ ἁμαρτία ἐπεισελθοῦσα κατέχει αὐτῆς ὅλα τὰ μέλη, καὶ τὰ νοήματα τῆς καρδίας· εἶτα ἐπιζητοῦντος τοῦ ἀνθρώπου ἔρχεται ἡ χάρις πρὸς αὐτὴν, καὶ κατέχει δύο μέλη τῆς ψυχῆς· ὁ οὖν ἄπειρος παρακαλούμενος τῇ χάριτι, νομίζει ὅτι ἐλθοῦσα ἡ χάρις ὅλα τὰ μέλη τῆς ψυχῆς κατέσχε, καὶ ἐξεῤῥιζώθη ἡ ἁμαρτία· τότε τὸ πλεῖστον μέρος ὑπὸ τῆς ἁμαρτίας κρατεῖται, καὶ ἓν μέρος ὑπὸ τῆς χάριτος· καὶ ὑποκλέπτεται καὶ οὐκ οἶδεν. ἔστι γὰρ ἡ χάρις πολλάκις ἐνεργοῦσα ἀδιαλείπτως, ὃν τρόπον ὁ ὀφθαλμὸς ἐν τῷ σώματι πέπρακται. καὶ ἁμαρτία σύνεσιν ὑποκλέπτουσα τοῦ νοῦ· καὶ ὁ ἀδιάκριτος, ὡς ἤδη καταλαβὼν, οἴεταί τι περὶ αὐτοῦ καὶ τυφοῦται ὡς ἠδυ-

jejunantes, vigilantes, Psallentes, orantes, pervenisse se jam ad fruitionem perfectæ pacis: ut pote qui adhuc vestibulis tantum & primis Atriis hospites tenentur. nondum eò ubi purpura, ubi thesauri jacent, aspirare sunt permissi. Non debent igitur Fratres exteriori conversatione ac disciplinâ niti magnoperè, nec de se propter illam dicere: Ego sum aliquis: ac simul quadam quis aspersus communicatione Gratiæ fuerit, præfidentiâ niti, quasi jam comprehenderit, aut Regi sit intimè admotus. modò enim in extimis duntaxat diversatur Ædium partibus: nec convenit scrutari unumquemque, num forte inveniat in vase fictili Thesaurum, aut regiam induerit spiritûs purpuram, an Regis intimâ jam admissione dignatus, ibi quiete fruatur. Sic quippe comparata est Hominis Anima: habet profunditatem quamdam & membra velut plurima. In eam porrò subintrans peccatum, cuncta ejus occupat membra, & cogitationes cordis; deinde homine quærente, venit ad ipsum Gratia, & occupat duo membra Animæ. qui ergo inexpertus rerum

& parùm prudens, ſentit appulſum provocantis Gratiæ, continuò rem confectam arbitratur, & in ſinu gaudet, exiſtimans: cunctas æquè ac pariter Animæ partes à gratiâ poſſideri; planéque ac radicitùs extirpatum ex ſe eſſe peccatum; quo tamen pleraque adhuc animæ membra revera detinentur, uno tantum ex his quopiam, gratiæ conceſſo; neſciente ipſo, & ſupinè ſinente imponi ſibi. Eſt enim grâtia plerumque indeſinenter operans in ſuperiori animæ parte, ſicut oculus defixus in ſupremo corporis membro, capite ac vultu. cujus lucis & actionis multa quæ ſubſunt ejuſdem corporis membra ſunt expertia. Ita quo tempore viget in animi vertice gratia, peccatum nihilominus in ſubjectis latibulis clàm vivit, mente non advertente. Et tunc qui diſcretione caret, temerè autumans ſe perfectionis culmen tenere, intumeſcit opinione ſui, plenè jam ſe liberatum putans. quod non ita eſt. uti enim dixi, ſubeſt dolus latentis in inſidiis Satanæ· quodam quidem tempore nihil moventis, ut credatur abeſſe, ac ſic noxiam fiduciam ingeneret homini falsò arbitranti & ſuperbè jactanti purum ſe ac perfectum eſſe. Atqui neque plantans vineam ſtatim ex eâ uvam maturam legit: neque ſeminans triticum in terrâ, eodem tempore ſegetes metit, & frumentum ex areis deportat in horrea: neque modò natus puer ſubitò poteſt in virum adoleſcere: nec militiæ prima rudimenta ponens tiro, jam præfecturis militaribus aptus gerendis eſt. Oportet enim hunc primùm longâ patientiâ inſueſcere labori Caſtrorum ac diſciplinæ: tum factâ pugnæ copiâ fortiter in campo ſtare, vincereque hoſtem ac coronari.

θαρρηθείς· οὐχ οὕτως γάρ ἐστι τὰ πράγματα. καθὼς γὰρ εἶπον, ἔγκρυμμα ποιεῖ ὁ Σατανᾶς, εἰς καιροὺς μὴ ἐνεργῶν, ἵνα ποιήσῃ νομίζεσθαι τὸν ἄνθρωπον ὅτι εἶναι καθαρὸς καὶ τέλειος· μὴ ὁ φυτεύων ἀμπελῶνα εὐθέως λαμβάνει σταφυλὴν, ἢ γεωργεῖ οἶνον; καὶ ὁ σπείρων τὸ σπέρμα ἐν τῇ γῇ, ἤδη ἐθέρισε καὶ ἔλαβε καρπούς; καὶ τὸ γεννώμενον παιδίον εὐθέως δύναται εἰς ἄνδρα τέλειον ἐλθεῖν; ἢ στρατευόμενος πρῶτον ἤδη ἐγένετο ἀξιωματικός; χρὴ γὰρ αὐτὸν πρῶτον κοπιάσαι, καὶ εἰσελθόντα πόλεμον λαβεῖν τὰ νικητήρια καὶ στεφανωθῆναι.

Ι Β.

Καλὸν οὖν ἐστιν ἡ ἀκτημοσύνη καὶ ἡ ψαλμῳδία, καὶ ἡ νηστεία καὶ ἡ ἀγρυπνία, καὶ τὸ λαβεῖν χάριν Θεοῦ. ὁ δὲ ἀκμὴν οὔπω ἤρξατο ὡς δεῖ σκάπτειν καὶ τιθέναι θεμέλιον. καὶ ἐν τούτοις ὁ νοῦς δεῖ ἀνεπίληπτος εἶναι καὶ μέτοχος χάριτος. λοιπὸν οἴεται περὶ αὐτοῦ καὶ ἔχει τιμίαν τὴν ψυχήν. ἀπόβλεψον εἰς τὸν Ἰησοῦν. ἀπὸ ποίας δόξης υἱὸς Θεοῦ καὶ Θεὸς ὢν, εἰς ποῖα πάθη καὶ σταυρὸν ἦλθε· διὰ ταύτην οὖν τὴν ταπεινοφροσύνην ὑψώθη ἐν δεξιᾷ τοῦ πατρὸς καθεσθείς· καὶ ὁ ὄφις ἐξ ἀρχῆς ὑπέσπειρε τῷ Ἀδὰμ ὕψωμα· ὅτι ὡς Θεὸς γίνη· διὰ ταύτης τῆς ὑψηλοφροσύνης εἶδες οὖν εἰς ὁποίαν ἀτιμίαν κατῆλθε τὸ γένος τοῦ Ἀδάμ. ἐπιζητῶ δὴ ἄνθρωπον πτωχὸν τῷ πνεύματι, καὶ οὐχ εὑρίσκω· ὥσπερ ἵνα ᾖ τις πλούσιος ἔχων ἐν τῷ οἴκῳ αὐτοῦ θησαυροὺς, καὶ ᾖ ἐπιδεόμενος, καὶ πτωχὸς καὶ παρὰ πάντων ζητῇ· οὕτως εἰσὶ χριστιανοὶ ἔχοντες χάριν, πλούσιοι εἰς Θεὸν, πτωχοὶ εἰσὶ τῷ πνεύματι ὡς μηδὲν ἔχοντες· εἰσὶ πρὸς λόγον ἑκατὸν λίτρας χρυσίου ἃς ὀφείλει κτήσασθαι· ὁ λαβὼν πέντε λίτρας ἐκορέσθη· εἰσὶ δέ τινες πρὸς λόγον δέκα

CAPVT XII.

Pulchræ igitur & bonæ, quis neget, res sunt, expropriatio, Psalmodia, Iejunium, vigiliæ; & inter hæc gratiæ allapsu frui. Sed parùm prosunt ei qui nondum, ut oportuerat, cepit effodere scrobem profundam ubi solidum altè turris Evangelicæ fundamentum ponat. Nec se decipi mens in eo patiatur, utcumque gratiæ particeps; aut inde sibi aduletur, pretiosam æstimans suam animam. Respice in Iesum. à quali gloriâ Dei filius, Deus ipse, in quas passiones usque ad crucifixionem venit. Propter hanc ergo humilitatem exaltatus est, in dexterâ Patris sedens. At serpens à principio subseminavit Adamo exaltationis amorem, suggerens: *Eritis sicut dij.* Gen. III. per istam autem affectionem sublimitatis, vides in quam ignominiam descendit genus humanum. Sanè quæro hominem pauperem spiritu, nec invenio. Vt si quis habens reconditos domi Thesauros, tamen circumeat mendicans & ab omnibus petens: sic sunt Christiani Gratiæ possessione apud

Deum divites, humili sui æstimatione pauperes, & quasi nihil habentes. Ponamus exempli gratia, deberi alicui centum auri libras: si ille quinque acceptis sit contentus, nec ultrà quidquam quærat, an aget sapienter? Pejus etiam sibi consulunt quidam, habentes, ut sic dicam, decem uncias gratiæ: & eas vano tumore gloriationis falsæ in centum multiplicantes. è contrario verò plerumque nonnulli habentes quinque uncias peccati, eas in semiunciam extenuant. Id ipsis accidit vel per ignorantiam: quod quantula sint impertiti mensurâ gratiæ ex vero non norunt, largè opinantes in favorem sui; vel per vanæ gloriæ appetentiam non sustinentes fateri, quod res est, quam in se experiuntur operationem mali. Iam enim prædicant se perfectos. Oportet autem & fieri & dici ab homine quod justum est. Et ipsum gratiæ quam accipit, dona profiteri: & non dissimulare quam sentit in se se peccati intùs latentis operationem. Mentitur quippe talis purum ajens se habere cor. haud enim in hunc modum se res habent: neque ad

οὐγκίας ἔχοντες τῆς χάριτος. καὶ ποιοῦσιν αὐτὰς ἑκατὸν, καυχώμενοι. καὶ εἰσὶ πολλάκις πέντε οὐγκίας ἔχοντες τῆς ἁμαρτίας. καὶ ποιοῦσιν αὐτὰς ἡμιούγκιαν· τοῦτο δὲ αὐτοῖς συμβαίνει, ἢ κατ' ἄγνοιαν· ὅτι ἐν αὐτῇ τῇ χάριτι ὑποκλεπτόμενοι οὐκ οἴδασιν· ἢ κατὰ κενοδοξίαν, αἰσχυνόμενοι εἰπεῖν ὅτι ἐνεργεῖ τὸ κακόν· ἤδη γὰρ κηρύττουσιν εἶναι ἑαυτοὺς τελείους. τὸ δὲ δίκαιον δεῖ ποιεῖν καὶ λέγειν τὸν ἄνθρωπον· καὶ τὰ τῆς χάριτος ὁμολογεῖν, καὶ τὴν ἐνεργείαν τῆς ἁμαρτίας· ψεύδεται γὰρ ὁ τοιοῦτος καθαρὰν λέγων ἔχειν τὴν καρδίαν· οὐχ οὕτως γάρ ἐστι τὰ πράγματα, ὡς ἅμα τὴν χάριν ἐπιδημῆσαι ἤδη καθαρὸν γενέσθαι τὸν ἄνθρωπον· παραδέδοται γὰρ τοῖς πολεμίοις καὶ τοῖς πειρατηρίοις εἰς γυμνασίαν, καὶ παίδευσιν· ὃν τρόπον καὶ ὁ Ἰὼβ τοῦ πειρασμοῦ. συνεργεῖ γὰρ τὸ κακὸν τῷ ἀγαθῷ, προαιρέσει οὐ καλῇ. τὸν δὲ χριστιανὸν δεῖ πέντε οὐγκίας τῆς ἁμαρτίας ἔχοντα, λέγειν· ὅτι, εἴκοσιν ἔχω, καὶ πεπληρωμένος εἰμὶ τοῦ κακοῦ. καὶ ἔχοντα πρὸς λόγον οὐγκίας εἴκοσι τοῦ ἀγαθοῦ, λέγειν· ὅτι ἡμιούγκιον ἔχω. εἰ δὲ τοῦτο κατὰ κενοδοξίαν αἰσχύνεται εἰπεῖν, τὸ δίκαιον γοῦν εἰπάτω· ὁμολογησάτω μὲν καὶ τὴν ἐνέργειαν τῆς χάριτος· ὁμολογησάτω δὲ καὶ τὴν ἁμαρτίαν ἐν μέρει. καθὼς οὖν

περιέργον περὶ τῆς ψυχῆς ὅτι ἔχει βάθος. ὑποδείγμασι χρώμεθα διαγράφοντες αὐτῆς τὰ μέλη. ὥσπερ ἵνα ᾖ ἥλιος, καὶ ὦσιν ἐξ αὐτοῦ ἀκτῖνες πολλαί· ἢ ἵνα ᾖ δένδρον ὑψηλὸν, καὶ ἔχῃ κλάδους· ἢ ἵνα ἡ πόλις μεγάλη, καὶ ἔχῃ γείτονας πολλάς· οὕτως ἐστὶν ἡ νοερὰ οὐσία, ἡ ἀθάνατος ψυχὴ, κάλλος τίμιον ὑπὲρ πάντα τὰ δημιουργήματα, εἰκὼν καὶ ὁμοίωμα Θεοῦ. λοιπὸν ἐλθοῦσα ἡ χάρις, εἰς δύο ἀκτῖνας τῆς ψυχῆς ἐπιλάμπει· ἢ ἀπὸ ὅλου τοῦ δένδρου εἰς κλάδους δύο. ἢ ἀπὸ πάσης τῆς πόλεως εἰς δύο γειτονίας. ἔτι δὲ τὰ πλείονα μέρη τῆς ψυχῆς κατέχεται ἀπὸ τῆς ἁμαρτίας· καὶ νομίζει ὅτι ὅλη δι' ὅλου, τοῦ ἀγαθοῦ μέρους καὶ τῆς χάριτος καὶ τῆς λαμπρότητος γέγονε. πρὸς λόγον πέντε λίτρας χρυσίου κτησάμενος, δοκεῖ αὐτῷ ὅτι ἑκατὸν λίτρας ἐκτήσατο· μὴ τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ ἤδη γέγονεν ἄνθρωπος; ἢ ὅτι θεὶς ἕνα λίθον τοῦ θεμελίου, ἤδη ἐτελείωσε τὸ οἰκοδόμημα; ἢ ὁ σπόρος ὁ χωσθεὶς ἐπὶ τῆς γῆς, ἤδη ἐγένετο στάχυς; μὴ ὁ πραγματευόμενος ἅμα τοῦ ἄρξασθαι τῆς πραγματείας, ἤδη ἐπλήρωσε τὴν ἀποθήκην; καὶ ὁ μετέχων χάριτος μικρᾶς, παρὰ τοῦτο γέγονε χριστιανός; ἀκμὴν οἱ πρῶτοι καὶ οἱ μεγάλοι οὔπως εἰσὶ πρὸς τελειότητα, ὡς ὁ ὀφφικιά-

primum statim advenientis Gratiæ radium purus omni ex parte homo redditur. traditur quippe Hostibus & horum tentationibus exponitur ad exercitationem & disciplinam. quomodo Iob tentatione probatus est. Cooperatur quippe & Malum bono, intentione non bonâ. Christianum verò convenit quinque uncias peccati habentem, dicere humiliando se modestè: viginti uncias habeo, & plenus sum iniquitate: habentem autem, exempli causa, uncias viginti bonitatis, dicere: vix boni semunciam habeo si autem hoc dicere, ob vanæ gloriæ studium, erubescit: saltem quod justum est proferat, fateaturque tum quid in se operetur Gratia: tum quid ex parte alterâ peccatum nondum in se deletum moliatur. Iam circa id quod dixi de Animâ, inesse illi profunditatem latebrosam, juvat id exemplis declarare describendo sinus istos intimos in penetralibus ejus veluti mēbrorum. sicut enim ut sol est, ita sunt ex ipso plures radij: ut arbor alta est, ita & ramos habet: ut Civitas magna est & Metropolis, circum & sub se propinquas

habet urbes multas. Sic est intellectualis substantia, immortalis Anima, pulcritudo pretiosa super omnes creaturas, imago & simulacrum Dei. In hanc veniens gratia duobus ei radiis affulget. aut ex universâ arbore, duos illuminat ramos, aut binas duntaxat ex universâ Provinciâ urbes ingreditur. quod allegoricè significat, unam tantum & alteram animę potentiam gratiâ contingi, reliquas adhuc multas ejus quasi partes peccato subjacere. Vtcumque homo malè credulus autumet se totum ex toto transisse in partem meliorem, & in solidum à gratiâ possideri, & ejus radiis splendere; perperam videlicet subductis status ac census proprij rationibus: ita ut cum vix quinque libras auri verè habeat in loculis, sibi tamen persuadeat non minùs libris centum in numerato sibi esse. quem libenter rogarim ecquid censeat: fœtum adhuc informem in matris utero, hominem jam perfectum esse? An qui unum in fundamentum lapidem jecerit, jam fastigium ædificio imposuisse dici possit? utrum etiam semen sulco ingestum, jam spica matura putetur

λιος πρὸς ἡγεμόνα· ἢ ὡς ῥύαξ μικρὸς πρὸς Εὐφράτην ποταμόν. ὁ ἔχων πρόθεσιν ἀπελθεῖν εἰς πόλιν μακρὰν ἑξήκοντα μονῶν, δύο ἢ τρεῖς ἐὰν ἀπέλθῃ, μὴ νομίσῃ ὅτι εἰσῆλθεν εἰς τὴν πόλιν· ἐπειδὴ οὖν ἡ ἐναντία δύναμις προτρεπτική ἐστιν, οὐκ ἀναγκαστική. καὶ θεία χάρις προτρεπτική ἐστι διὰ τὸ αὐτεξούσιον καὶ λιτ τῆς φύσεως, λοιπὸν ἐὰν ποιήσῃ κακὰ ὁ ἄνθρωπος προτρεπόμενος ὑπὸ τοῦ Σατανᾶ, οὐ κρίνεται ἀντ' αὐτοῦ ὁ Σατανᾶς· ἀλλ' αὐτὸς ὁ ἄνθρωπος τιμωρεῖται καὶ κολάζεται· ὡς ὑπήκοος γενόμενος τῆς κακίας ἰδίῳ θελήματι. ὁμοίως καὶ ἐὰν τραπῇ ὁ ἄνθρωπος εἰς τὸ ἀγαθόν, καὶ περιγένηται χάριτι Θεοῦ, οὐκ ἐπιγράφῃ τὸ ἀγαθὸν ἑαυτῇ ἡ χάρις. ἀλλ' ἀποδίδωσι τῷ ἀνθρώπῳ καὶ δοξάζει αὐτόν· ἐπειδὴ ἐκ τούτου ἐγένετο ὁ ἄνθρωπος αἴτιος τοῦ ἀγαθοῦ· αὐτὸ γάρ ἐστι τῆς φύσεως οὗτος· καὶ οὐχ οἷον ἐρχομένη ἡ χάρις πρὸς αὐτὸν ἀναγκαστικῇ δυνάμει δεσμεῖ αὐτοῦ τὸ θέλημα, καὶ λοιπὸν ἑκόντα καὶ ἄκοντα ποιεῖ αὐτὸν ἄτρεπτον ἀγαθοῦ. ἀλλὰ παραχωρεῖ τῷ αὐτεξουσίῳ καὶ συνοῦσα ἡ θεία δύναμις, ἵνα ἀποδειχθῇ τὸ θέλημα τοῦ ἀνθρώπου, εἰ τιμᾷ τὴν ψυχὴν ἢ οὐ τιμᾷ· εἰ συμφωνεῖ, ἢ οὐ συμφωνεῖ· πολλοὶ γὰρ ἐτίμησαν καὶ συνεφώνησαν· ἄλλοι δὲ ἐξετράπησαν. λέγει γὰρ ὁ Α-

πόστολος· ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖτε. τῇ γὰρ φύσει νόμος οὐ κεῖται, ἀλλὰ τῇ αὐτεξουσίῳ προαιρέσει δυναμένῃ τραπῆναι ἐπὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν· διὸ λέγει ὁ Κύριος· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ ἠθέλησα εἰ ἤδη ἀνήφθη· θέλει ὁ Κύριος ἀναφθῆναι τὸ οὐράνιον πῦρ εἰς τὰς καρδίας τῶν ἀνθρώπων· καὶ οἱ μὲν θέλουσιν· οἱ δὲ οὐ θέλουσιν· ὁμοίως πάλιν λέγει· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν ἡμᾶς, ὡς ὄρνις τὰ ἑαυτῆς νοσσία, καὶ οὐκ ἠθελήσατε· ὁρᾷς ὅτι ὁ Κύριος θέλει· καὶ αὖ οἱ ἄνθρωποι οὐ θέλουσι προσεγγίσαι τῷ Κυρίῳ, καὶ εὑρεῖν ἔλεος.

esse? Num mercator qui modò incipit negotiari, confertas jam tum habere apothecas queat? non sanè magis quam Neophytus primore aspersus initiorum gratiâ, consummatus hoc ipso Christianus sit. Atqui Primi ipsi ac magni multarum Athletæ palmarum, sic se ad perfectionem habent, ut minutus Ædilis aut vici Magister ad Imperatorem, ut filum aquæ perennis ægrè trahens rivulus, ad Euphraten fluvium. Habens propositum in Vrbem eundi triginta dierum itinere dissitam; ne ubi biduum aut triduum viæ peregerit, jam se putet quam petit ingressum esse Civitatem. Quoniam igitur Adversaria Potestas hortatoria est, non autem inductiva necessitatis; divina item gratia hortatoria est, propter sui potens arbitrium & libertatem innatam naturæ. Itaque si mala fecerit homo suasus à Satanâ, non judicatur vice ipsius Satanas, sed ipse homo castigatur ac punitur, quod propriâ se voluntate malitiæ subdiderit. Similiter si vergat Homo ad bonum, & vincat gratia Dei; haud adscribat ipsi sibi bonum Gratia: sed reddit Homini & glorificat ipsum: quoniam sibi Homo causa boni factus est. Talis enim hic est naturæ: non autem ut veniens ad ipsum Gratia liget ejus voluntatem, inducente necessitatem potentiâ; ac de cætero volentem nolentem ipsum immobiliter affigat bono. Sed dat locum libero Arbitrio etiam cum illi præsens adest divina vis: ut demonstretur, utrum Hominis voluntas Animam in pretio habeat, an non habeat; consentiat, an non consentiat. Multi enim in pretio habent, & consentiunt; alij aversi abierunt. dicit enim Apostolus: *cum spiritu ceperitis, carne consummamini.* Naturæ quippe lex non est posita, sed sui compoti Gal. 3. 3.

Arbitrio & electioni vertibili ad bonum & malum. Propterea dicit Dominus: *Ignem venimittere in terram, & quid volo nisi*
Luc. xij. 49. *ut accendatur.* Vult Dominus accendi cœlestem ignem in cordibus Hominum: horum vero quidam volunt, quidam nolunt. Similiter rursus dicit: *Quoties volui congregare vos ut gallina con-*
Mat. xxiij 37. *gregat pullos suos: & noluistis.* Vides Dominum velle, rursus autem Homines nolle accedere ad Dominum & misericordiam nancisci.

CAPUT XIII.

Qui vult accedere ad Dominum & vitâ æternâ dignari, & habitaculum Dei fieri, & Spiritu sancto dignari, ut fructûs ejus juxta mandata Domini queat irreprehensibiliter & purè facere, sic debet incipere. Primùm credere Domino firmiter, & dare ex toto seipsum verbis mandatorum ejus, & renunciare mundo per omnia, ita ut in nullo prorsùs apparentium Mens occupetur, & obfirmare semper se omni conatu in perseverantiâ orationis: & non desperare, expectans cum fiduciâ Domini protectionem & auxilium ubique, scopum suæ mentis in eo habens defixum semper. Deinde urgere se cum conatu & contentione promovendo ac compellendo se ipsum indesinenter ad omne bonum, & in executionem omnium

ΚΕΦ. ΙΓ.

Ὁ βουλόμενος προσελθεῖν τῷ Κυρίῳ, καὶ ζωῆς αἰωνίου καταξιωθῆναι καὶ κατοικητήριον Θεοῦ γενέσθαι, καὶ πνεύματος ἁγίου καταξιωθῆναι· ἵνα τοὺς καρποὺς αὐτοῦ κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου δυνηθῇ ἀμώμως καὶ καθαρῶς ποιεῖν, οὕτως ὀφείλει ἐνάρξασθαι. Πρῶτον πιστεῦσαι τῷ Κυρίῳ βεβαίως, καὶ ἐπιδοῦναι ἐξ ὅλου ἑαυτὸν τοῖς λόγοις τῶν ἐντολῶν αὐτοῦ, καὶ ἀποτάξασθαι τῷ κόσμῳ κατὰ πάντα, ἵνα ἐν οὐδενὶ ὅλως τῶν φαινομένων ὁ νοῦς ἀσχολῆται· καὶ εἰς τὴν εὐχὴν πάντοτε προσκαρτερεῖν αὐτόν. καὶ μὴ ἀπογινώσκειν προσδεχόμενος τοῦ Κυρίου τὴν ἐπίσκεψιν καὶ τὴν βοήθειαν πάντοτε· τὸν σκοπὸν τοῦ νοὸς αὐτοῦ εἰς τοῦτο ἔχων διὰ παντός. εἶτα βιάζεσθαι χρὴ ἀεὶ εἰς πᾶν ἀγαθὸν, καὶ εἰς πάσας τὰς ἐντολὰς τοῦ Κυρίου, κἂν μὴ θελούσης τῆς καρδίας διὰ τὴν συνοῦσαν αὐτῇ ἁμαρτίαν· οἷον βιάζεσθαι ἑαυτὸν εἰς τὸ ταπεινοφρονεῖν ἐνώ-

πον πάντων ἀνθρώπων, καὶ ἑαυτὸν πάντων ἥττω καὶ χείρονα ἡγείσθω, μὴ ζητῶν τιμὴν ἢ ἔπαινον ἢ δόξαν παρά τινος, καθὼς ἐν τῷ εὐαγγελίῳ γέγραπται· ἀλλὰ μόνον τὸν Κύριον ἀεὶ πρὸ ὀφθαλμῶν ἔχειν, καὶ τὰς ἐντολὰς αὐτοῦ· αὐτῷ μόνῳ βουλόμενος ἀρέσαι. εἰς τὴν πρᾳότητα ὁμοίως ἑαυτὸν βιαζέσθω, καὶ μὴ θελούσης τῆς καρδίας, ὥς φησιν ὁ Κύριος· μάθετε ἀπ' ἐμοῦ ὅτι Πρᾶός εἰμι καὶ καθαρὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁμοίως εἰς τὸ εἶναι ἐλεήμονα, χρηστόν, εὔσπλαγχνον, ἀγαθόν, ὅσῃ δύναμις, ἑαυτὸν ἐθίζειν μετὰ βίας ὥς φησιν ὁ Κύριος· γίνεσθε ἀγαθοὶ καὶ χρηστοί, καθὼς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί· καὶ πάλιν φησίν· ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολάς μου τηρήσετε. καὶ πάλιν· βιάζεσθε· βιασταὶ γὰρ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ τό· ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ἀεὶ δὲ τὴν τοῦ Κυρίου ταπείνωσιν καὶ πολιτείαν καὶ ἀναστροφὴν ἐχέτω πρὸ ὀφθαλμῶν, ὥσπερ ὑπόγραμμον ἐν πάσῃ μνήμῃ ἀληθαργήτῳ. καὶ ὅσῃ δύναμις βιαζέσθω ταῖς εὐχαῖς προσκαρτερεῖν, διὰ παντὸς δεόμενος καὶ πιστεύων· ἵνα ἐλθὼν ὁ Κύριος ἐνοικήσῃ ἐν αὐτῷ, καὶ καταρτίσῃ καὶ δυναμώσῃ αὐτὸν ἐν ταῖς ἐντολαῖς πάσαις αὐτοῦ. καὶ ἵνα ἡ ψυχὴ αὐτοῦ γένηται οἰκητήριον Ἰησοῦ Χριστοῦ καὶ

Dei mandatorum, quantumvis invito corde, quod instinctu subsidentis adhuc in ipso peccati renititur. puta per vim adigendo seipsum ad humiliter sentiendum deprimendumque coràm omnibus hominibus, & seipsum cunctis minorem & pejorem existimandum. non quærendo honorem, aut laudem aut gloriam ab ullo, sicut (Io v. 44.) in Evangelio scriptum est, sed solum Dominum præ oculis habendo semper; ipsiusque mandata, eique soli studendo placere. In mansuetudinem quoque se per vim inclinet, frangendo reluctantis in hoc contumaciam cordis, sicut ait Dominus: (Mat. xj. 29.) *Discite à me quia mitis sum & humilis corde, & invenietis requiem animabus vestris.* Similiter se cogat esse misericordem, benignum, compatientem, bonum. in eaque toto conatu, vi summâ adhibitâ, compellat seipsum assuescere, juxta id quod dicit Dominus. (Mat. v. Luc. vj.) *Estote boni & benigni sicut Pater cælestis misericors est.* Et rursus: (Ioan. xiv. 15.) *Si diligitis me mandata mea servate* & iterum: vim vobis facite, (Mat. xi. 12.) *violenti* enim *rapiunt Regnum Cælorum.* Et illud: (Luc. xiij 24.) *contendite intrare per angustã portam.* Sem-

per autem Domini humilitatem, formam vivendi, & conversationem habeat præ oculis, uti emplar quod continuè exprimat, intuens illud memoriâ inconniventer attentâ. Contendat etiam quantum habet virium in assiduè orando, nusquam non petens cum fide ac fiduciâ, ut veniens Dominus inhabitet in ipso, instruatque ac corroboret ipsum, in plenè exequendis cunctis ejus mandatis: & ut ejus Anima sit habitaculum Iesu Christi. Et sic quæ nunc per vim & corde invito facit, assuefacient ipsum in omne tempus ad bonum, & ad semper vivam Dei memoriam habendam, & expectandum eum semper in multâ bonitate & caritate. Tunc considerans Dominus tale ipsius propositum, & bonum studium quo vim infert sibi jugiter ad ejus recordandum, & ad prosequendum semper bonum; itemque ad humilitatem, mansuetudinem, caritatem; & quamlibet reluctans cor subigit in hæc, promovetque quantum potest summâ vi seipsum: facit cum ipso misericordiam suam, & liberat ipsum ab inimicis suis, & ab inhabi-

οὕτως ἃ νῦν μετὰ βίας καὶ μὴ θελούσης τῆς καρδίας ποιεῖ ἐθίζειν ἑαυτὸν διὰ παντὸς εἰς τὸ ἀγαθὸν, καὶ τοῦ Κυρίου ἀεὶ μνημονεύειν, καὶ προσδοκᾷν αὐτὸν διὰ παντὸς ἐν πολλῇ ἀγαθότητι καὶ ἀγάπῃ. Τότε θεωρῶν ὁ Κύριος τὴν τοιαύτην αὐτοῦ προαίρεσιν καὶ τὴν ἀγαθὴν σπουδὴν, πῶς βιάζει ἑαυτὸν πάντοτε εἰς τὴν μνήμην αὐτοῦ, καὶ εἰς τὸ ἀγαθὸν ἀεὶ, καὶ εἰς τὴν ταπεινοφροσύνην, καὶ πρᾳότητα καὶ ἀγάπην· καὶ μὴ θέλουσαν τὴν καρδίαν ἄγχει, καὶ ἄγει ὅση δύναμις ἑαυτὸν μετὰ βίας, ποιεῖ μετ' αὐτοῦ τὸ ἔλεος αὐτοῦ· καὶ λυτροῦται αὐτὸν ἀπὸ τῶν ἐχθρῶν αὐτοῦ, καὶ τῆς ἐνοικούσης ἁμαρτίας; πνεύματος ἁγίου ἐμπιπλῶν αὐτόν. καὶ οὕτως λοιπὸν ἄνευ βίας καὶ καμάτου πάσας ποιεῖ πάντοτε τὰς ἐντολὰς τοῦ Κυρίου ἐξ ἀληθείας· μᾶλλον δὲ ὁ Κύριος ποιεῖ ἐν αὐτῷ τὰς ἰδίας αὐτοῦ ἐντολὰς, καὶ τοὺς καρποὺς τοῦ πνεύματος, ὅτε καρποφορεῖ καθαρῶς. Χρὴ δὲ πρότερον προσελθόντα τινὰ τῷ Κυρίῳ οὕτως βιάζειν καὶ αὐτὸν εἰς τὸ ἀγαθὸν, καὶ μὴ θελούσης τῆς καρδίας, προσδοκῶντα διὰ παντὸς ἐν πίστει ἀδιστάκτῳ τὸ ἔλεος αὐτοῦ καὶ βιάζεσθαι ἑαυτὸν εἰς τὸ οἰκτείρειν καὶ ἐλεήμονα ἔχειν καρδίαν, βιάζεσθαι εἰς τὸ καταφρονεῖσθαι, εἰς τὸ μακροθυμεῖν, ἐξουθενούμενον, ἢ ἀτιμαζόμενον μὴ ἀγανακτεῖν· κατὰ τὸ εἰρη-

μένον

μένου· μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί· βιάζεσθαί τε ἑαυτὸν εἰς τὴν εὐχήν, μήπω ἔχοντα εὐχὴν πνεύματος· καὶ οὕτως ὁ Θεὸς θεωρῶν τὸν οὕτως ἀγωνιζόμενον, καὶ βίᾳ ἑαυτὸν ἄγοντα εἰς τὸ ἀγαθόν, καὶ μὴ θελούσης τῆς καρδίας, δίδωσιν εὐχὴν ἀληθινὴν Χριστοῦ, δίδωσι σπλάγχνα οἰκτιρμῶν, χρηστότητα ἀληθινήν, καὶ ἁπαξαπλῶς πληρεῖ αὐτῷ τὸν καρπὸν τοῦ πνεύματος. εἰ δὲ τὸ μόνον εἰς τὴν εὐχὴν βιάζεται ἑαυτόν, μὴ ἔχων εὐχήν, ἵνα σχῇ εὐχὴν χάριτος· καὶ εἰς τὴν ταπεινοφροσύνην καὶ ἀγάπην καὶ τὰς λοιπὰς ἐντολὰς τοῦ Κυρίου ἑαυτὸν οὐ βιάζεται, ἐνίοτε δίδοται αὐτῷ εὐχὴ χάριτος, καὶ ἐν ἀναπαύσει καὶ εὐφροσύνῃ μερικῶς κατὰ τὸ αἴτημα αὐτοῦ. τοῖς δὲ τρόποις ὅμοιός ἐστιν ὡς ἦν πρότερον ὅμοιος· οὐκ ἔχει γὰρ πραότητα, ὅτι οὐκ ἐζήτησεν ἐμπόνως, καὶ οὐ προητοίμασεν ἑαυτὸν οὕτω γενέσθαι. οὐκ ἔχει ταπεινοφροσύνην, ἐπειδὴ οὐκ ᾔτησε, καὶ ἑαυτὸν ἐβιάσατο εἰς τοῦτο· οὐκ ἔχει ἀγάπην πρὸς πάντας, ἐπεὶ περὶ τούτου μέριμναν καὶ ἀγῶνα οὐκ ἔσχεν ἐν τῇ αἰτήσει τῆς προσευχῆς. χρὴ γὰρ ἕκαστον, ὥσπερ εἰς τὴν εὐχὴν βιάζεται ἑαυτὸν καὶ ἄγχει, καὶ μὴ θελούσης τῆς καρδίας· οὕτως εἰς τὴν ἀγάπην, εἰς τὴν πραότητα, καὶ εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς, κατὰ τὸ γεγραμμένον

tante in ipso peccato, replens illum Spiritu Sancto, cujus ope de cœtero citra vim & laborem cuncta in veritate mandata Domini exequitur. aut potiùs Dominus in illo cuncta implet propria mandata & fructus spiritûs, quando fructificat purè. Oportet autem priùs accedentem quemvis ad Dominum sic vim inferre sibi urgendo se ad bonum, in eoque frangendo resistentiam Cordis, expectantem ubique ac semper, fide inconcussâ, & omne dubium pellente, misericordiam ejus: cogere quoque se ipsum ad miserandos alios, corque in omnes egentes beneficum habendum. Item ad longanimiter tolerandum quidvis durum, & ad non indignandum nec ægrè ferendum quando vilipenditur & inhonoratur: juxtà dictum illud: *Non vosmetipsos defendentes carissimi.* Vim etiam sibi facere ad orandum, quandò nondum accepit speciale donum orandi per Spiritum. Videns enim sic contendentem seseque compellentem ad bonum, frangendo cordis reluctantis nisus, dat illi orationem Christi veram, dat viscera misericordiæ, benigni-

Rom. xij. 19.

iatem veram: uno verbo seponit & confert illi totum fructum Spiritûs.. Quod si quis desiderans speciale, quo caret, Orationis donum, ut illud impetret, solùm sibi ad orandum vim facit; non item ad humiliter sentiendum de se, non ad exercendam caritatem, aut ad mandata Domini cætera implenda, continget interdum dari huic orationis donum, etiam cum quiete & lætitiâ ex parte, prout postulavit: moribus autem similis est ei cui priùs erat similis. non enim habet mansuetudinem pro quâ adipiscendâ non laboravit: & ad quam sese non disposuit peculiari diligentiâ. Non habet humilitatem, quoniam eam nec petiit, nec sibi ad eam exercendam vim adhibuit. Non habet caritatem ad omnes, quando de hâc esse solicitus, pro eâque contendere, flagitans in oratione sibi concedi, tanti non duxit. Oportet enim unumquemque, sicut ad orationem se compellit, & per vim urget, frustrà reluctante corde, ita se pariter in caritatem, in mansuetudinem; in omnem patientiam & longanimitatem, cum gaudio, secundùm quod scriptum est, urgeat seipsum; itemque ad ferenda libenter opprobria, & pejorem se cunctis, infimumque omnium reputandum: ad non proferendum in conversatione quod utile non est, sed ad meditanda corde semper, & Eph.iv. 33. ore enuncianda eloquia Domini. Similiter ad non irascendum, juxta quod dictum est *Omnis amaritudo, & ira, & clamor, tollatur à vobis, cum omni malitiâ.* Vt sic Dominus viso ejus stu-

οὕτω βιάζεσθαι ἑαυτὸν εἰς τὸ ἐξουθενεῖσθαι, καὶ χείρονα καὶ ἔσχατον ἑαυτὸν λογίζεσθαι πάντων· ὡς τὸ μὴ ὂν χρήσιμον, μὴ ὁμιλεῖν· ἀλλὰ τὰ τοῦ Κυρίου μελετᾷν ἀεὶ λόγια καὶ λαλεῖν στόματι καὶ καρδίᾳ· οὕτως εἰς τὸ μὴ θυμοῦσθαι, κατὰ τὸ εἰρημένον· πᾶσα πικρία, καὶ ὀργὴ, καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ. ἵνα οὕτως ὁ Κύριος ἰδὼν αὐτοῦ τὴν προαίρεσιν δώσῃ αὐτῷ ταῦτα πάντα ἀκόπως καὶ ἀβιάστως, ἅπερ πρὶν οὔπω μετὰ βίας φυλάξαι ἠδύνατο διὰ τὴν οἰκοῦσαν ἐν αὐτῷ ἁμαρτίαν· καὶ γίνεται αὐτῷ ταῦτα πάντα τῆς ἀρετῆς ἐπιτηδεύματα ὥσπερ φύσις· τὸ λοιπὸν γὰρ ἐλθὼν ὁ Κύριος, ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷ, καὶ αὐτὸς ποιεῖ ἐν αὐτῷ τὰς ἰδίας ἐντολὰς ἄνευ καμάτου· πληρῶν αὐτὸν τοῖς καρποῖς τοῦ πνεύματος.

dio, det ipsi hæc cuncta facilia citra laborem & vim, quæ antea laborioso conatu tenere vix poterat, propter reluctantiam inhabitantis in eo peccati: ita ut ipsi jam fiant illæ omnes virtutis exercitationes, quasi natura. De cætero enim Dominus in eum adveniens, & in ipso permanens, uti & ipse in eo, exequitur in ipso sua ipsius mandata, sine molestiâ ejus ullâ, replens ipsum fructibus Spiritûs.

ΚΕΦ. ΙΔ.

Εἰ δέ τις εἰς εὐχὴν βιάζεται ἑαυτὸν, ἕως οὗ λάβῃ τι χάρισμα παρὰ τοῦ Θεοῦ· εἰς ταῦτα δὲ ἤγουν εἰς ταπεινοφροσύνην, εἰς ἀγάπην, εἰς πραότητα, καὶ εἰς τὰς λοιπὰς ἀρετὰς, ὁμοίως οὐ βιάζεται ἑαυτὸν, καὶ ἄγχει, ἐνίοτε γίνεται πρὸς αὐτὸν θεία χάρις αἰτοῦντος καὶ δεομένου· ἀγαθὸς γὰρ καὶ χρηστὸς ὁ Θεός. καὶ τοῖς αἰτοῦσιν αὐτὸν δίδωσι τὰ αἰτήματα· μὴ προευτρεπίσας δὲ ἑαυτὸν, καὶ μὴ ἐθίσας εἰς τὰς προειρημένας ἀρετὰς, ἢ ἀπόλει τὴν χάριν, ἢ λαμβάνει καὶ πίπτει, ἢ οὐ προκόπτει ὑψηλοφρονήσας· ἐπειδὴ ταῖς ἐντολαῖς τοῦ Κυρίου ἑαυτὸν ἐκ προαιρέσεως οὐ δίδωσι· τὸ γὰρ κατοικητήριον, ἡ ἀνάπαυσις τοῦ Πνεύματος, ἡ ταπεινοφροσύνη ἐστὶ, καὶ ἡ ἀγάπη, καὶ ἡ πραότης, καὶ αἱ λοιπαὶ τοῦ Κυρίου ἐντολαί. Ὀφείλουσιν οὖν βουλόμενοι ἐξ ἀληθείας εὐαρεστῆσαι τῷ Θεῷ, καὶ δέξασθαι παρ᾽ αὐτοῦ τὴν ἐπουρά-

CAPUT XIV.

Si vero quispiam in orationem sibi vim infert, donec aliquam gratiam à Deo impetret, in hæc autem, scilicet Humilitatem, Caritatem, Mansuetudinem, & reliquas virtutes pari conatu non incumbit, sibi ad eas vim inferens, seque iis assuefaciens etiam cogendo: nonnumquam ipsi se indulget Divina gratia petenti & oranti: Bonus quippe & clemens Deus est, pronusque ad concedendum flagitantibus quæ volunt. quia tamen talis non præparavit Seipsum, neque assuefecit ad priùs memoratas virtutes, aut perdit citò, Deo justè subtrahente, semel Concessam gratiam; aut acceptam ipse ultrò labens abjicit; aut non proficit, in superbiam elatus. quoniam Mandatis Domini seipsum flagranti studio non impendit totum. Nam domicilium &

requies S. Spiritus Humilitas est, Caritas est, Mansuetudo est, & cæteræ præscriptæ à Domino virtutes. Debent igitur qui volunt in veritate placere Deo & accipere ab ipso Celestem gratiam, crescereque ac se perficere in Sancto Spiritu, primùm cogere seipsos ad utique exercenda Officia omnium virtutum quantumvis reluctante animo, sicut dictum est :
Psal. cxviij. 118. *Propterea ad omnia mandata tua dirigebar.* Enimvero quâ ex causâ quis ad perseverandum in Oratione sibi vim infert urgens cogensque se, nempe ut sui voti compos fiat donum Orationis impetrans : ex eadem præterea debet se pariter ad cuncta virtutis officia compellere, urgendo & cogendo, quoad ex consuetudine bonum habitum paret. sic enim quod perseveranter petierit à Domino consecutus, plenâ jam & securâ optati possessione gaudebit : crescēte utique ac florēte in ipso permanenter, quam anxiè postulavit, gratiâ Spiritûs ; sic tantum in ipso perduraturi, si dignam se sedem invenerit. Sedes enim in quâ libenter requiescit Spiritus Sanctus, Humilitas Hominis est, comitatus-

νιον χάριν, καὶ αὐξῆσαι καὶ πληρωθῆναι ἐν τῷ ἁγίῳ πνεύματι· καὶ βιάζεσθαι πρότερον ἑαυτὸν φυλάσσειν πάσας τὰς ἀρετὰς, καὶ μὴ θελούσης τῆς καρδίας, κατὰ τὸ εἰρημένον· διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· ὡς γάρ τις εἰς τὴν καρτέρησιν τῆς εὐχῆς βιάζεται ἑαυτὸν καὶ ἄγχει ἕως οὗ κατορθώσῃ τοῦτο· ὁμοίως εἰς πάντα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα βιάζεται ἑαυτὸν καὶ ἄγχει, καὶ ἐθίζει ἔθος ἀγαθόν· καὶ οὕτως αἰτούμενος καὶ δεόμενος τοῦ Κυρίου διαπαντὸς, καὶ τυχὼν τῆς αἰτήσεως, αὔξει καὶ θαλλεῖ ἐν αὐτῷ τὸ χάρισμα τοῦ πνεύματος τὸ χάρισμα τὸ χαρισθὲν αὐτῷ ἐναναπαυόμενον ἐν τῇ ταπεινοφροσύνῃ αὐτοῦ, καὶ ἐν ταῖς λοιπαῖς ἀρεταῖς, καὶ διδάσκει αὐτὸν ἀληθινὴν ταπεινοφροσύνην, ἀληθινὴν ἀγάπην, ἀληθινὴν πραότητα, ἣν προεβιάσατο καὶ ἐζήτησε· καὶ οὕτως αὐξήσας καὶ τελειωθεὶς ἐν Θεῷ κληρονόμος τῆς βασιλείας τῶν οὐρανῶν ἀξιοῦται. ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει· ποῦ γὰρ πεσεῖν ἔχει ὑποκάτω πάντων ὤν; μεγάλη ὕψωσις ἡ ταπείνωσις· καὶ τιμιότης, καὶ ἀξίωμα ἡ ταπεινοφροσύνη· ἐθίσωμεν οὖν καὶ ἡμεῖς αὐτοὺς, καὶ ἀγχωμεν εἰς τὴν ταπεινοφροσύνην, καὶ μὴ θελούσης τῆς καρδίας ἡμῶν, δεόμενοι καὶ παρακαλοῦντες τὸν Θεὸν


ἐν πίστει καὶ ἐλπίδι καὶ ἀγάπῃ ἀδιαλείπτως ἐν τῇ προσδοκίᾳ ταύτῃ· ἵνα ἀποστείλῃ τὸ πνεῦμα αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν· ἵνα εὐξώμεθα καὶ προσκυνήσωμεν ἐν πνεύματι τῷ Πατρί· καὶ αὐτὸ τὸ Πνεῦμα εὔξηται ἐν ἡμῖν· ἵνα αὐτὸ τὸ πνεῦμα διδάξῃ ἡμᾶς εὐχὴν ἀληθινήν, ταπεινοφροσύνην, πραότητα, ἀγάπην, ἃ νῦν μετὰ βίας οὐ δυνάμεθα ποιεῖν, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, καὶ πάσας τὰς ἐντολὰς τοῦ Κυρίου διδάξῃ ἡμᾶς ποιῆσαι ἐξ ἀληθείας ἀπόνως καὶ ἀβιάστως· ὡς αὐτὸ τὸ πνεῦμα οἶδε πληροῦν ἡμᾶς τοῖς καρποῖς αὐτοῦ· καὶ οὕτως τῶν ἐντολῶν τοῦ Κυρίου πληρωθεισῶν ἐφ' ἡμῖν διὰ τοῦ πνεύματος αὐτοῦ τοῦ μόνου γινώσκοντος τὸ θέλημα τοῦ Χριστοῦ, καί καθαρίζοντος ἡμᾶς ἀπὸ τοῦ σπίλου τῆς ἁμαρτίας, ὥσπερ νύμφας καλὰς καθαρὰς καὶ ἀμώμους παραστήσῃ τῷ Χριστῷ, ἀναπαυομένων ἡμῶν ἐν Θεῷ, καὶ ἀναπαυομένου τοῦ Χριστοῦ ἐν ἡμῖν εἰς τοὺς ἀπεράντους αἰῶνας· δόξα τοῖς οἰκτιρμοῖς αὐτοῦ, καὶ τῷ υἱέει, καὶ τῇ ἀγάπῃ αὐτοῦ ὅτι εἰς τοσαύτην τιμὴν κατηξίωσε τὸ ἀνθρώπινον γένος, ἰδίους ἀδελφοὺς καὶ υἱοὺς Πατρὸς ἐπουρανίου καταξιῶν καὶ προσαγορεύων· δόξα τῷ Πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ

que reliquarum cum eâ virtutum : quarum omnium idem Spiritus autor & Magister est, docens, dum in eo residet, veram ipsum Humilitatem, veram caritatem, veram mansuetudinem, efficiens ut facile jam exerceat, quæ is antea quærens multùm nitendo sudandoque conabatur. Et sic auctus in profectum, & ad ipsum perfectionis in Deo erectus culmen, Hereditate Cœlorum Regni dignatur. Humilis enim numquam cadit. quo enim caderet qui infra omnia est? Magna exaltatio Humilitas est; Summus honoris apex, excelsa dignitas, sui demissio. Assuefaciamus ergo nos, & vi etiam adhibitâ cogamus ad pessimè de nobis sentiendum; frangendo superbos in alta nitentis impetûs cordis; Deumque cum fide spe ac caritate indesinenter obsecrantes, in longanimâ expectatione bonitatis, ut mittat Spiritum suum in corda nostra, ut Oremus & adoremus in Spiritu Patrem: & ipse Spiritus oret in nobis : ut idem ipse Spiritus doceat nos Orationem veram, humilitatem, mansuetudinem, caritatem;

quas nunc, vi etiam adhibitâ, vix valemus exercere, viscera misericordiæ, benignitatem, & omnes mandatis præscriptas Domini bonas operationes, is præsens docendo suaviter efficiat, ut ex veritate citrâ laborem ac vim exerceamus: quo modo divinus ille Spiritus novit implere nos donis suis. Vnde fiet, ut adimpletis à nobis mandatis Dei per Spiritum ipsius, cui optimè uni perspecta est voluntas Christi, quique nos purgat à sorde peccati; Idem nos velut sponsas pulcras, puras, & irreprehensibiles exhibeat Christo; acquiescentibus nobis in Deo, & Christo acquiescente in nobis, usque ad sæcula interminata. Gloria miserationibus ejus, & benignitati ac caritati ipsius, quòd in tantum honorem vocare dignatus est Genus humanum, proprios Fratres & Filios Patris Cœlestis & esse nos tribuenti, & appellare dignato. Gloria, inquam, Patri & Filio & Spiritui Sancto in sæcula sæculorum. Amen.

πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνως. Ἀμήν.





OPUSCULUM III.


τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

περὶ τελειότητος ἐν πνεύματι

λόγος.

ΚΕΦΑΛΑΙΟΝ Α.



Αριτι μὲν καὶ δωρεᾷ τοῦ Πνεύματος θείᾳ ἕκαστος ἡμῶν τὴν σωτηρίαν πορίζεται· πίστει δὲ καὶ ἀγάπῃ, ἀγῶνί τε προαιρέσεως αὐτεξουσίου, τοῦ τελείου μέτρου τῆς ἀρετῆς ἐφικέσθαι δύναται· ἵν᾽ ὥσπερ χάριτι, οὕτω καὶ δικαιοσύνῃ τῆς αἰωνίου κληρονομήσῃ ζωῆς· μήτε διὰ μόνης τῆς θείας δυνάμεώς τε καὶ χάριτος, μὴ καὶ τοὺς ἰδίους συνεισενεγκὼν ἱδρῶτας, τῆς τελείας προκοπῆς ἀξιούμενος· μήτε πάλιν


S. P. N.

MACARII MAGNI

de Perfectione in Spiritu

Liber.

CAPVT I.



RATIA quidem & largitione Spiritûs Divinâ unusquisque nostrûm Salutem assequitur: fide vero & caritate ac contentione liberâ sui potentis Arbitrij ad perfectæ virtutis mensuram pertingere potest: ut sicut gratiâ, ita & justitiâ, æternæ hereditatem capiat vitæ: Neque per solam Divinam virtutem & gratiam, absque eo quod pro-

prios & ipse conferat sudores, perfecto profectu dignatus: Neque rursus solo proprio studio, absque supernè cooperante Divinâ manu, perfectæ libertatis apicem & puritatis attingens. Nisi enim Dominus ædificaverit domum & custodierit Civitatem, in vanum vigilavit custodiens: frustra pariter Fabri Architectique laborarunt.

Psalm. cxxvj. 1.

ἐκ μόνης τῆς οἰκείας σπουδῆς καὶ δυνάμεως· μὴ καὶ θείας ἄνωθεν συνεφαπτούσης χειρός, τοῦ τελείου τῆς ἐλευθερίας μέτρου, καὶ τῆς καθαρότητος ἐφικνούμενος· ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων, ὁ κοπιῶν καὶ οἰκοδομῶν, εἰς μάτην ὁμοίως.

CAP. II.

ΚΕΦ. Β.

Interrogatio.

Quæ sit voluntas Dei; ad quam scilicet hortatur & provocat Apostolus unumquemque contendere?

Ἐρώτησις.

Τί τὸ θέλημα τοῦ Θεοῦ, πρὸς ὃ δήπου προτρέπεται καὶ παρακαλεῖ ὁ Ἀπόστολος ἕκαστον ἡμῶν φθάσαι.

Responsio.

Perfecta peccati purgatio, & à Passionibus ignominiæ libertas, & summi virtutis Apicis comprehensio. Quod est purgatio & Sanctificatio cordis, quæ per interventum perfecti & Divini Spiritûs in fiduciâ certissimâ fit. *Beati*, enim ait, *mundi corde*; quoniam ipsi *Deum videbunt*. Et: *estote*, & nos & vos, *perfecti sicut Pater Noster Cælestis perfectus est*. Et:

Mat. v.

Ἀπόκρισις.

Ἡ τελεία τῆς ἁμαρτίας κάθαρσις, καὶ τῶν τῆς ἀτιμίας παθῶν ἡ ἐλευθερία, καὶ ἡ τῆς ἄκρας ἀρετῆς ἀνάληψις· ὅπερ ἐστίν: ὁ καθαρισμὸς καὶ ὁ ἁγιασμὸς τῆς καρδίας, ὁ διὰ τῆς μετουσίας τοῦ τελείου καὶ θείου πνεύματος ἐν πληροφορίᾳ γινόμενος· μακάριοι γάρ φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· καὶ γίνεσθε καὶ ἡμεῖς καὶ ὑμεῖς τέλειοι, ὡς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειός ἐστι.

καὶ

καὶ γενηθήτω φησὶν ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ· καὶ αὖθις· τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. καὶ πρὸς τὸν ἐρωτῶντα δὲ πάλιν· τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἀθῷος χερσὶν, ἀποκρίνεται, καὶ καθαρὸς τῇ καρδίᾳ· τὸ διὰ πράξεως καὶ διανοίας ἁμαρτίας τὴν τέλειαν ἐντεῦθεν δηλῶν ἀναίρεσιν.

fiat, inquit, *cor meum immaculatum in justificationibus tuis, ut non confundar.* & rursus: *tunc non confundar cum perspexero in omnibus mandatis tuis.* (*Psalm. cxviij.*) Iterùm quoque ad interrogantem: *quis ascendet ad montem Domini?* respondet: *Innocens manibus & mundo corde*: (*Psalm. xxiij.*) peccati quod vel operatione patratur, vel interno voluntatis assensu consciscitur, perfectam per hoc significans abolitionem.

ΚΕΦ. Γ.

CAPVT III.

Τὰ ἀφανῆ πάθη φησὶ καὶ κρύφια τὸ πνεῦμα τὸ ἅγιον ἐπιστάμενον δυσαπάλλακτα ὄντα, καὶ οἱονεὶ τῇ ψυχῇ κατερριζωμένα, διὰ τοῦ Δαβὶδ δείκνυσι πῶς ἄρα τούτων ποιητέον τὴν κάθαρσιν· ἐκ τῶν κρυφίων μου γὰρ καθάρισόν με φησίν. ὡς διὰ πολλῆς τῆς δεήσεώς τε καὶ πίστεως, καὶ τῆς πρὸς Θεὸν τελείας ῥοπῆς, τῇ συνεργίᾳ τοῦ πνεύματος, κατεργασθῆναι δυναμένων ἡμῶν· πλὴν ἀλλὰ καὶ ἡμῶν πρὸς ταῦτα ἀντιτεινόντων· καὶ φυλακῇ πάσῃ τηρούντων τὴν ἑαυτῶν καρδίαν.

Sub aspectum non cadentes & occultas animæ plagas sciens Spiritus Sanctus curatu esse difficiles, quippe quæ ipsi penitùs inhæreant, veluti radicibus altè in ejus intima demissis: per Davidem ostendit, quomodo earum administranda purgatio sit, dicentem: *Ab occultis meis munda me Domine*: (*Psalm. xviij. 13.*) per quæ verba innuit, unam earum sanandarum efficacem esse rationem, perfectam cum multâ prece ac fide conversionem ad Deum; quæ fieri à nobis potest roboratis cooperatione Spiritûs: cæterùm nobis iisdem in idem toto conatu annitentibus, & omni custodiâ servantibus cor nostrum.

CAP. IV.

Etiam Beatus docet Moyses, per Symbola subindicans, haud sinendum esse distrahi animam contrariis duabus propensionibus, alterâ in malum trahente, alterâ urgente ad bonum: sed toto ejus pondere incumbendum in unam prosecutionem boni. Neque oportere in agro Cordis duos simul fructus serere, utilem & noxium: Sed utilem ac bonum *Deut. xxij.10.* solum. ut hoc exprimat sic scribit: non junges eodem jugo in area tuâ diversi generis animalia, puta bovem & asinum: sed iis quæ sint ejusdem speciei invicem junctis, triturabis messem tuam. Hoc est: ne in areâ cordis nostri virtus & malitia *Deut. xxij. 11.* simul operentur: sed virtus sola. Iterùm præcipit: *Non intexes* *Levit. xix. 19.* *laneo panno linum: neque rursus in veste quâ utaris lineâ lanam. non seres in agro tuo duas fruges simul. Iumentum tuum non facies coire cum alterius generis animantibus. Sed homogenea homogeneis conjunges.* Per quæ omnia mysticè innuit; non oportere vitium & virtutem, ut dictum est, in nobis seri. sed unius boni seminis,

ΚΕΦ. Δ.

Καὶ ὁ μακάριός φησι Μωϋσῆς διὰ τύπων ὑποδεικνύς, τὸ μὴ δεῖν γνώμαις δυοῖν, κακοῦ τε ἀγαθοῦ, τὴν ψυχὴν, ἀλλὰ τῷ ἀγαθῷ μόνῳ ἀκολουθεῖν, καὶ τὸ μὴ χρῆναι δύο καρποὺς γεωργεῖν, χρηστοῦ καὶ χείρονος, ἀλλὰ χρηστὰ μόνα, οὕτω φησίν· οὐ ζεύξεις ἐν τῇ ἅλῳ σου ἀλλογενῆ ζῶα ἐπὶ τὸ αὐτὸ, οἷον βοῦν καὶ ὄνον· ἀλλὰ τὰ ὁμογενῆ ζεύξας ἀλωήσεις τὸν ἀμητόν σου. τουτέστιν· ἵνα μὴ ἐν τῇ ἅλῳ τῆς καρδίας ἡμῶν ἐπὶ τὸ αὐτὸ ἀρετὴ καὶ κακία τὴν ἐργασίαν ἔχῃ, ἀλλ᾽ ἡ ἀρετὴ μόνη· οὐ συνυφανεῖς ἐρέῳ ἱματίῳ λινοῦν· οὐδὲ πάλιν λινῷ ἔριον· οὐ γεωργήσεις ἐν τῇ χώρᾳ τῆς γῆς σου δύο καρποὺς ἐπὶ τὸ αὐτό. οὐκ ἐπιβαλεῖς ἑτερογενὲς ζῶον εἰς γονὴν ἑτέρῳ· ἀλλὰ τὰ ὁμογενῆ τοῖς ὁμογενέσι συζεύξεις· δι᾽ ὧν πάντων αἰνίττεται μυστικῶς, τὸ μὴ δεῖν κακίαν καὶ ἀρετὴν, ὥσπερ εἴρηται, ἐν ἡμῖν γεωργεῖσθαι· ἀλλὰ μονοτρόπως τὰς τῆς ἀρετῆς γονὰς ἀποτίκτεσθαι· καὶ τοῦ μὴ δυσὶ πνεύμασι, τῷ πνεύματι τοῦ Θεοῦ, καὶ τῷ πνεύματι τοῦ κόσμου ψυχήν τινα κοινωνεῖν· διὰ τοῦτο γάρ φησι· πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

virtutis videlicet, fruges ſeri excolique, ut germinent in nobis. Neque duobus Spiritibus, Spiritui Dei & Spiritui Mundi Animam quamlibet communicare. *Propterea*, enim dicit: *ad omnia mandata tua dirigebar; omnem viam iniquitatis odio habui.* Pſalm. cxviij. 128.

ΚΕΦ. Ε.

Οὐκ ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων μόνον, οἷον πορνείας, φόνου, κλοπῆς, γαστριμαργίας, καταλαλιᾶς, ψεύδους, φιλαργυρίας τε καὶ πλεονεξίας, καὶ τῶν τοιούτων ἁγνεύειν χρὴ τὴν παρθένον ψυχὴν, καὶ τῷ Θεῷ συναφθῆναι προῃρημένην· ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τῶν κρυφίων, ὥσπερ εἰρήκαμεν· τουτέστιν, ἐπιθυμίας, κενοδοξίας, ἀνθρωπαρεσκείας, ὑποκρίσεως, φιλαρχίας, δόλου, κακοηθείας, μίσους, ἀπιστίας, φθόνου, φιλαυτίας, τύφου, καὶ τῶν ἄλλων τῶν τοιούτων ὁμοίως· οἶδε γὰρ, φησὶν ἡ γραφὴ, τὰ κρύφια ταῦτα τῆς ψυχῆς ἁμαρτήματα ἐν ἴσῳ τοῖς ἐκτὸς τίθεσθαι. Κύριος γάρ φησι· διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, καὶ ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος· τὸν δόλον ἐπ' ἴσης τῷ φόνῳ δεικνύων ὑπὸ Θεοῦ βδελυσσόμενον· καὶ τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν; καὶ τὰ ἑξῆς· καὶ πάλιν· καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ· καὶ οὐαὶ ὑμῖν ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι· τουτέστιν· ὁπόταν ὑμῖν ἐπὶ

CAPVT V.

Non ab exteriùs apparentibus peccatis ſolùm, puta fornicatione, homicidio, furto, crapulâ, murmuratione, mendacio, cupiditate pecuniæ, avaritiâ & talibus, præſtare ſe puram oportet virginem Animam, & quæ Deo ſe conjungere decreverit: Sed & multò magis ab occultis, uti diximus, hoc eſt, à Cupiditate, à vanæ gloriæ ambitu, à nimio deſiderio hominibus placendi, à ſimulatione, ab affectatione Dominationis, à malignitate, ab odio, ab infidelitate, ab invidiâ, à ſui amore immoderato, ab arrogantiâ, à dolo, ſimilibuſque id genus. Novit enim, ait ſcriptura, oculta hæc Animæ peccata pari loco cum externis Dominus cenſere. dicit quippe; *diſſipavit oſſa eorum qui hominibus placent.* Pſ. Liij. 6. Et: *virum ſanguinum & doloſum abominabitur Dominus.* Pſ. v. 7. Dolum æquè ac homicidium oſtendens abominationi Deo eſſe. *Et qui lo-* Pſalm. xxvij. 3.

loquuntur pacem cum proximo, mala autem in cordibus, &c. Et rursus: *Etenim in corde iniquitates operamini, in terra*, &c.
Luc. vj. 26. Et: *væ vobis cum benedixerint vobis homines*. Hoc est, cum studueritis ab Hominibus bene audire, & gloriæ laudibusque ipsorum inhiaveritis. Studium quippe & ambitionem favoris humani tantùm prohibet, non autem exhibitionem operum laudem merentium. Etenim quî potest fieri ut benè operantes omninò lateant? præsertim
Mat. v. 16. cum ipse Dominus dicat: *Luceat lux vestra coram hominibus.* At de cætero studete, ait, ad Dei Gloriam quod bonum est agere, non autem ad captandam vobis laudem propriam; nec ita vos gerendo ut videamini humani favoris plausûs & encomia impotenter amare. Nam & infideles esse tales
Ioan. v. 44. ostendit dicens: *Quomodo potestis fidem habere, gloriam ab invicem accipientes, & gloriam quæ à Solo Deo est non quærentes.*
1. Cor. x. 31. Vide & Apostolum, quomodo omnia usque ad ipsum manducare & bibere, in gloriam Dei præcipit agere. ait enim *Sive manducatis sive bibitis, sive aliud quid agitis, omnia in gloriam Dei facite.* At Divinus Ioannes Homicidio adæquans odium, *qui odit*,
1. Ioan. iij. 15. inquit, *Fratrem suum Homicida est.*

θέλησις παρὰ ἀνθρώπων καλῶς ἀκούειν, καὶ τῆς δόξης καὶ τῶν ἐπαίνων αὐτῶν ἐξήρτησθε· ἐπεὶ πῶς δυνατὸν ἀγαθοεργοῦντας ἐσάπαν λαθεῖν; ἄλλως τε δὲ καὶ αὐτὸς ὁ Κύριος, λαμψάτω, λέγει, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· πλὴν, ἀλλ' εἰς δόξαν σπουδάζετε τοῦ Θεοῦ, φησὶ, τὸ ἀγαθὸν πράττειν. καὶ μὴ διὰ δόξαν ἰδίαν, μηδ' ὡς τῶν ἀνθρωπίνων ἐπαίνων ἐρωτικῶς ἔχοντες, καὶ γὰρ καὶ ἀπίστους ἀπέδειξεν εἰπών· πῶς δύνασθε πίστιν ἔχειν δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες· ὅρα καὶ τὸν ἀπόστολον, πῶς καὶ αὐτοῦ μέχρι τοῦ φαγεῖν καὶ πιεῖν, πάντα εἰς δόξαν Θεοῦ ἐντέλλεται ποιεῖν. εἴτε γάρ φησιν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ἄλλο ποιεῖτε, εἰς δόξαν Θεοῦ ποιεῖτε. ὁ δέ γε θεῖος Ἰωάννης τῷ φόνῳ συντάττων τὸ μῖσος, ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ φησιν, ἀνθρωποκτόνος ἐστίν.

ΚΕΦ. ς.

Ἡ ἀγάπη πάντα στέγει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· τὸ οὐδέποτε ἐκπίπτει τοῦτο δηλοῦντός ἐστιν· ὅτι περ οἱ τῶν εἰρημένων χαρισμάτων τοῦ πνεύματος ἐπιτυχόντες· μήπω δὲ διὰ τῆς πληρεστάτης καὶ ἐνεργοῦς ἀγάπης τοῦ πνεύματος τῆς ἄκρας τῶν παθῶν ἐλευθερίας ἀξιωθέντες, οὐδέπω τοῦ ἀσφαλοῦς ἥψαντο· ἀλλ' ἐν κινδύνῳ ἔτι καὶ φόβῳ τὰ καθ' ἑαυτοὺς ἕστηκε, διὰ τὰ πνευματικὰ τῆς πονηρίας· τοῦτο γὰρ τὸ μέτρον, μηκέτι ὑπὸ πτῶσιν ὂν μηδὲ πάθος ὑπέδειξε τοιοῦτον ὑπάρχον ὡς γλώσσας ἀγγέλων καὶ προφητείαν, πᾶσάν τε τὴν γνῶσιν, καὶ τὰ τῶν ἰαμάτων χαρίσματα μηδὲν εἶναι· πρὸς ἐκεῖνο παραβαλλόμενα.

CAPVT VI.

Caritas omnia ſuffert omnia ſuſtinet. Caritas numquam excidit. Hæc verba ſunt ejus qui ſignificare velit: Eos qui ſupra memorata Chariſmata Spiritûs aſſecuti ſunt, nondum autem per pleniſſimam & operatoriam caritatem, Spiritûs ſummâ à paſſionibus libertate ſunt dignati, nondum ſecuritatem attigiſſe: ſed in periculo adhuc & timore res ipſorum ſtare, propter Spiritualia nequitiæ. Iſtam enim menſuram haud adhuc infra diſcrimen lapſûs ex perturbatione vehementi, conſtitutam eſſe oſtendit: nec talem eſſe cui Linguæ Angelorum, Prophetia, omnis ſcientia, & curationum Chariſmata comparata, nihil ſint. 1. Cor. xiij. 7.

ΚΕΦ. Ζ.

Διὰ τούτου τῆς τελειότητος ὑπέφηνε τὸν σκοπόν· ἵν' ἕκαστος πτωχεύειν ἑαυτὸν ἀπὸ τοῦ τηλικούτου πλούτου διαγινώσκων, θερμῷ τῷ πνεύματι καὶ συντόνῳ πρὸς τὸ ἔσχατον κατεπείγηται, τὸν πνευματικὸν οὕτω τρέχῃ δρόμον, ἄχρις ἂν καταλάβῃ, καθὼς εἴρηται· οὕτω τρέχετε ἵνα καταλάβητε.

CAPVT VII.

Per hoc perfectionis declaravit ſcopum. ut unuſquiſque egenum ſe tantarum divitiarum recognoſcens ferventi & perſeveranter contendente Spiritu uſque ad ultimũ feſtinet, & ſpirituale ſic percurrat ſtadium, donec comprehendat, ſicut dictum eſt. *Sic currite ut comprehendatis.* 1. Cor. ix. 4.

CAPVT VIII.

Abnegare seipsum hoc puta esse: voluntarium se ad omnia Fraternitati præbere, & in nullo prorsùs voluntati propriȩ obsequi: nec ullius se, præter solam vestem, Dominum putare, ut undique expeditus in procinctu stet ad quidvis imperatum cum gaudio exequendum, alacritate quâ emptum mancipium domi præstò est ad omnes omnium nutus: sic enim & hic cunctis obsequitur; maximè autem Præpositis, Christo obtemperans dicenti: *Qui vult inter vos primus esse & magnus, sit omnium Minister, & ultimus, & servus*; non gloriam, honorem aut laudem venans; non ad oculum serviens, aut placere hominibus studens: Sed debitorem se per omnia reputans ministerij in caritate & simplicitate Fratribus exhibendi.

Mat. xx. 27.

ΚΕΦ. Η.

Τὸ ἀπαρνήσασθαι ἑαυτὸν τοῦτο νόμιζε εἶναι· τὸ ἔκδοτον εἰς ἅπαν τῇ ἀδελφότητι παρέχειν, καὶ θελήματι ἰδίῳ παντάπασι μὴ στοιχεῖν· μήτε τινὸς κύριον εἶναι, ὅτι μὴ τοῦ ἐνδύματος μόνου· ἵνα πάντοθεν ἄνετος ὤν, τὴν ἐπιταττομένων αὐτῷ μόνον μετὰ χαρᾶς ἔχῃ, ὡς ἄν τις ἀργυρώνητος ὢν πρὸς πάντας, καὶ μάλιστα τοὺς διηγουμένους, Χριστοῦ πιθόμενος τῷ εἰπόντι· ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι καὶ μέγας, ἔστω πάντων διάκονος, καὶ ἔσχατος, καὶ δοῦλος, μὴ δόξαν καὶ τιμὴν, μὴ ἔπαινον ποριζόμενος· μὴ ἐν ὀφθαλμοδουλείᾳ ὡς ἀνθρωπάρεσκος· ἀλλ' ὀφειλέτην ἑαυτὸν διὰ παντὸς ἡγούμενος τῆς ἐν ἀγάπῃ τε καὶ ἁπλότητι πρὸς τοὺς ἀδελφοὺς διακονίας.

CAP. IX.

Præpositos Fraternitatis, operi magno admoventes mamanum, adversùs contra molientis artificia malitiæ decertare per humilitatem oportet, ne vitio superbiæ, ut in Fratres ipsis subditos dominantes, vice

ΚΕΦ. Θ.

Τοὺς διηγουμένους τῆς ἀδελφότητος, ὡς μεγάλῳ ἔργῳ ἐπιβαλλομένους πρὸς τὰς τῆς κακίας ἀντιτέχνους μεθοδείας ἀγωνίζεσθαι διὰ ταπεινοφροσύνης δεῖ, ἵνα μὴ πάθει ὑπερηφανίας ὡς τῶν ὑποτεταγμένων ἀδελφῶν κατεξουσιάζοντες,

ἀντὶ μεγίστου κέρδους, ζημίαν ἑαυτοῖς προξενίσωμεν· ἀλλ' ὡς εὔσπλαγχνοι πατέρες, καὶ δουλεύειν μᾶλλον διὰ τὸν Θεὸν ἐκδόντες τῇ ἀδελφότητι ἑαυτοὺς σωματικῶς τε καὶ πνευματικῶς, ὑπὲρ αὐτῶν φροντίζωσι, καὶ ὡς τέκνων Θεοῦ, διαπαντὸς ἐπιμέλωνται, ἐλέγξαι ὅπου χρὴ, καὶ ἐν ᾧ δεῖ παρακαλέσαι· ἵνα μὴ προφάσει ταπεινότητος καὶ πρᾳότητος ἐν συγχύσει τὰ μοναστήρια ᾖ, τὴν προσήκουσαν τάξιν τῶν προεστώτων καὶ ὑποβεβηκότων οὐκ ἀποσώζοντα· ἐν δέ γε τῷ ἀφανεῖ τῆς διανοίας ὡς δούλους ἀναξίους πάντων τῶν ἀδελφῶν ἑαυτοὺς ἡγούμενοι, ὡς παιδαγωγοὶ πνευματικὰ τέκνα πεπιστευμένοι, μετὰ πάσης εὐνοίας καὶ φόβου Θεοῦ ἕκαστον τῶν ἀδελφῶν καταρτίζειν εἰς πᾶν ἀγαθὸν σπουδάζοντες· μὴ ἀγνοοῦντες ὅτι μέγας αὐτοῖς καὶ ἀναφαίρετος ὁ ὑπὲρ τοῦ καμάτου μισθὸς ταμιεύεται.

lucri maximi, damnum nobis ipsis procuremus. Sed ut misericordes Patres; quique potiùs propter Deum se Fraternitati ad serviendum, corporaliter & spiritualiter dediderint, eorum ut Dei filiorum diligentem in omnibus curam gerant: arguendo ubi convenit, ubi oportet consolando. ne obtentu Humilitatis & mansuetudinis in confusione Monasteria sint; congruum ordinem Præsidentium & subjectorum non servantia: in secreto autem Mentis servos indignos omnium Fratrum seipsos reputantes: atque ut boni Pædagogi, quibus spirituales filij concrediti sunt, cum omni benevolentiâ & Dei timore unumquemque Fratrum aptare & promovere ad omne bonum studentes; non ignari, magnam ipsis & inamissibilem, laborisque quantivis excedentem meritum, operæ in id impensæ repositam esse mercedem.

ΚΕΦ. Ι.

Ὥσπερ οἱ παιδαγωγεῖν τοὺς νέους παραλαβόντες, ἔστιν ὅτε καὶ δεσπότας ὄντας ἰδίους, ἀλλ' οὖν παιδείας χάριν καὶ εὐκοσμίας ἤθους οὐκ ὀκνοῦσιν ὅμως καὶ πληγὰς αὐτοῖς ἐντεῖναι κατὰ πολλὴν ἄδειαν· οὕτω δεῖ καὶ τοὺς προεστῶτας, οὐ πάθει

CAPVT X.

Vt qui curam suscipiunt regendorum & instituendorum Adolescentum; ortu aliquando nobilium, & quibus hereditarium jus competit in ipsos olim Magistros, Regni aut Principatûs exercendi: tamen ut disci-

plinâ eos salubri fingant, & mores ipsorum ad rectum & honestum forment, non cunctantur eos interdum plagis etiam magnâ libertate impositis castigare: Sic oportet & Præpositos, non iræ perturbatione, aut fastu superbiæ: Neque dolorem qualem cumque proprium aut contemptum ulciscentes, afficere pœnâ meritâ eos ex Fratribus qui correctione indigent aliquâ. Verùm id faciant benignis visceribus & scopum intuentes unum Spiritualis ipsorum utilitatis, operandâ talium conversione ab errore ad rectam viam.

θυμοῦ καὶ ὑψηλοφροσύνης· οὐδ' ὡς ἑαυτοὺς ἐκδικοῦντες, ἀμύνεσθαι τοὺς παιδείας τινὸς τῶν ἀδελφῶν ἐπιδεομένους· ἀλλὰ σπλάγχνοις χρηστοῖς, καὶ σκοπῷ πνευματικῆς ὠφελείας, τὴν ἐπιστροφὴν ἐκείνων ἐργάζεσθαι.

CAP. XI.

Multo studio, contentione, curâ, & certamine possumus caritatem in Deum acquirere, gratiâ & dono Christi qui formatur in nobis. Ex hoc quoque primo sic expleto mandato, ad secundum facilis eadem ope nobis continget transitus, ad dilectionem, inquam, Proximi. Nam prima præponantur, & plus in iis studij ponatur. ac tum demum ordine convenienti secunda primis consequenter adjungentur. Si quis autem magno illo & primo Mandato, dilectionis Dei neglecto (quæ dilectio ex interiori nostrâ dispositione, conscientiaque bonâ, & sanis de

ΚΕΦ. ΙΑ.

Ὅτι διὰ πολλῆς σπουδῆς καὶ τόνου, μερίμνης τε καὶ ἀγῶνος τὴν πρὸς Θεὸν ἀγάπην δυνατοὶ γινόμεθα κτήσασθαι χάριτι καὶ δωρεᾷ Χριστοῦ ἐν ἡμῖν διαμορφουμένου· ἐκ δὲ ταύτης καὶ τὴν δευτέραν φημὶ ἐντολήν, τὸ πρὸς τὸν πλησίον ἀγάπην, ῥαδίως κατορθῶσαι γίνεται; τὰ γὰρ πρῶτα καὶ προτασσέσθω τῶν ἄλλων, καὶ πλέον αὐτῶν σπουδαζέσθω· καὶ οὕτω τὰ δεύτερα τοῖς πρώτοις ἑπόμενα ἔσται· εἰ δέ τις τῆς μεγάλης ταύτης καὶ πρώτης ἐντολῆς, τῆς πρὸς Θεὸν ἀγάπης φημί, κατολιγωρήσας, ἥτις ἀπὸ τῆς ἔνδον ἡμῶν διαθέσεως συνειδήσεώς τε ἀγαθῆς, καὶ ὑγιῶν τῶν πρὸς Θεὸν ἐννοιῶν, συνάμα καὶ βοηθείας συνεφαπτομένης συνίσταται· τῆς δὲ δευτέρας;

ρας τῆς ἔξωθεν μόνον ἐπιμέλειαν τῆς διακονίας ἀφοσιοῦν βούλεται, ἀδύνατον αὐτῷ ταύτην ὑγιῶς τε καὶ καθαρῶς μετελθεῖν· ἡ γὰρ τῆς κακίας μέθοδος μνήμης ἔρημον καὶ ἀγάπης καὶ Θεοῦ ζητήσεως τὸν νοῦν ἀνευρίσκουσα, ἢ δυσχερῆ καὶ ἐπίπονα τὰ θεῖα ἐπιτάγματα φαίνεσθαι ποιεῖ· γογγυσμοὺς καὶ λυπὰς καὶ μέμψεις κατὰ τῆς εἰς τοὺς ἀδελφοὺς διακονίας τῇ ψυχῇ ἀνακινοῦσα, ἢ οἰήσει δικαιοσύνης ἐξαπατήσασα φυσιοῖ, καὶ ἑαυτὸν ἡγεῖσθαι τίμιόν τε καὶ μέγαν, καὶ ἄκρως κατορθοῦντα τὰς ἐντολὰς ἀναπείθει.

Deo cogitationibus, concurrente simul auxilio gratiæ cooperatricis elicitur) secundo mandato dilectionis Proximi, exteriori tantum tenus ministerij accuratione defungi voluerit: nequaquam illud poterit sanè ac purè exequi. Nam machinatio quædam impugnantis nos Malitiæ, Memoriæ, amoris, & Dei inquisitionis, vacuam mentem reperiens, aut efficit ut molesta & laboriosa nimis ipsi Dei præcepta videantur: unde in murmurationes, dolores, & querelas contra Ministerium erga Fratres animam incitat: aut opinione justitiæ deceptum sic ministrantem inflat: & ei persuadet, ut se existimet pretiosum quemdam ac magnum, qui summâ perfectione cuncta Dei exhauserit mandata.

ΚΕΦ. ΙΒ.

Ὁπόταν ἑαυτὸν οἰηθῇ ἄνθρωπος τῶν ἐντολῶν ἐπιμελητὴν, δῆλός ἐστιν ἁμαρτάνων, καὶ τῆς ἐντολῆς σφαλλόμενος· ἅτε κρίνων ἑαυτὸν, καὶ μὴ τὸν ἀληθῶς κρίνοντα προσδεξάμενος· ὅταν γὰρ συμμαρτυρῇ τῷ πνεύματι ἡμῶν τὸ τοῦ Θεοῦ πνεῦμα, κατὰ τὸ λόγιον Παύλου, τότε φιλαλήθως Χριστοῦ ἄξιοι, καὶ τέκνα Θεοῦ τυγχάνομεν ὄντες· οὐχ ὅταν ἰδίᾳ οἰήσει ἑαυτοὺς δικαιώσωμεν· οὐ γὰρ ἑαυτὸν συνιστῶν, φησὶ, δόκιμος·

CAP. XII.

Cùm Homo præsidenti tumore seipsum existimat accuratum executorem Mandatorum Dei, hoc ipso manifesto prodit indicio errare se, ac, contra quàm deceptus putat, à Præcepti observatione deviasse. Vt pote qui arroganter præoccupet judicium de se ipso ferre; non expectans verum & legitimum, cui ea reservatur cognitio, Iudicem.

Rom. viij. 16. Quando enim *Testimonium reddit Spiritui nostro Dei Spiritus*, secundùm Oraculum Pauli, tunc solum & demum Christo digni, & filij Dei verè sumus. non autem quando propriæ opinionis arrogantiâ justos
II. Cor. x. 18. nos ipsi declaraverimus. *Non enim qui seipsum commendat*, ait, *ille probatus est*, *sed quem Deus commendat.* Quandoquidem cum memoriæ & timoris Dei expers reperitur homo, deesse non potest quin & gloriam amet propriam, & venetur laudem ab iis quos Ministerio suo
Sup. c. v. Io. v. 44. juvat. Talis porrò fide carere à Domino convictus est, iis quæ paulò ante recitata hîc iterùm discribentur, verbis: *Quomodo potestis credere, vos qui gloriam ab invicem accipitis, & gloriam quæ à Solo Deo est non quæritis?*

ἀλλ᾽ ὃν ὁ Κύριος συνίστησιν· ἐπείπερ ὅταν μνήμης καὶ φόβου Θεοῦ γυμνὸς ὢν εὑρίσκηται ὁ ἄνθρωπος, πολλὴ ἀνάγκη καὶ δόξης ἐρᾷν καὶ θηρεύειν ἔπαινον παρὰ τῶν ὑπ᾽ αὐτοῦ διακονουμένων· ὁ δέ γε τοιοῦτος ἄπιστος παρὰ τοῦ Κυρίου ἐλήλεγκται, καθάπερ ἤδη δεδήλωται· πῶς γάρ φησι δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;

CAPUT XIII.

Certamine multo & labore mentis, per Sanctas cogitationes & continuam omnium bonarum rerum cum solicitudine considerationem, caritas in Deum, sicut dictum est, provenire potest homini, & ab eo prout fas est, exerceri. Quòd tanto ad id conatu ac molitione sit opus, inde est: quod Adversarius impensè satagit impedire mentem nostram, & omni ope obstare, ne per memoriam bonarum re-

ΚΕΦ. ΙΓ.

Ἀγῶνι πολλῷ καὶ καμάτῳ νοὸς διὰ σεμνῶν ἐννοιῶν καὶ τῆς συνεχοῦς πάντων τῶν καλῶν μερίμνης ἡ πρὸς Θεὸν ἀγάπη, καθάπερ εἴρηται, κατορθοῦσθαι δύναται· ἅτε τοῦ ἐναντίου τὸν ἡμέτερον νοῦν ἐμποδίζοντος, καὶ οὐ συγχωροῦντος αὐτὸν διὰ τῆς τῶν καλῶν μνήμης τῷ θείῳ ἔρωτι προσανέχειν· ἀλλὰ ταῖς γηΐναις ἐπιθυμίαις τὴν αἴσθησιν περισαίνοντος· ἐν τούτῳ γὰρ ὁ τοῦ πονηροῦ θάνατος, καὶ οἷον εἰπεῖν, ἀγχόνη, ὅτε τῇ τοῦ Θεοῦ ἀγάπῃ καὶ μνήμῃ ἀπερισπάστως ἐνδιατρίβων

ὁ νοῦς εὑρίσκηται· ἐντεῦθεν καὶ ἡ πρὸς τὸν ἀδελφὸν εἰλικρινὴς ἀγάπη συστῆναι δύναται, καὶ ἡ ἀληθὴς ἁπλότης, καὶ ἡ πρᾳότης, ἡ ταπείνωσις, ἡ ἀκεραιότης, ἡ ἀγαθότης τέ φημι καὶ εὐχὴ, καὶ πᾶς ὁ περικαλλὴς τῶν ἀρετῶν στέφανος, διὰ τῆς μίας, καὶ μόνης, καὶ πρώτης ἐντολῆς, τῆς πρὸς Θεὸν ἀγάπης τὴν τελειότητα δέχεται· ἀγῶνος τοίνυν πολλοῦ καὶ πόνου κρυπτοῦ καὶ ἀδήλου χρεία, λογισμῶν ἐρεύνης τε, καὶ τῆς τῶν ἠσθενηκότων τῆς ψυχῆς ἡμῶν αἰσθητηρίων γυμνασίας πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, καὶ τοῦ ῥωννύειν καὶ ἀναζωπυρεῖν διὰ τῆς τοῦ νοῦ πρὸς Θεὸν ἐπιμελοῦς νεύσεως τὰ πεπονηκότα τῆς ψυχῆς μέλη. ὁ γὰρ νοῦς ἡμῶν οὕτω διαπαντὸς τῷ Θεῷ προσκολλώμενος, γενήσεται μετὰ τοῦ Κυρίου εἰς ἓν πνεῦμα, κατὰ τὸ λόγιον Παύλου.

rum amori divino vacet. à quo ut illam avertat, terrenis desideriis ejus sensum titillans allicit. Nec mirum est, tantum eum in hoc contendere. Nam mors &, ut sic dicam, suspendium Diaboli est, quando in Dei caritate & memoriâ indivulsè commorans mens humana reperitur. Hinc jam prono quasi fluxu illimis in fratrem facilè redundat caritas, & vera simplicitas, & mansuetudo, & humilitas, & synceritas, & bonitas, & ipsa Oratio, cunctarumque formosè resplendens corona virtutum, per illud unum & solum & primum dilectionis Dei mandatum perfectionem accipit. Certamine igitur multo & conatu occulto, nec foris observabili contentionis labore opus est, in perscrutatione cogitationum, in exercitatione infirmorum Animæ sensuum ad discretionem boni & mali, in corroborandis & excitandis per studiosam versùs Deum inclinationem debilitatis Animæ membris. Vnde consequemur, ut nostra mens sic continuè Deo affixa, coalescat in unum cum Domino Spiritum, juxtà oraculum Pauli. *1. Cor. vj. 17.*

ΚΕΦ. ΙΔ.

Τοῦτον δέ φησι τὸν κρυπτὸν ἀγῶνα, καὶ τὸν πόνον, καὶ τὴν μελέτην, ἀδιαλείπτως ἔχειν τοὺς φιλαρέτους χρὴ πρὸς πᾶσαν ἐπιτήδευσιν ἐντα-

CAPVT XIV.

Hanc autem interiorem contentionem, laborem, & meditationem, incessanter viva & experrecta conferre virtutis

Amantes oportet ad omnem observationem mandati sive Orantes, sive Ministrantes, comedentes quin etiam aut bibentes: ut quodcumque demum bonum ab ipsis fiet in Gloriam Dei, & non in nostram fiat Gloriam. prona autem & facilia nobis cuncta quæ ad quorumvis Dei mandatorum plenam executionem attinent efficiet Dei amor, dum viget in nobis omnem duritiem emolliens, amaritiemque laboris cujusvis suavi quasi quodam condimento diluens.

λῆς, ἤτοι εὐχομένους, ἢ διακονοῦντας, ἐσθίοντας ἢ πίνοντας· ἵν' ὅπερ ἂν γένηται ἀγαθὸν, εἰς δόξαν Θεοῦ, καὶ μὴ εἰς ἡμετέραν γένηται δόξαν. εὐπετῆ δὲ ἡμῖν καὶ ῥᾴδια πάντα τὰ τῶν ἐντολῶν ἔσται τῆς τοῦ Θεοῦ ἀγάπης αὐτὰ διαμαριζούσης, καὶ τὸ ἐπίπονον αὐτῶν ἐκλυούσης ἅπαν.

CAPUT XV.

ΚΕΦ. ΙΕ.

Omnis contentio & studium Adversarij, in hoc, ut dictum est, vigilat, ut annitatur mentem nostram à Dei memoriâ, timore, amoréque avellere: terrenis ipsam avocationibus & delinimentis, à vero bono ad apparentia divertendo.

Ὅλος ὁ ἀγὼν καὶ σπουδὴ τοῦ ἀντικειμένου τοῦτό ἐστιν, ὡς δεδήλωται, τὸ δυνηθῆναι τὸν νοῦν ἀπὸ τῆς πρὸς Θεὸν μνήμης καὶ τοῦ φόβου, καὶ τῆς ἀγάπης περισπάσαι, γηΐναις αὐτὸν παραγωγαῖς καὶ δελεάσμασιν ἀπὸ τοῦ ὄντως ἀγαθοῦ πρὸς τὰ δοκήσει καλὰ παρατρέποντος.

CAPUT XVI.

ΚΕΦ. ΙΣ.

Invicem virtutes nectuntur & mutuò inhærent, ut sacræ cujuspiam catenæ commissi reprocis morsibus annuli, uno ex alio pendente. In hunc enim modum Oratio, ex caritate; Caritas è Gaudio; Gaudium è Mansuetudine; Mansuetudo ex

Ἀλλήλων αἱ ἀρεταὶ δέδενται, καὶ ἀλλήλων ἔχονται, καθάπερ ἱερά τις σειρὰ μία τῆς μιᾶς ἠρτημένη· οἷον ἡ μὲν εὐχὴ, τῆς ἀγάπης· ἡ ἀγάπη δὲ τῆς χαρᾶς: ἡ χαρὰ, τῆς πρᾳότητος· ἡ πρᾳότης, τῆς ταπεινοφροσύνης· ἡ ταπεινοφροσύνη δὲ τῆς διακονίας· ἡ διακονία δὲ,

τῆς ἐλπίδος· ἡ δὲ ἐλπὶς, τῆς πίστεως· καὶ ἡ μὲν πίστις, τῆς ὑπακοῆς· ἡ δὲ ὑπακοὴ τῆς ἁπλότητος· ὥσπερ τἀναντία πάλιν ἐν ὑφ' ἑνὸς διέδεται· οἷον τοῦ μὲν θυμοῦ, τὸ μῖσος· ὁ δὲ, τῆς ὑπερηφανίας· τῆς κενοδοξίας αὕτη· ἐκείνη, τῆς ἀπιστίας· ἡ δὲ τῆς σκληροκαρδίας· καὶ αὕτη μὲν ἐκ τῆς ἀμελείας· ἐκείνη δὲ τῆς χαυνώσεως· ἐκ δὲ τῆς ὀλιγωρίας αὕτη· κἀκείνη μὲν ἐκ τῆς ἀκηδίας· ὡς ἐκ τοῦ ἀνυπομονήτου πάλιν αὕτη· τὸ δὲ τῆς φιληδονίας· καὶ οὕτω τὰ λοιπὰ μέλη τῆς κακίας ἀλλήλων ἐχόμενά εισιν.

Humilitate; Humilitas è Ministerio; Ministerium è Spe; Spes ex Fide; Fides ex Obedientiâ; Obedientia è simplicitate, suspensæ trahuntur. Sicuti è contrario Vitia quoque unum alteri conseruntur. Ex irâ quippe religatum pendet odium; ex hoc superbia; ex hâc vanæ Gloriæ affectatio: Hæc Infidelitatem trahit, quæ duritij ei cordis Mater est, proles autem Incuriæ, quam gignit languor Spiritus, ex supino neglectu ducens Originem: hunc producit Acedia; Filia hæc impatientiæ, cujus Amor voluptatis est Pater. Ita cætera quoque membra Malitiæ invicem apta nexaque sunt.

ΚΕΦ. ΙΖ.

Πᾶν ὅπερ ἂν ποιῇ καλὸν ὁ ἄνθρωπος, σπιλοῦν αὐτὸ καὶ καταμιαίνειν ὁ πονηρὸς τῇ ἐπιμιξίᾳ τῶν ἑαυτοῦ σπερμάτων βούλεται· οἷον τῆν κενοδοξίας, τῆς οἰήσεως, εἴτε μὴν καὶ τοῦ γογγυσμοῦ, ἢ ἑτέρου τινὸς τῶν τοιούτων· ἵν' ἡ μὴ διὰ Θεὸν μόνον, ἢ μὴ ἐκ προθυμίας τὸ γινόμενον ἀγαθὸν γίνηται· γέγραπται γὰρ τὸν Ἄβελ προσενεγκεῖν θυσίαν τῷ Θεῷ ἀπὸ τῶν στεάτων, καὶ ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων· καὶ τὸν Καῒν δὲ, ὁμοίως δῶρα προσενεγκεῖν ἀπὸ τῶν καρπῶν μὲν τῆς γῆς,

CAPVT XVII.

Omne bonum quod Homo facit inquinare ac contaminare nititur diabolus immixtione suorum seminum. vanæ nimirum gloriæ, præfidentiæ, sive murmurationis, aut cujuspiam alterius talium. ut non propter Deum solum, neque tantum ex syncero mentis proposito bonum opus fiat. Scriptum est enim: Abelem obtulisse *Gen.*
Sacrificium Deo *de primogenitis Gregis & de adipibus eorum.* *iv. 4.*
Caïnum quoque similiter do-

na obtulisse de fructibus quidem terræ, sed non è primis aut optimis. Et proterea Deum respexisse ad Sacrificia Abelis; ad Caïni autem munera non attendisse. Inde discere debemus: contingere posse, ut aliquod bonum non benè fiat: puta si fiat negligenter aut contemptim, aliove vitio submisto, & non merè propter Deum: ex quo evenit, ut gratum id & acceptum Deo non sit.

ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων· καὶ διὰ τοῦτο ἐπὶ μὲν ταῖς θυσίαις τοῦ Ἀβὲλ ἐπιδεῖν τὸν Θεόν· ἐπὶ δὲ τοῖς δώρεσις τοῦ Καΐν μὴ προσέχειν. ἐκ τούτου μανθάνειν ἔχομεν· ὅτι ἔστι, τὶ καλὸν μὴ ποιῆσαι καλῶς· οἷον ἀμελῶς ἢ καταφρονητικῶς· ἢ δι' ἕτερόν τι· καὶ οὐ διὰ Θεόν· καὶ παρὰ τοῦτο συμβαίνει γίνεσθαι, μὴ προσδεκτὸν τῷ Θεῷ.






OPUSCULUM IV.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Περὶ προσευχῆς, Λόγος.

ΚΕΦΑΛΑΙΟΝ Α.



Κεφάλαιον πάσης ἀγαθῆς σπουδῆς, καὶ κορυφὴ τῶν κατορθωμάτων ἡ προσευχῆς ἐστὶ προσεδρεία, δι' ἧς καὶ τῶν ἄλλων ἐν κτήσει γινόμεθα, τοῦ καλουμένου χεῖρα συνεργὸν ἐπορέγοντος· ἥ τε γὰρ κοινωνία τῆς μυστικῆς ἐνεργείας καὶ συνάφεια διαθέσεως τῆς πρὸς Θεὸν ἁγιότητος, καὶ αὐτοῦ τοῦ νοῦ δι' ἀγάπης ἀῤῥήτου πρὸς Κύριον, ἐν τῇ εὐχῇ τοῖς καταξιουμένοις γίνεται· ἔδωκας γάρ φησιν εὐφροσύνην εἰς τὴν καρδίαν μου· καὶ αὐτὸς δὲ ὁ Κύ-

S. P. N.

MACARII MAGNI

De Oratione, Liber.

CAPUT I.



Caput omnis boni studij & vertex operum bonorum assiduitas Orationis est; per quam in aliorum possessionem bonorum inducimur, eo qui nos ad ea vocat, manum cooperatricem porrigente. Etenim comunicatio mysticæ energiæ, & adhæsio flagrantis in intimo Sanctæ intentionis ad Deum; ipsaque mentis per caritatis indissociabilem nexum

arcta cum Domino conjunctio, iis qui talibus dignantur gratiis, in Oratione proveniunt. *Psalm. iv. 7.* *Dedisti* enim ait, *Lætitiam in corde meo.* & ipse dicit Dominus: *Regnum Cælorum intra vos est.* *Luc. xvij. 21.* Nam intra nos esse Regnum, quid aliud putemus, quam cœlestem lætitiam Spiritus Sancti Animabus dignis sensibiliter immissam significare? Fruitionis siquidem & gaudij lætitiæque illius spiritualis quam in luce æternâ Sancti in Christi Regno participant, arrham velut quamdam & prælibationem jam hinc dignæ ad hoc effectæ per gratiosè cõmunicatam ipsis operationem Spiritus Animæ accipiunt. *Psalm. lxxxij. 3.* *Cor enim*, inquit, *meum & caro mea exultaverunt in Deum vivum.* & illud: *Sicut adipe & pinguedine repleatur anima mea.* *Ps. lxij. 6.* Et iis consona, in idem tendunt, & operatione Spiritûs indictam Animæ lætitiam & consolationem indicant.

ειος· ἡ βασιλεία οὐρανῶν ἐντὸς ἡμῶν ἐστί· τὸ γὰρ ἐντὸς εἶναι τὴν βασιλείαν, τί ἂν ἄλλο δηλοῦν εἴη, ἢ τὴν τοῦ πνεύματος οὐράνιον εὐφροσύνην ταῖς ἀξίαις ψυχαῖς ἐναργῶς ἐνσημαίνεσθαι; τῆς ἀπολαύσεως γάρ τε καὶ χαρᾶς καὶ τῆς ἐν πνεύματι εὐφροσύνης, ἧς ἐν φωτὶ αἰωνίῳ οἱ ἅγιοι ἐν τῇ τοῦ Χριστοῦ μεθέξουσι βασιλείᾳ, ταύτης τὸν ἀρραβῶνα, καὶ τὰ προοίμια ἐντεῦθεν ἤδη αἱ ἄξιαι διὰ τῆς τοῦ πνεύματος ἐνεργοῦς κοινωνίας ψυχαὶ λαμβάνουσιν· ἡ καρδία μου γάρ φησι καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα· καὶ τὸ, ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ τὰ συνῳδὰ τούτοις, εἰς ταὐτὸ φέρουσι, καὶ τὴν τοῦ πνεύματος ἐνεργὸν εὐφροσύνην καὶ παράκλησιν ὑπαινίττονται.

CAPVT II.

Vt præstantius cæteris est Opus Orationis: ita majori opus habet solicitudine qui in id incumbit: ne qua illi subrepat à Malitiâ deceptio. Nam quò quisque majoris adipiscendi Boni curam ac propositum con-

ΚΕΦ Β.

Ὥσπερ μεῖζον τῶν ἄλλων τὸ τῆς εὐχῆς ἔργον· οὕτω πλείονος δεῖ καὶ μερίμνης τῷ πρὸς αὐτὴν ἔχοντι· μήπου κλοπήν τινα παρὰ τῆς κακίας ὑπομείνας λάθῃ· οἷς γὰρ μείζονος ἀγαθοῦ ἐπιμέλεια, μείζονι καὶ ὁ πονηρὸς τῇ πείρᾳ προσβάλλει·

βάλλει· ὥστε πολλῆς αὐτῷ δεήσει τῆς νήψεως, ἵνα καὶ μᾶλλον καρποὶ ἀγάπης, καὶ ταπεινοφροσύνης, ἁπλότητός τε καὶ ἀγαθότητος, καὶ διακρίσεως, ὁσημέραι τῷ παραμόνῳ τῆς εὐχῆς ἀναφύωνται, καὶ αὐτοῦ μὲν φανερὰν τὴν ἐπὶ τὰ θεῖα προκοπὴν καὶ ἐπίδοσιν καθιστῶσι, τοὺς ἄλλους δὲ εἰς τὸν ἴσον ζῆλον παρακαλῶσιν.

cipit eò majori diabolus conatu ei obſtare contendit. Quare multam eum adhibere neceſſe erit acris attentionis vigiliam, ut non ſolùm inſultibus Improbi reſiſtat, ſed & trans cunctas ejus inſidias perrumpens, id magis magiſque aſſequatur: ut fructûs Caritatis, Humilitatis, Simplicitatis, Bonitatis, Diſcretionis è patienti Orationis culturâ ipſi pleni uberesque progerminent: ipſiuſque perſpicuum in Divina progreſſum profectumque demonſtrent: ſicque alios ad paris æmulationem ſtudij provocent.

ΚΕΦ. Γ.

Ἀδιαλείπτως εὔχεσθε, καὶ προσκαρτερεῖν τῇ εὐχῇ αὐτός τε ὁ θεῖος ἀπόστολος, καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον διδάσκει, πόσῳ μᾶλλον, εἰπόντος ποιήσει ἐκδίκησιν ὁ Θεὸς τῶν βοώντων πρὸς αὐτὸν νυκτὰς καὶ ἡμέρας· καὶ τό· γρηγορεῖτε καὶ προσεύχεσθε· δεῖ οὖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. ὥσπερ δὲ κεφαλαιωδέστερον ὁ τῇ εὐχῇ προσκαρτερῶν εἵλετο ἔργον· οὕτως αὐτῷ ἀγῶνα πολὺν, καὶ τόνον ἀνένδοτον ἀνέχεσθαι χρὴ, διὰ τὸ πολλὰ τῇ προσεδρείᾳ τῆς εὐχῆς ὑπεῖναι τὰ τῆς κακίας ἐμπόδια· ὕπνον, ἀκηδίαν, βάρος σώματος, λογισμῶν ἐπιφορὰν, νοὸς ἀκαταστασίαν, ἔκλυ-

CAPVT III.

Sine intermiſſione orandum
& perſeveranter inſiſtendum
Orationi eſſe, & divinus Apo- Theſ. v.
ſtolus, & ipſius Domini ora- 17.
culum præcipit, dicentis: *Si*
Iudex iniquitatis, &c. quantò Luc.
magis *Deus faciet vindictam* xviij. 7.
clamantium ad ſe die ac nocte?
Et illud: *vigilate & orate* Opor- Mat.
tet igitur ubique orare; nec in xxvj.
hoc umquam conatum remit- 41.
tere. Quantò autem capitalius
magiſque palmare ad perfectionis adeptionem qui perſeverare in Oratione decrevit Opus aggreſſus eſt; tantò ipſum aſperius certamen acrioremque contentionem ſuſcipere, atque

ad extremum perducere oportet. eò quod perseverantiæ Orationis multa objicit impedimenta infirmæ pravitas naturæ: somnum, acediam, pondus corporis, cogitationum aversionem, Mentis instabilitatem, languorem, & reliqua obsidentis nostram debilitatem malitiæ inventa. Præterea Tribulationes, & ipsorum malorum Dæmonum insultus vehementer impugnantium nos, & omni vi obstantium ne appropinquare Deo valeat Deum & veritatem incessanter quærens Anima.

σιν, καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα. εἶτα θλίψεις καὶ αὐτῶν τῶν πονηρῶν πνευμάτων ἐπαναστάσεις ἐνθύμως πολεμούντων ἡμῖν καὶ ἀντικαθισταμένων, καὶ προσεγγίζειν τῷ Χριστῷ διειργόντων τὴν μετὰ τὴν ἀλήθειαν τὸν Θεὸν ἀπαύστως ἐπιζητοῦσαν ψυχήν.

CAP. IV.

Eum qui seriò negotium Orationis induxit in animum capessere, contendere in eo viriliter oportet, omni studio, attentâ vigiliâ, longanimi patientiâ, certamine Animæ ac labore corporis; nihil umquam remittendo de ardore, nec cedendo distractionibus evagantium cogitationum, aut somno supra necessitatem, aut desidi torpori, aut inordinatæ confusioni actionum temerè permixtarum citrà convenientem delectum loci & temporis: non utendo turbulentis & indecentibus clamoribus; aut effluere animum sinendo in quidvis ejusmodi: Sed certo & immutabili proposito persuasæ irrevocabi-

ΚΕΦ. Δ.

Πάσῃ σπουδῇ καὶ νήψει ὑπομονῇ τε καὶ ἀγῶνι ψυχῆς καὶ πόνῳ σώματος, τὸν τῆς εὐχῆς ἐπιμελούμενον ἀνδρίζεσθαι χρή, μὴ ἐκκακούμενον συνεπιδιδόντα τὸν τῶν λογισμῶν ἐκτροπαῖς, ἢ πολλῷ ὕπνῳ, ἢ ἀκηδίᾳ, ἐκλύσει τε καὶ συγχύσει, καὶ ταραχώδεσι καὶ ἀπρεπέσι φωναῖς χρώμενον, ἢ τισι τοιούτοις ἐπιτρέποντα τὴν διάνοιαν, μόνῃ μὲν ἐκπληροφορούμενον τῇ παραμόνῳ στάσει, κλίσει τε τῶν γονάτων τὸν δὲ νοῦν μακράν που τῶν γινομένων ἀποπλανώμενον ἔχοντα· οὐδὲν γὰρ τὸ κωλῦον ἦν μὴ ἀκριβῶς νήφων παρασκευάζηται, ἐναντιούμενος μὲν τῇ ὕλῃ τῶν πονηρῶν λογισμῶν· διαβασανίζων δὲ πάντας αὐτοὺς καὶ φιλοκρίνων, ἐπιποθῶν τε ἀεὶ τὸν Κύριον· ποικίλως ὑπὸ τῆς κακίας

κατὰ τὸ ἀφανὲς δελεάζεσθαι· ἢ καὶ τῶν μήπω τῇ εὐχῇ δυναμένων προσκαρτερεῖν κατεπαίρεσθαι, καὶ διὰ τῶν πισῶν τῆς κακίας μηχανημάτων τὴν καλὴν διαφθείρειν ἐργασίαν, καὶ προπίνειν ταύτην τῷ πονηρῷ δαίμονι.

liter mentis, defigendo ſe non ſoli patienti ſtationi, aut flexioni genuum; at meditationi attentæ propoſitarum ad contemplandum rerum, cohibitis evagationibus longè aberrantis interim mentis dum corpus orantis ſpeciem ſervat. Nihil enim ſanè prohibet, quin, niſi diligenter & attentè ad orandum paratus quis accedat, niſi turbæ vanarum cogitationum fortiter obſiſtat, excutiens ſingulas & dijudicans, flagranti ſemper deſiderio ſe intimè admovendi, nihil, inquam obſtat, ſi hæc negliget, quin verſutis inhabitantis in ipſo Malitiæ clàm & ſenſim illiciatur artibus: aut efferri ſe ſinendo in arrogantem contemptum aliorum, comparatione ſui cum iis qui perſeverare diù in habitu orantium nequeunt: aut alio quopiam errore in quem ſuis cum aſtuta malitia machinationibus induxerit, corrumpendo præclaram Operationem, eamque ſic irridendam propinando Malo Dæmoni.

ΚΕΦ. Ε.

Εἰ μὴ ἡ ταπεινοφροσύνη καὶ ἡ ἀγάπη, ἡ ἁπλότης τε καὶ ἀγαθότης κατακολλῶσιν ἡμῖν τὴν εὐχὴν, ἡ εὐχὴ αὕτη, μᾶλλον δὲ τὸ πρόσχημα τῆς εὐχῆς, ἥκιστά γε ἡμᾶς ὠφελεῖν δύναται· καὶ οὐκ ἐπὶ τῆς εὐχῆς τοῦτο μόνης φαμὲν· ἀλλὰ καὶ ἐπὶ παντὸς καμάτου καὶ πόνου, παρθενείας, ἢ νηστείας, ἢ ἀγρυπνίας, ἢ ψαλμῳδίας, ἢ διακονίας, ἢ οἱασδηποτοῦν ἐργασίας ἀρετῆς ἕνεκεν ἐπιτελουμένης· εἰ μὴ τοὺς καρποὺς τῆς ἀγάπης, εἰρήνης τε καὶ χαρᾶς, καὶ πρᾳότητος, ταπεινοφροσύνης τε φη-

CAPUT V.

Niſi Humilitas, Caritas, Simplicitas & Bonitas arctè conglutinent nobis Orationem, ipſa oratio, aut potiùs inane ſimulacrum Orationis, minimè ſane juvare nos poterit Neque id de Oratione ſolâ dicimus, ſed de omni genere arduorum quantumvis & laborioſorum Operum, puta de virginitate, jejunio, vigiliis, Pſalmodiâ, Miniſterio, ſimilibus-ve Officiis ſpecioſarum plauſibiliumque virtutum. In quarum exerci-

tio nisi fructus Caritatis, Pacis, Gaudij, Mansuetudinis, Humilitatis quinetiam & simplicitatis, sinceritatique ac fidei ut oportet, longanimitatis quoque ac benevolentiæ in nobis metipsis experiendo videamus, inutiliter laboraverimus. Labores siquidem istos spe assequendæ fructuum utilitatis suscipere voluimus. Si ergo post eos in nobis non reperiantur fructus caritatis supervacanea profectò illa omnis opera fuerit. Ac mihi videntur Homines ejusmodi à quinque fatuis in nullo differre Virginibus, quæ idcirco quod domo allatum in suis Cordibus non habuerunt Spirituale oleum, quo Symbolicè designatur modò memoratarum, quæ per Spiritum exercetur, Operatio virtutum, & fatuarum opprobriosâ nomenclatione traductæ sunt, & regio thalamo miserabiliter exclusæ, nullum nactæ operæ pretium custoditæ laboriosè Virginitatis. Sicut enim in vineæ culturâ omnis vinitoris diligentia & labor, fructuum unicè speratorum causâ impenditur: unde iis non provenientibus, frustranea & vana tota ista fuisse contentio monstratur: ita nisi

μι καὶ ἁπλότητος, καὶ ἀφελείας καὶ πίστεως ὡς δέον, μακροθυμίας τε καὶ φιλοφροσύνης, ἐν ἑαυτοῖς ὁρᾷν ἔχοιμεν, εἰς οὐδὲν χρησίμως παρὰ τῶν πόνων ὑπέστημεν· τοὺς γὰρ πόνους διὰ τὴν τῶν καρπῶν ὠφέλειαν ὑπομένειν καταδεχόμεθα· τῶν δὲ καρπῶν τῆς ἀγάπης ἐν ἡμῖν μὴ εὑρισκομένων, περιττὴ πάντως ἡ ἐργασία· ὥστε οὐδὲν οἱ τοιοῦτοι τῶν πέντε μωρῶν διενηνόχασι παρθένων, αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἔχειν ἐν ταῖς καρδίαις τὸ πνευματικὸν ἔλαιον, ὅπερ τῶν εἰρημένων ἐστὶν ἀρετῶν ἡ διὰ τοῦ πνεύματος ἐνέργεια, μωραί τε ὠνομάσθησαν, καὶ τοῦ βασιλικοῦ νυμφῶνος ἐλεεινῶς ἀπεκλείσθησαν, μηδὲν τοῦ παρθενίας ἀπονάμεναι καμάτου· ὥσπερ γὰρ ἐν τῇ τῆς ἀμπέλου γεωργίᾳ πᾶσα ἐπιμέλεια καὶ πόνος διὰ τὴν τῶν καρπῶν ἐλπίδα προκαταβάλλεται· καρπῶν δὲ μὴ γεωργηθέντων, εἰκαία πάντων ἡ ἐργασία δείκνυται· οὕτως εἰ μὴ διὰ τῆς ἐνεργείας τοῦ πνεύματος καρποὺς ἀγάπης, καὶ εἰρήνης καὶ χαρᾶς καὶ τῶν λοιπῶν ὧν ὁ ἀπόστολος ἀπηρίθμησεν, ἐν ἑαυτοῖς ἴδοιμεν, καὶ τούτων κατὰ πληροφορίαν πᾶσαν καὶ πνευματικὴν αἴσθησιν διομολογεῖν ἔχοιμεν, περιττὸς ὁ τῆς παρθενίας, εὐχῆς τε καὶ ψαλμῳδίας, νηστείας καὶ ἀγρυπνίας κάματος ἀποδείκνυται· οἱ μὲν γὰρ πόνοι οὗτοι καὶ κά-

μάτοι τῆς ψυχῆς καὶ τοῦ σώματος ἐπ' ἐλπίδι πνευματικῶν καρπῶν, ὥσπερ ἔφημεν, ἐπιτελεῖσθαι ὀφείλουσιν· ἡ δ' ἐν τῇ ἀρετῇ καρποφορία ἀπόλαυσίς ἐστι πνευματικὴ μεθ' ἡδονῆς ἀφθάρτου ἐν καρδίαις πισταῖς τε καὶ ταπειναῖς ὑπὸ τοῦ πνεύματος ἀπορρήτως ἐνεργουμένη· ὥστε οἱ πόνοι καὶ οἱ κάματοι, καθὼς εἰσι πόνοι φημὶ καὶ κάματοι λογιζέσθωσαν, καὶ οἱ καρποί, καρποί. εἰ δέ τις διὰ γνώσεως ἐνδείας τὴν ἐργασίαν αὐτοῦ καὶ τὸν κάματον καρποὺς τοῦ πνεύματος εἶναι νομίσει, μὴ ἀγνοῶν φαίνεται ψυχαγωγῶν ἑαυτὸν παρακρουόμενος, καὶ μεγάλων ὄντως καρπῶν τοῦ πνεύματος, διὰ τὸ οὕτως ἔχειν, ἀποστερῶν.

per operantem in nobis Spiritum fructus Caritatis, Pacis, Gaudij, & illos reliquos enumeratos ab Apostolo in nobis ipsis videamus; & hoc omni experimentali evidentiâ, sensusque convictione Spiritualis planè persuasum fateri ac profiteri valeamus, irritus & utilitate cassus omnis Virginitatis, Orationis & Psalmodiæ, Iejunij & vigiliarum deprehenditur labor, cum Animæ tum Spiritûs, exhantlatus, uti diximus, in eam unicè spem, ut per illum nobis contingeret, extare perficique in nostro Corde spirituales istiusmodi fructus. In virtutibus autem quæ dicitur fructificatio, fruitio est Spiritualis cum voluptate incorruptibili in cordibus fide ac humilitate præditis à Spiritu clàm ineffabiliter effecta. seorsim itaque reputentur & labores & fructus prout in se divisim sunt: Si quis verò per advertentiæ defectum, propriam operationem & laborem, fructûs Spiritûs esse crediderit. Næ is per ignorantiam videtur lactare delusus seipsum, & in errorem ultrò inducere, adulatione noxiâ, quippe per quam verè magnis semetipsum Spiritûs fructibus privat.

Gal. v. 22.

ΚΕΦ. Ζ.

Ὥσπερ ὁ τῇ ἁμαρτίᾳ ὅλον ἑαυτὸν ἔκδοτον παρεχόμενος, τὰ παρὰ φύσιν πάθη τῆς ἀτιμίας, τουτέστιν ἀσέλγειαν, πορνείαν, πλεονεξίαν, μῖσος, καὶ δόλον, καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα ἐν

CAPVT VI.

Vt qui peccato totum seipsum dedens exhibet, Naturam inhonorâtes ignominiæ passiones, impudicitiam, fornicationem, avaritiam, odium, dolum, & reliqua Malitiæ studia

cum fruitione ac voluptate tamquam naturalia exercet: Sic qui verè ac perfectè Christianus est, virtutes omnes & fructus Spiritûs qui suprà naturam sunt, videlicet Caritatem, pacem, patientiam, fidem, humilitatem, & omne genus verè aureum virtutis, jucunditate multà & voluptate spirituali, de cætero sine labore ac facilè, ut naturalia exequitur; non jàm contrà passiones nequitiæ depugnans: utpote qui perfectè à Domino liberatus, & à bono Spiritu plenam absolutamque Christi pacem & exultationem in corde adeptus sit. Talis est intimè atque individuè Domino adhærens, & in unum cum eo coalitus Spiritum.

ἀπολαύσει καὶ ἡδονῇ ὡς φυσικὰ καταπράττεται· οὕτως ὁ ἐν ἀληθείᾳ καὶ τελειότητι χριστιανὸς ὢν, τὰς ἀρετὰς πάσας καὶ τοὺς καρποὺς τοῦ πνεύματος ἅπαντας τοὺς ὑπὲρ τὴν φύσιν, τὴν ἀγάπην δηλονότι καὶ τὴν εἰρήνην, τὴν ὑπομονήν, τὴν πίστιν, καὶ τὴν ταπείνωσιν, καὶ πᾶν τὸ χρυσοῦν ὄντως γένος τῆς ἀρετῆς, ἐν ἀπολαύσει πολλῇ καὶ ἡδονῇ πνευματικῇ ἀπονητὶ λοιπὸν καὶ ῥᾳδίως ὡς φυσικὰ μέτεισιν· οὐκ ἔτι πρὸς τὰ πάθη τῆς κακίας διαμαχόμενος· ἅτε τελείως ἀπὸ Κυρίου λελυτρωμένος, καὶ ἀπὸ τοῦ ἀγαθοῦ, πνεύματος τὴν ἐντελῆ τοῦ χριστοῦ εἰρήνην καὶ ἀγαλλίασιν ἐν τῇ καρδίᾳ δεξάμενος· οὗτός ἐστιν ὁ κολληθεὶς τῷ Κυρίῳ, καὶ γενόμενος εἰς ἓν πνεῦμα.

CAPUT VII.

ΚΕΦ. Η.

Eos qui nondum valent ob ruditatem velut quamdam adhuc imbecillis infantiæ, se totos addicere Spirituali amori summo animæ nisu exercendo: Convenit se ipsos impendere Ministerio Fratrum, sedulò illud ac cum fide timoreque divino amplectendo, tamquam Dei mandato in negotio Spirituali obsequentes: non autem

Τοὺς μήπω δυναμένους ἄκρως τῷ τῆς ψυχῆς ἔρωτι διὰ νηπιότητα ἑαυτοὺς ἐπιτρέπειν· τούτους τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν μετ' εὐλαβείας καὶ πίστεως, φόβου τε θείου, καταδέξασθαι χρὴ, ὡς Θεοῦ ἐντολῇ, καὶ ὡς πνευματικῷ πράγματι, διακονουμένους· ἀλλ' οὐχ ὡς παρ' ἀνθρώπων μισθὸν, ἢ τιμὴν, καὶ εὐχαριστίαν προσδοκωμένους· μηδὲ δόντας χώραν ὅλως γογγυσμῷ,

ἢ ὑψηλοφροσύνῃ, ἢ ἀμελείᾳ καὶ χαυνότητι· ὡς μὴ τὸ ἀγαθὸν τοῦτο ἔργον σπιλωθῆναι καὶ διαφθείρεσθαι, διὰ δὲ τῆς εὐλαβείας μᾶλλον, καὶ τοῦ φόβου, καὶ τῆς χαρᾶς εὐπρόσδεκτον τῷ Θεῷ γίνεσθαι.

ab Hominibus mercedem, aut honorem, aut gratiarum actionem expectantes; Nec dantes locum omninò ullum murmurationi, superbiæ, negligentiæ, torpori: ne bonum istud opus maculari aut corrumpi contingat: sed per pietatem potiûs impigram cum Dei timore & alacri lætitiâ conjunctam, gratum idem acceptumque Deo fiat.

ΚΕΦ. Θ.

Τοσαύτῃ φιλανθρωπίᾳ καὶ ἀγαθότητι, ὢ τῶν θείων σπλάγχνων περὶ ἡμᾶς· συγκατέβη τοῖς ἀνθρώποις ὁ Κύριος, τοῦτο πραγματευόμενος, τὸ μηδένα ἔργου ἀγαθοῦ μισθὸν παριδεῖν· ἀλλ' ἀπὸ τῶν μικρῶν ἐπὶ τὰς μείζους τῶν ἀρετῶν πάντας ἀναγαγεῖν· τὸ μηδὲ ποτήριον ψυχροῦ ὕδατος ἀποστερεῖν ἀντιδόσεως· εἴρηκε γάρ· ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ· καὶ αὖθις· ἐφ' ὅσον ἑνὶ τοῦτο ἐποιήσατε, ἐμοὶ ἐποιήσατε· μόνον κατὰ Θεὸν τὸ γινόμενον, καὶ μὴ κατὰ δόξαν γινέσθω. προσέθηκε γάρ, μόνον εἰς ὄνομα μαθητοῦ· τουτέστι φόβῳ καὶ ἀγάπῃ Χριστοῦ· τοῖς γὰρ ἐπιδεικτικῶς τὸ ἀγαθὸν μετιοῦσι καὶ μεμφόμενος ὁ Κύριος, ἀποφάσει βεβαίᾳ τὸν λόγον ἀσφαλιζόμενας

CAPVT VIII.

Tanta humanitate & bonitate: O Divinæ in nos misericordiæ viscera! demisit se ad consulendum Hominibus Dominus, ut sedulò procurans agat, ne quisquam boni operis mercede per suam incuriã fraudetur: sed à parvis ad majores virtutes cunctos quasi quibusdam gradibus provehat, lucri minoris gustu ad majus affectandum stimulatos, dum pronunciat, ne porrectionem quidem calicis aquæ frigidæ mercede carituram. Dixit enim: *Qui dederit calicem frigidæ tan-* Mat. x. 42. *tum in nomine discipuli, amen dico vobis, non perdet mercedem suam.* Et rursus: *in quantum uni hoc fecistis, mihi fecistis.* Dummodò secundùm Deum fiat quod fit: & non propter

laudem humanam, fiat adjunxit enim: *tantum in nomine discipule.* Hoc reverentia & amore Christi. Nam ijs qui ostentationis
Mat. vj. 5. gratiâ rem bonam exequuntur, succensens Dominus, & asseveratione certâ sententiam confirmans, subjungit dicens: *amen dico vobis receperunt mercedem suam.*

ἐπάγει λέγων· ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

CAP. IX.

Simplicitas ante alia, & mutua caritas, & gaudium, & humilitas omninò tanquam fundamentum substernantur in fraternitate, ne nos invicem despicientes, & unus de alio murmurantes, inutilem nobis laborem efficiamus. Ergo nec qui sine intermissione perdurat in orationibus, ideò sed per arrogantiam extollat supra eum qui hoc facere non potest: neque qui ministerio se addixit, de illo qui orationi vacat, murmuret. Etenim si ejusmodi simpliciter ac bonâ dispositione animi ergà se invicem affecti fuerint, quod abundat meriti in perseveranter orante, redundabit in supplementum ejus quod forte distento curis Ministerij, deest: vicissimque si quid lucrabuntur Ministrantes, explebit in quo deficient attenti Orationibus. Ex quâ compensatione pulcrum existet æqui

ΚΕΦ. Ι.

Ἡ ἁπλότης πρὸ τῶν ἄλλων καὶ ἡ ἀφέλεια, καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη, καὶ χαρά, καὶ ταπείνωσις, ἐκ παντὸς τρόπου, ὥσπερ τις θεμέλιος ὑποβεβλήσθωσαν ἐν τῇ ἀδελφότητι· ἵνα μὴ ἀλλήλων κατεπαιρόμενοι, καὶ καταγογγύζοντες, ἀνόνητον τὸν κάματον ἀποδείξωμεν· καὶ μήτε ὁ ἀδιαλείπτως προσκαρτερῶν ταῖς εὐχαῖς τοῦ μὴ οὕτω ποιεῖν δυναμένου κατεπαιρέσθω· μήτε ὁ τῇ διακονίᾳ ἑαυτὸν ἐκδιδοὺς τοῦ τῇ προσευχῇ σχολάζοντος καταγογγυζέτω· ὡς εἴ γε μετὰ τοιαύτης ἁπλότητός τε καὶ διαθέσεως ἀλλήλοις προσφέροιντο, γίνεται τὸ περίττευμα τῶν ταῖς εὐχαῖς ἐμπεδουμένων, ἐπὶ τὸ ὑστέρημα τῶν διακονούντων· καὶ αὖθις τὸ τῶν διακονούντων περίσσευμα ἐπὶ τὸ ὑστέρημα τῶν ταῖς εὐχαῖς σχολαζόντων· καὶ οὕτω μᾶλλον ἡ ἰσότης κατὰ τὸ εἰρημένον, φαίνεται σωζομένη· ὡς τὸ πολὺ οὐκ ἐπλεόνασε· καὶ ὡς τὸ ὀλίγον οὐκ ἠλαττόνησεν.

ΚΕΦ. ΙΑ.

pondium æqualitatis, conſentaneè ad illud quod ſcriptum eſt: *Neque qui multum habuit, abundavit; neque qui parùm, defectum ſenſit.* Exod. xvi. 18.

ΚΕΦ. Ι.

Τότε γίνεται τὸ τοῦ Θεοῦ θέλημα ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὅταν μὴ, ὥσπερ εἴρηται, ἀλλήλων κατεπαιρώμεθα. ὅταν μὴ μόνον ζήλου χωρὶς. ἀλλὰ καὶ ἁπλότητος ἐν μετοχῇ καὶ ἀγάπης, εἰρήνης τε καὶ χαρᾶς συνημμένοι ὦμεν. ἀλλήλοις τὴν τοῦ πλησίον προκοπὴν ἰδίαν, ὡς δέον, καὶ τὴν ἐκείνου ὑστέρησιν ζημίαν ἑαυτῶν λογιζόμενοι· καὶ τῇ εὐχῇ ὀκνηρὸς καὶ τῇ διακονίᾳ τῶν ἀδελφῶν καὶ ἐν ἑτέρῳ δήτινι ἔργῳ τῷ κατὰ Θεὸν γινομένῳ χαύνως καὶ ἀμελῶς διακείμενος, οὗτος ἀπὸ τοῦ ἀποστόλου ἀργὸς διαῤῥήδην καλούμενος καὶ αὐτοῦ τοῦ ἄρτου ἀνάξιος εἶναι καταψηφίζεται· εἴρηκε γὰρ ὁ δὲ ἀργὸς μηδὲ ἐσθιέτω· καὶ ἀλλαχοῦ· τοὺς δὲ ἀργοὺς καὶ ὁ Θεὸς μισεῖ, καὶ ὁ ἀργὸς οὐδὲ πιστὸς εἶναι δύναται· καὶ ἡ σοφία· πολλὴν κακίαν, ἔφη, ἐδίδαξεν ἡ ἀργία· προσήκει τοιγαροῦν ἕκαστον ὁποιονδήποτε ἔργον κατὰ Θεὸν γινόμενον καρποφορεῖν, καὶ σπουδαίως κἂν ὑφ' ἑνὶ τῶν ἀγαθῶν διατίθεσθαι· ἵνα μὴ τὸ παράπαν ἄκαρπος διελεγχόμενος ἀμέτοχος εἰς ἅπαν ἐκ τῶν αἰωνίων ἀγαθῶν γένηται.

CAPUT X.

Tunc fit Dei voluntas *ſicut in Cælo & in terrâ*, quando, ut dictum eſt, nos nobis invicem non prætulerimus: quando non ſolùm ſine æmulatione: ſed & cum mutuâ exhibitione ſimplicitatis & caritatis, alacritatiſque lætæ connexi invicem fuerimus, unoquoque ſui viciſſim Proximi profectum velut proprium, quemadmodum par eſt; ſimiliterque alterius defectum, jacturam propriam reputante. cæterùm in Oratione piger; quique in Miniſterio Fratrum aut opere alio quod ſecundùm Deum fit, languidè incurioséque verſatur; hic ab Apoſtolo Piger disertè vocatus, ipſo quoque pane indignus pronunciatur. Dixit enim: *qui non laborat, nec manducet.* Et alibi: *Pigros autem Deus odit.* Et *piger nec fidelis eſſe poteſt.* Et ſapientia: *multam malitiam docuit otioſitas.* Convenit igitur unumquemque, qualecumque opus quod Dei cauſa facit fructuosè agere: ſtudiumque ac

Mat. vi. 10.
1. Theſſ. iij. 10.
Eccleſ. xxxiij. 29.

diligentiam cuilibet uni quamvis minutæ Bonæ actioni impendere, ne oscitanter operans, tamquam infructuosus omninò repertus, omni prorsus participatione Bonorum æternorum excludatur.

CAP. XI.

Dicentibus fieri non posse, ut Homo ad perfectionem pertingat, & ad plenam durabilemque liberationem à pravis affectibus: itemque assequatur participationem divini Spiritus cum plenâ effusione donorum ejus, necesse est opponere, contrarium docentia testimonia divinarum Scripturarum, ostendereque & errore mentis laborare ipsos, & falsò ac periculosè loqui. Ait enim Dominus: *Estote & vos perfecti sicut Pater vester cœlestis perfectus est.* Plenam absolutamque puritatem per hæc indicans. Et:
Io.xvij. 24. *Volo ut ubi sum ego, & hi sint mecum, ut videant Claritatem meam.* Hæc affirmat is qui
Mat. xxiv. 35. aliàs dixerat: *Cœlum & terra transibunt, &c.* Eòdem spectat & illud Apostoli; *Vt exhibeamus*
Cor. 1. 28. *omnem hominem perfectum in*
Eph.iv. 13. *Christo.* Illud: quoque aliud: *Donec occurramus omnes in unitatem fidei. & agnitionis filij Dei, in virum perfectum in mensu-*

ΚΕΦ. ΙΑ.

Πρὸς τοὺς λέγοντας φησὶν ἀδύνατον εἶναι τῆς τελειότητος ἐφικέσθαι καὶ τῆς εἰσάπαξ ἀπαλλαγῆς τῶν παθῶν, εἰ δὲ τῆς μετουσίας καὶ πληρώσεως τοῦ ἀγαθοῦ τυχεῖν πνεύματος, ἀναγκαῖον τὴν ἀπὸ τῶν θείων γραφῶν μαρτυρίαν ἐπενεγκεῖν· καὶ δεῖξαι κακῶς εἰδότας αὐτοὺς, ψευδῶς τε ἅμα καὶ ἐπισφαλῶς λέγοντας· γίνεσθε γάρ φησιν ὁ Κύριος καὶ ἡμεῖς τέλειοι ὡς ὁ πατὴρ ὑμῶν οὐράνιος τέλειός ἐστι· τὴν παντελῆ καθαρότητα διὰ τούτων σημαίνων. καὶ θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ οὗτοι ὦσι μετ' ἐμοῦ ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν· ταῦτα τοῦ εἰρηκότος εἰσίν· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι· καὶ τὸ τοῦ Ἀποστόλου· ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ· καὶ τὸ· μέχρι δὲ καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, εἰς ταυτὸ φέρει· οὕτω δὲ πρὸς τὴν τελειότητα ἀφορῶντας συμβαίνει δύο τὰ

κάλλιστα γίνεσθαι, συντονόν τε καὶ ἀδιάπαυστον τὸν ἀγῶνα ἔχοντας εἰς τὸ πέρας διώκειν διὰ τὴν ἐλπίδα τοῦδε τοῦ μέτρου, φησὶ καὶ τῆς ἀναβάσεως, τύφῳ τε μὴ ἁλίσκεσθαι· ἀλλὰ μετριοφρονεῖν, καὶ μικροὺς ἑαυτοὺς ἡγεῖσθαι διὰ τὴν μήπω τοῦ τελείου κατάληψιν.

ram ætatis plenitudinis Christi. Idem suadet. Eam porrò quam hęc oracula informant, ideã perfectionis humano conatui cõtiguę intuentibus, duo quædam præstantissima provenient: prius ut summo & irremisso contentionis ardore in istum apicem, spe viam monstrante, conemur ascendere; alterum, ut dum hoc agimus, modicè de nobis humiliterque sentiamus, ipso experimento persuasi, exiguos esse nos, ut pote nondum quam optamus perfectionem assecutos.

ΚΕΦ. ΙΒ.

Οἱ ταῦτα λέγοντες, φησὶν, ἐκ τριῶν τρόπων τὴν μεγίστην ψυχῇ περιάπτουσι βλάβην· πρῶτον μὲν ὅτι ταῖς θεοπνεύστοις φαίνονται διαπιστοῦντες γραφαῖς· εἶθ' ὅτι τὸ μείζονά τε καὶ τέλειον μὴ προστησάμενοι τοῦ χριστιανισμοῦ σκοπὸν, μηδὲ πρὸς ἐκεῖνον φθάσαι κατατεινόμενοι, πόνον καὶ σπουδὴν, πεῖναν τε καὶ δίψαν τῆς δικαιοσύνης ἔχειν οὐ δύνανται· ἀλλὰ τοῖς ἐξωτέροις σχήμασι τε καὶ ἤθεσι, καὶ ὀλίγοις τισὶ κατορθώμασιν ἐμπληροφορούμενοι, τῆς μακαρίας ἐλπίδος, καὶ τελειότητος, καὶ τῆς παντελοῦς τῶν παντελῶν παθῶν καθάρσεως ἀπολείπονται. τὸ τρίτον· ὅτι οἰόμενοι τῆς ἀκρότητος ἐφικέσθαι τῇ κατορθώσει τῶν ὀλίγων, ὡς ἔφημεν, ἀρετῶν, καὶ μὴ πρὸς τὸ τέλειον ἐπειγόμενοι, οὐ μόνον

CAP. XII.

Qui ea quæ superius retulimus dicunt, tribus modis maximum Animę damnum important. primùm quidem quòd divinitùs inspiratis negare videntur Scripturis fidem. Deindè quòd majorem & perfectum non præstituentes Christanismo scopum; ac neque ad illum, actiones eò suas dirigendo, collimantes, acrimoniam studij laboribus exantlandis parem, famemque ac sitim justitiæ habere nequeunt: sed superficialibus habitibusque & moribus, paucisque quibusdam tralatitiæ virtutis officiis abundè contenti, à spe beatâ summæ perfectionis, absolutæque pravorum omnis generis affectuum purga-

tionis generis excidunt. Postremò quòd facili exhibitione paucarum vulgarium virtutum ut diximus, in tumidam inflantur opinionem sui, quasi jam apicem teneant in quem summum eniti vis humana queat; ideóque ulteriùs aspirare desinentes; præterquam quamquod humilem æstimationem sui, agnitæque mendicitatis propriæ professionem ad Deum, & contritionem cordis, minimè habere possunt: etiam justificantes seipsos, ut qui jam comprehenderint, crescere quotidiè promoverique in melis cessant.

ταπείνωσιν καὶ πτωχείαν καὶ συντριβὴν καρδίας ἥκιστα ἔχειν δύνανται· ἀλλὰ δικαιοῦντες ἑαυτοὺς ὡς ἤδη κατειληφότας, οὐ προκοπὴν οὐκ ἐπίδοσιν ὁσημέραι δέχονται.

CAPVT XIII.

ΚΕΦ. ΙΓ.

Qui existimant impossibilem eam reformationem quæ per habitantem in hominibus Spiritum fit, quæ nova est creatio puri cordis: Eos Apostolus disertè pronunciat similes illis qui propter infidelitatem indigni
Heb.iij. 17. judicati terrâ promissionis, ejus aditu exclusi sunt; *quorum cadavera prostrata sunt in deserto.* Quæ enim illic promissionis terra Symbolicè dicitur, mystico hîc & arcano sensu perfectam à pravis affectibus liberationem indicat: quam & idem Apostolus finem esse omnis mandati declaravit. Hæc enim vera demùm est promissionis terra, in cujus significationem cuncta illa typicè traduntur.

Τοὺς ἀδύνατον φησὶν ἡγουμένους τὴν κατόρθωσιν ταύτην τὴν διὰ τοῦ πνεύματος τοῖς ἀνθρώποις ἐγγινομένην, ἥτις ἡ καινὴ κτίσις ἐστὶ τῆς καθαρᾶς καρδίας, ὁ Ἀπόστολος διαῤῥήδην ἐοικότας αὐτοὺς δείκνυσι τοῖς δι' ἀπιστίαν τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν μὴ ἠξιωμένοις, καὶ διὰ τοῦτο πεπτωκότων αὐτοῖς τῶν κώλων ἐν τῇ ἐρήμῳ· ὃ γὰρ ἐκεῖ ἐπαγγελίας γῆ κατὰ τὸ φανερὸν, τοῦτο ἐνταῦθα παθῶν ἀπολύτρωσις κατὰ τὸ κρυπτόν· ὅπερ δὴ καὶ ὁ Ἀπόστολος τέλος πάσης ἐντολῆς εἶναι ἀπέδειξε· καὶ τοῦτό ἐστιν ἡ ἀληθινὴ τῆς ἐπαγγελίας γῆ, καὶ δι' αὐτὴν πάντα ἐκεῖνα τυπικῶς παραδίδοται· παρ' ὃ καὶ ὁ θεσπέσιος Παῦλος δι' ἀσφαλείας τῶν τῶν μαθητῶν ποιούμενος, ὡς μή τινα συμ-

ἐπεῖναι ἀπιστίας ἀλῶναι φρονήματι· Βλέπετε ἀδελφοί μου φησι, μήποτε ἔιη ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ τοῦ Θεοῦ ζῶντος· τὸ δὲ ἀποστῆναι οὐκ ἐπὶ τοῦ ἀρνήσασθαι, ἀλλ' ἐπὶ τοῦ τῆς ἐπαγγελίαις αὐτοῦ ἀπιστῆσαι, τέθεικεν· ἀμέλει καὶ τὰ τυπικὰ τῶν Ἰουδαίων ἀλληγορῶν, καὶ παραβάλλων ταῦτα πρὸς τὴν ἀλήθειαν, ἐπιφέρει λέγων· τινὲς γὰρ ἀκούσαντες αὐτοῦ παρεπίκραναν· ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως· τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ· καὶ βλέπομεν ὅτι μὴ ἐδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν· καὶ ἐπάγει· φοβηθῶμεν οὖν μήποτε καταλιπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκεῖ τις ἐξ ὑμῶν ὑστερηκέναι· καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασιν· εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες· καὶ μετ' ὀλίγα πάλιν ἐπιφέρει· σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι περιπέσῃ τῆς ἀπειθείας· τίς δὲ χριστιανῶν κατάπαυ-

Propter quod divinus Apoſtolus paternè præcavens & ſecuritati proſpiciens Diſcipulorum, ne cui contingeret capi contumaci incredulitatis ſupercilio : *videte*, inquit, *Fratres, ne forte ſit in aliquo veſtrum cor malum incredulitatis, diſcedendi à Deo vivo.* Heb. iij. 12. Quod diſcedendi verbum non ad negationis aut apoſtaſiæ, ſed ad diffidentiæ Promiſſionum ſignificationem poſuit: utique typica Iudæorum ex allegoriis evolvens, & figuras cum veritate comparans ſubinfert dicens: *Quidam enim audientes exacerbaverunt: ſed non univerſi qui profecti ſunt ex Ægypto per Moyſen: quibus autem infenſus eſt quadraginta annis? nonne illis qui peccaverunt, quorum cadavera proſtrata ſunt in deſerto. quibus autem juravit non introire in requiem ipſius?... Et videmus quia non potuerunt introire propter incredulitatem. Timeamus ergo ne forte relictâ pollicitatione introeundi in requiē ipſius, exiſtimetur aliquis ex vobis deeſſe. Etenim & nobis nunciatū eſt, quemadmodum & illis: Sed nō profuit illis ſermo auditus fidei ex iis quæ audierunt. Ingrediemur enim in requiem qui credidimus*

Heb. iij. 16.

Heb. iv.

Et post pauca rursus infert:
Hib. iv. 11. *Festinemus ergo ingredi in illam requiem; ut ne in ipsum quis incidat incredulitatis exemplum.* Quæ autem alia est Christianorum requies, à perfectâ perturbationum ad peccatum trahentium liberatione atque à plenissimâ operatoriâ divini Spiritûs in puro corde habitatione? Propterea & inducens rursus
Heb. x. 22. eos ad fidem, ait: *Accedamus cum vero corde in plenitudine fidei, aspersi corda à conscientiâ*
Heb. ix. 14. *malâ.* Et iterùm: *quantò magis sanguis Christi... emundabit conscientiam nostram ab operibus mortuis ad serviendum Deo vivo & vero* Convenit igitur annunciatam per hæc verba immensam Dei erga Homines benignitatem confiteri nos ut servos fideles, & vera firmaque reputare quæ promissa sunt, ut quantumvis propter pigritiam & infirmitatem propositi, non prorsus nos semel in omne tempus Creatori præbuimus, neque ad magnas & perfectas virtutis aspiravimus mensuras: at aliquam saltem, misericordiam ob rectitudinem irreflexam intentionis, & sanam fidem, mereri ac consequi possimus.

σις ἑτέρα ἢ τῶν τῆς ἁμαρτίας παθῶν ἡ ἀπολύτρωσις, καὶ ἡ πληρεστάτη καὶ ἐνεργὴς τοῦ ἀγαθοῦ πνεύματος ἐν τῇ καθαρᾷ καρδίᾳ ἐνοίκησις; ταύτῃ τοι καὶ ἐνάγων αὐτοὺς πάλιν πρὸς τὴν πίστιν φησί· προσερχώμεθα μετ᾽ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ αὖθις· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Ἰησοῦ καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ· προσήκει τοίνυν, τὴν διὰ τῶν ῥημάτων τούτων ἐπηγγελμένην τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἄμετρον ἀγαθότητα καθομολογεῖν ἡμᾶς, οἷα δούλους εὐγνώμονας, καὶ ἀληθῆ καὶ βέβαια λογίζεσθαι τὰ ἐπηγγελμένα· ἵνα κἂν διὰ νωθείαν ἢ ἀσθένειαν προαιρέσεως μὴ καθάπαξ ἑαυτοὺς τῷ πεποιηκότι παρέχωμεν, μηδὲ τῶν μεγάλων καὶ τελείων τῆς ἀρετῆς ἀντεποιησάμεθα μέτρων· ἀλλ᾽ οὖν γέ τινος ἐλέους διὰ τὸ ὀρθὸν καὶ ἀδιάστροφον τοῦ φρονήματος, καὶ τὴν ὑγιῆ πίστιν ἐπιτεύξασθαι δυνηθῶμεν.

ΚΕΦ. ΙΔ.


Τὸ τῆς εὐχῆς καὶ τοῦ λόγου ἔργον ἁρμοζόντως ἐπιτελούμενον, πάσης ἀρετῆς τε καὶ ἐντολῆς, ὑπεράνω τελεῖ. καὶ τούτου μάρτυς αὐτός· ἐπειδὴ γὰρ εἰς τὴν οἰκίαν Μάρθας τέ φημι καὶ Μαρίας παρέβαλε, τῆς μὲν Μάρθας περὶ τὴν διακονίαν ἀσχολουμένης, Μαρίας δὲ περὶ τοὺς αὐτοῦ πόδας καθεζομένης, καὶ τῇ ἀμβροσίᾳ τῆς θείας ἐκείνης γλώττης εὐωχουμένης, μεμφομένης αὐτῇ τῆς ἀδελφῆς ὅτι μὴ συμπράττῃ ταῦτα, καὶ διὰ τοῦτο Χριστῷ προσελθούσης, αὐτὸς τὸ κυριώτερον τοῦ δευτέρου προθεὶς, Μάρθα Μάρθα ἔφη, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλὰ, ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς· τοῦτο δὲ εἴρηκεν, ὡς ἔφημεν, οὐχ ὡς τὸ τῆς διακονίας ἔργον ἀποποιούμενος· ἀλλ' ὡς τὸ μεῖζον πάντως τοῦ ἥττονος προτιθείς· ἐπεὶ πῶς αὐτὸς ἠνείχετο τῆς διακονίας; πῶς δὲ αὐτουργὸς φαίνεται τούτου γινόμενος, καὶ τοὺς πόδας νίψας τῶν μαθητῶν; τοσοῦτον δὲ ἀποσχόμενος τοῦ κωλῦσαι· ὅτι καὶ τὸν ἴσον τρόπον πρὸς ἀλλήλους ποιεῖν τοῖς μαθηταῖς ἐγκελεύεται· οὐ μὴν ἀλλὰ καὶ αὐτοὺς εὑρήσεις τοὺς Ἀποστόλους ἡνίκα προστε-


CAPVT XIV.

Orationis & Verbi Opus ritè ac convenienter exercitum supra omnem virtutem & omne mandatum excellit. Hujus rei testis ipse Dominus. Cum enim in Marthæ ac Mariæ divertisset domum, & Martha circa ministerium occupata; interim dum Maria ad pedes Domini sedens, Ambrosiâ divinæ illius linguæ quasi suaviter epulans fruebatur, quereretur de Sorore quòd ipsam non adjuvaret, ac propter id ad Christum accessisset, ille princi- *Luc. x. 41.* pale accessorio præferens: *Martha* (inquit) *Solicita es & turbaris erga plurima: porrò unum est necessarium. Maria optimam partem elegit, quæ non auferetur ab eâ.* Hoc autem dixit, ut præfati sumus, non Ministerij opus reprobans: sed ut majus minori præponens. Enimvero cui tandem videri possit malè illum sensisse de Ministerio; cujus utique Autorem & exemplar seipsum exhibuit, pedes etiam Discipulorum lavans? Tantum profectò abfuit ab illo vetando, ut ultrò Discipulis præceperit idem similiter erga

ſeſe mutuò exercere. Quin & ipſos invenies Apoſtolos, quando primùm circa Menſarum Miniſterium laborabant, prælato huic potiori opere, Orationis ſcilicet ac verbi; dixiſſe:
Act. vi. 2. *Non eſt æquum nos derelinquere verbum Dei & miniſtrare menſis.* Sed præmiſsâ oratione, viros plenos Spiritu Sancto conſtituamus ſuper hoc opus; *Nos vero Orationi & miniſterio verbi inſtantes erimus.* Vides ut prima ſecundis prætulerint: utcumque non ignorarent, unius utraque bonæ radicis eſſe germina.

ρων περὶ τὴν τῶν τραπεζῶν ἐποιοῦντο διακονίαν, τοῦ μείζονος ἔργου πρόκρισιν θεμένους, τῆς εὐχῆς φημὶ καὶ τοῦ λόγου· οὐ δίκαιον γάρ φησιν ἡμᾶς καταλιπόντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις· ἀλλ' εὐξάμενοι ἄνδρας πλήρεις πνεύματος ἁγίου καταστήσωμεν ἐπὶ τῆς διακονίας ταύτης· ἡμεῖς δὲ τῇ διακονίᾳ τοῦ λόγου καὶ τῇ προσευχῇ προσκαρτερῶμεν· ὁρᾷς ὅπως τὰ πρῶτα τῶν δευτέρων προέκριναν· καίπερ ἀμφότερα μιᾶς ἀγαθῆς ῥίζης οὐκ ἀγνοοῦντες εἶναι βλαστήματα.





OPUSCULUM V.


Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Περὶ ὑπομονῆς καὶ διακρίσεως

Λόγος.

ΚΕΦΑΛΑΙΟΝ Α.



Τοῖς πειθαρχεῖν τῷ λόγῳ τοῦ Θεοῦ βουλομένοις, καὶ ἀγαθὸν καρπὸν ἐργαζομένοις, σημεῖα παρακολουθεῖ ταῦτα· στεναγμός, κλαυθμός, κατήφεια, ἡσυχία, κεφαλῆς κίνησις, προσευχή, σιωπή, ἐπιμονή, ὀδυνηρὸν πένθος, πόνος καρδίας ὑπὲρ εὐσεβείας γινόμενος· τὰ δὲ ἔργα· ἀγρυπνία, νηστεία, ἐγκράτεια, πραότης, μακροθυμία, ἀδιάλειπτος προσευχή, μελέτη τῶν θείων γραφῶν, πίστις, ταπει-


S. P. N.

MACARII MAGNI

De Patientiâ & diſcretione

Liber.

CAPVT I.



EOS qui volunt obedire Dei verbo, & bonum fructum faciunt, hæc ſequuntur ſigna: ſuſpirium, planctus, mœſtitia, quies, capitis motio, Oratio, ſilentium, conſtantia in loco, doloroſus luctus, labor cordis pro pietate ſuſceptus. Hæc verò Opera: Vigiliæ, Ieiunium, Continentia, Manſuetudo, Longanimitas, Oratio,

Meditatio Divinarum Scripturarum, Fides, Humilitas, caritas fraterna, subjectio, labor, asperorum perpessio, Caritas, Bonitas, Honestas, & omne lumen, quod est Dominus. Eorum autem qui non faciunt fructum vitæ, signa hæc sunt: Incuria, Transgressio ultra terminos, Effusio aspectûs in omnes partes, negligentia Murmuratio, levis circumactio, Opera verò: voracitas, Ira, Vehementia, Obtrectatio, Tumor, Importuna Loquacitas, Incredulitas, Instabilitas, Oblivio, Turbatio, Lucri sordidi captatio, Pecuniæ cupiditas, Æmulatio, contentio, despicientia, Nugacitas, Intempestivus risus, Pertinacia sensûs proprij: & omnes tenebræ, quæ sunt Satanas.

πείνωσις, φιλαδελφία, ὑποταγή, πόνος, κακοπάθεια, ἀγάπη, ἀγαθωσύνη, κοσμιότης, καὶ τὸ ὅλον φῶς, ὅ ἐστιν ὁ Κύριος. Τῶν δὲ γε μὴ ποιούντων καρπὸν ζωῆς σημεῖά ἐστι ταῦτα· ἀκηδία, μετεωρισμός, περίβλεψις, ἀπροσεξία, γογγυσμός, κέπφωσις· τὰ δὲ ἔργα· ἀδηφαγία, ὀργή, θυμός, καταλαλιά, φυσίωσις, ἀκαιρολογία, ἀπιστία, ἀκαταστασία, λήθη, ταραχή, αἰσχροκέρδεια, φιλαργυρία, ζῆλος, ἐρίθεια, ὑπεροψία, φλυαρία, ἄκαιρος γέλως, ἐθελοδοξία, καὶ τὸ πᾶν σκότος, ὅπερ ἐστὶν ὁ Σατανᾶς.

CAPUT II.

ΚΕΦ Β.

Per arcanæ, sed Deo dignæ, providentiæ consilium non statim in decretam ipsi Geennam Impius mittitur: sed interim sinitur hîc vivere, ut vexet, ac vexando probet homines· atque ita, utcumque non volens, bonum agat quippiam, efficiendo ut Sancti crescant in Iustitiâ per patientiam; ac per hoc majoris ipsis gloriæ causa sit: Sibique vicissim per

Κατ᾽ οἰκονομίαν θειοτέραν φησίν, οὐκ εὐθέως εἰς τὴν κληρωθεῖσαν αὐτῷ γέενναν ὁ πονηρὸς παρεπέμφθη· ἀλλὰ βασάνου καὶ δοκιμασίας χάριν τοῦ τε ἀνθρώπου φημὶ παρείθη· ἵνα καὶ ἄκων δικαιοτέρους μὲν τοὺς ἁγίους διὰ τῆς ὑπομονῆς ἀπεργάσηται, καὶ μείζονος αὐτοῖς δόξης αἴτιος καταστῇ· ἑαυτῷ δὲ πάλιν διὰ τῆς ἰδίας ἐθελοκακίας, καὶ τῆς κατὰ τῶν ἁγίων ἐπινοίας δικαιοτέραν κατασκευάσῃ τὴν κόλα-

σιν· καὶ ἵνα, φησὶν ὁ θεῖος Ἀπόστολος, καθ' ὑπερβολὴν γένηται ἁμαρτωλὸς ἡ ἁμαρτία.

ſuam voluntariam obſtinationem in peccatis, & malitioſas machinationes in Sanctos, tantò juſtiùs infligendam probet quæ ipſi ſervatur pœnam. *Rom.* Nimirum, quod divinus ait Apoſtolus, *ut fiat ſupra modum* *vij. 13.* *peccans peccatum.*

ΚΕΦ. Γ.

Ἀπατήσας τὸν Ἀδὰμ ὁ ἐχθρὸς καὶ οὕτως αὐτοῦ κυριεύσας ἀφεῖλέ τε αὐτοῦ τὴν ἐξουσίαν· καὶ ἄρχων ἐκεῖνος τοῦ αἰῶνος τοῦδε προσηγορεύθη· ἄρχων δὲ τοῦ αἰῶνος τούτου καὶ δεσπότης τῶν ὁρωμένων ὁ ἄνθρωπος ἦν ἐξ ἀρχῆς ὑπὸ τοῦ Κυρίου καταστάς· οὔτε γὰρ πῦρ αὐτοῦ κατίσχυεν, οὐχ ὕδωρ ἐπόντιζεν, οὐ θηρίον ἔβλαπτεν, οὐκ ἰοβόλον ἐπ' αὐτῷ τὸ οἰκεῖον ἐνήργει· ἀφ' οὗ δὲ τῇ ἀπάτῃ εἶξε, προδέδωκε τῷ ἀπατήσαντι τὴν ἀρχήν· δι' ἣν αἰτίαν φαρμακοί τε καὶ γόητες κατ' ἐναντίαν ἐνέργειαν, Θεοῦ δὲ συγχώρησιν, παραδοξοποιοὶ δείκνυνται, ἰοβόλων τε γὰρ κυριεύουσι, καὶ πυρὸς καὶ ὑδάτων κατατολμῶσιν, ὡς οἱ περὶ Ἰαννῆν φημὶ καὶ Μαμβρῆν τῷ Μωσῇ ἀντικείμενοι, καὶ ὡς Σίμων τῷ κορυφαίῳ Πέτρῳ ἀντιφερόμενος.

CAPVT III.

Cum decepiſſet Adamum Inimicus, & ſic eum Dominio ſuo ſubjugaſſet, eripuit ei quam prius habebat poteſtatem; & ita Princeps hujus ſæculi declaratus eſt. Princeps ſiquidem hujus ſæculi & Dominus omnium viſibilium Homo ab initio fuerat à Deo conſtitutus. Non enim ipſi prævalere ignis poterat, non eum aqua demergere, non illi fera nocere, non morſu aut punctu ſuum in ejus membra venenum noxium quodvis animal diffundere. Ex quo autem deceptioni ſuccubuit, tranſmiſit deceptori principatum ſuum. Propter quam cauſam Magi & Præſtigiatores, Diaboli, cui ſerviunt, virtute pollentes, mira, Deo ſic permittente, operantur, venenatis dominantes beſtiis, ignemque & aquas ſine noxâ ſubeuntes, ut Iannes & Mambres Adverſarij Moſis: ut Simon Principi Apoſtolorum Petro ſeſe auſus opponere

CAP. IV.

Existimo Diabolum, quando animadvertit iterùm ex tanto effulgentem intervallo in facie Mosis eamdem gloriam quam in vultu Adami priùs quàm laberetur viderat, non parùm fuisse perculsum: ut pote inde augurium ducentem suæ dejectionis ex eo regno quod ejusdem primi Hominis supplantatione acquisierat. Nihil autem impedit, quin Apostoli dictum ad id referamus *Regnavit Mors ab Adam usque ad Moysem, etiam in eos qui non peccaverunt.* Opinio enim hæc mea est: Glorificatam illam faciem Moysis, expressam velut ex antiquo exemplari formam repræsentasse conspicuæ claritatis quâ Deus primi suis manibus effecti Hominis vultum insigniverat. Hanc ergo cum evanuisse recordaretur primo statim in mortem peccati lapsu, Mortis ipse Autor, inde Mors dictus, Diabolus, credo equidem hinc suspicandi ansam arripuisse, haud sibi certam ad extremum fore Regni possessionem cujus insigne primævum reddi nunc videbat homini. & ne deturbationem ex eo verè aliquando à Domino pateretur, timuisse. Eandem porro gloriam ex nunc veri Christiani induunt:

Rom. v. 14.

ΚΕΦ. Δ.

Οἶμαι φησὶν ὅτι καὶ τὴν προτέραν αὐτοῦ Ἀδὰμ δόξαν ὁμοίως τῷ προσώπῳ Μωσέως ἐπιλάμψασαν, τὸν ἐχθρὸν θεασάμενον ἱκανῶς ζωσθῆναι· καθάπερεὶ τεκμηράμενον τὴν τῆς ἑαυτοῦ βασιλείας καθαίρεσιν. οὐδὲν δὲ τὸ κωλῦον καὶ τὸ Ἀποστόλου ῥητὸν πρὸς τοῦτο φέρεσθαι· τὸ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας· δοκεῖ γάρ μοι τὸ δεδοξασμένον πρόσωπον Μωσέως τύπον καὶ ὑπόδειγμα σώζειν τοῦ πρώτου διὰ χειρῶν Θεοῦ δημιουργηθέντος ἀνθρώπου· ὅπερ ἰδόντα τὸν θάνατον, τουτέστι θανάτου αἴτιον διάβολον, ἐκεῖ μὲν ὑποπτεῦσαι τῆς βασιλείας διαπεσεῖν· ἐπὶ δὲ τοῦ Κυρίου πρὸς ἀλήθειαν τοῦτο παθεῖν· ταύτην τοιγαροῦν τὴν δόξαν ἀπό γε τοῦ νῦν οἱ ἀληθεῖς χριστιανοὶ περιβάλλονται· καὶ ἔνδοθεν ὑπ᾽ αὐτῶν ὁ θάνατος, εἴτουν τὰ τῆς ἀτιμίας καταργεῖται πάθη, ἐνεργεῖν μὴ δυνάμενα· ἅτε δὴ τῆς τοῦ πνεύματος δόξης ἐν αἰσθήσει καὶ πληροφορίᾳ πάσῃ ταῖς ψυχαῖς αὐτῶν ἐλλαμπούσης.

non utique sensibiliter in exteriori vultu, sed intùs in mente; ubi peccati deletâ morte, hoc est, passionibus ignominiæ, sive concupiscentiis ita debilitatis, ut operari peccatum nequeant, gloria Spiritûs effulget in sensu & plenitudine omni fiduciæ animas irradiantis.

ΚΕΦ. Ε.

Διὰ τῆς γυναικὸς ὡς δι' ὁμοίου τινὸς ὁ ἐχθρὸς ἀπατήσας, ἀφαιρεθῆναι τὴν περικειμένην τῷ Ἀδὰμ δόξαν πεποίηκε· καὶ οὕτως γυμνός τε εὑρέθη, καὶ τὴν ἀσχημοσύνην εἶδε τὴν ἑαυτοῦ ἣν δὴ πρότερον οὐχ ἑώρα, ἅτε τοῦ φρονήματος αὐτοῦ τοῖς οὐρανίοις κάλλεσιν ἐνευφραίνοντος· καὶ γὰρ μετὰ τὴν παράβασιν πρόσγεια γέγονεν αὐτῷ καὶ χαμαιπετῆ τὰ νοήματα· καὶ τὸ ἁπλοῦν αὐτῷ καὶ ἀγαθὸν φρόνημα φρονήματι κακίας σαρκικῷ συνεπλάκη· τὸ δὲ κλεισθῆναι τὸν παράδεισον καὶ τῇ φλογίνῃ ῥομφαίᾳ καὶ τῷ χερουβεὶμ ἐπιτραπῆναι διακωλύειν αὐτῷ τὴν εἴσοδον, τοῦτο κατὰ μὲν τὸ ὁρατὸν καὶ πιστεύεται γεγενῆσθαι ὡς εἴρηται· εὑρίσκεται δὲ καὶ παρ' ἑκάστῃ ψυχῇ κατὰ τὸ λανθάνον. κύκλῳ γὰρ τῆς καρδίας τὸ κάλυμμα τοῦ σκότους περιχωρεῖ, τοῦ πυρός φημι τοῦ κοσμικοῦ πνεύματος· ὅπερ οὔτε τὸν νοῦν ἐντυχεῖν τῷ Θεῷ, οὔτε τὴν ψυχὴν ἀφίησι κατὰ τὸ αὐτῆς θέλημα ἢ εὔξασθαι ἢ πιστεῦσαι, ἢ ἀγαπῆσαι τὸν Κύριον· τοῦτον δὲ

CAPUT V.

Per Mulierem, aptum ob similitudinem instrumentum fallendi, decepto Inimicus Adamo, efficit ut auferretur prior illa Gloria quam innocenti circumdederat Creator. Inde ille nudus repertus, suam vidit erubescens turpitudinem, ad quam antea non adverterat, quippe mente contemplandis formis cœlestibus delectabiliter affixâ. Etenim post transgressionem, in terram vergentes & humo pronæ fuerunt ejus cogitationes: & prior illa simplex & bona intelligentia, notionibus malitiæ carnceis immistis concreta inquinataque sorduit. Clausum autem quod dicitur Homini ejecto fuisse Paradisum: & præpositum ei, ne regrederetur in illum, arcendo, Cherubim flammeum gladium versantem, credendum quidem est verè ita & sensibiliter tunc factum: reperitur autem idem arcanâ ratione in qua-

Gen. iij. 24.

libet Animâ fieri. Vndique enim circum Cor velum quoddam tenebrarum oppansum est, quasi fumus ex igne mundani Spiritûs: quod neque mentem conversari cum Deo sinit, neque Animam permittit, prout ipsa vellet, aut orare, aut credere, aut amare Dominum. Horum autem omnium Experientia Magistra est iis qui syncerè seipsos Domino crediderunt, tum perseverantiâ Orationis, tum forti & constanti adversûs Hostem oppugnantem impetu.

πάντων ἡ πεῖρα διδάσκαλος τοῖς γνησίως ἑαυτοὺς τῷ Κυρίῳ πιστεύσασι, τῇ τε ἐπιμονῇ τῆς εὐχῆς, καὶ τῇ εὐτόνῳ κατὰ τοῦ πολεμοῦντος ὁρμῇ.

CAPVT VI.

Virga est disciplinæ & lorum plagas infligens Princeps hujus sæculi Parvulis in Spiritu; ipsis quidem, ut priùs etiam dictum est, magnam Gloriam & abundantiorem honorem per tribulationes & tentationes procurans; ex his enim ut & ipsi perfecti evadant, oritur: Sibi autem miser ipsi majorem gravioremque præparans pœnam. Omninò enim maxima & mira quædam per eum administratur dispensatio, prout dictum alicubi est: *Cooperatur malum Bono intentione non bonâ.* Bonis siquidem & laudabili vigentibus proposito Animabus, quæ molesta videntur in bonum desinunt. quod ipse quoque affirmavit Apostolus sic scribens: *Diligentibus Deum*
Rom. viij. 28. *omnia cooperantur in bonum,*

ΚΕΦ. Σ.

Ῥάβδος ἐστὶ παιδείας καὶ λώρος μαστίγων ὁ τοῦδε τοῦ αἰῶνος ἄρχων τοῖς κατὰ πνεῦμα νηπίοις· αὐτοῖς μὲν, ὥσπερ γοῦν καὶ πρότερον εἴρηται, μεγάλην δόξαν καὶ πλείονα τὴν τιμὴν διὰ τῶν θλίψεών τε καὶ πειρασμῶν· ἐκ τούτων γὰρ καὶ τὸ τελείους αὐτοὺς γίνεσθαι περιγίνεται· ἑαυτῷ δὲ πλείονά τε καὶ βαρυτέραν κατασκευάζων τὴν κόλασιν· ὅλως γὰρ μεγίστη τις δι' αὐτοῦ οἰκονομεῖται οἰκονομία· καθὼς εἴρηταί που· συνεργεῖ τὸ πονηρὸν τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ· ταῖς γὰρ ἀγαθαῖς καὶ καλὴν τὴν προαίρεσιν ἐχούσαις ψυχαῖς καὶ τὰ δοκοῦντα λυπηρὰ εἰς ἀγαθὸν τελευτᾷ· καθὰ δὴ καὶ τῷ Ἀποστόλῳ εἰρημένον ἐστὶν, ἤγουν τό· τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν.

ΚΕΦ. Ζ.

Τούτου ἕνεκεν ἡ τῆς παιδείας αὕτη ῥάβδος ἀφείθη φησίν· ἵνα δι' αὐτῆς ὡς ἐν καμίνῳ πυρὸς τὰ σκεύη πυρούμενα, τὰ μὲν δόκιμα στερεώτερα φανῇ· τὰ δὲ ἀδόκιμα εὔθραυστα ὄντα ἐλεγχθῇ, τοῦ πυρὸς τὴν καῦσιν οὐχ ὑπομείναντα. Δοῦλος δὲ ὢν οὗτος καὶ κτίσμα δεσποτικὸν οὐχ ὅσον αὐτῷ δοκεῖ ἐκπειράζει, οὐδὲ καθόσον βούλη τὰς θλίψεις ἐπάγει· ἀλλ' ὅσον δὴ τὸ δεσποτικὸν ἐπιτρέψει νεῦμα διὰ τῆς παραχωρήσεως· αὐτὸς γὰρ σὺν ἀκριβείᾳ τὰ πάντων εἰδὼς, ὁπόσον ἐστὶ δύναμις ἑκάστῳ, τοσοῦτον αὐτῷ καὶ τὸ δοκίμιον ὑποστῆναι παραχωρεῖ, καθὰ δὴ καὶ τῷ Ἀποστόλῳ δοκεῖ· πιστὸς γὰρ ὁ Θεός φησιν, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑπενεγκεῖν.

CAPUT VII.

Hujus rei gratiâ ista de quâ dixi virga Disciplinæ sævire permittitur, ut per eam velut in fornace ignis excocta vasa, quæ quidem proba sunt, soliditatem, quæ hoc ipso augetur, demonstrent suam; quæ vero non bonæ argillæ, aut malè formata, fragilitatis experimentum propriæ præbeant, ignis ardorem non ferentia. Cum sit autem Diabolus mancipium & Creatura Dei, non quantum ipsi libet tentat, nec quàm multas ac graves vult tribulationes immittit: coërcetur quippe intra fines nutûs Domini, permissione limitatâ præscribentis quousque, nec ultrà, queat progredi. Sanè Deus exactissimè quantum in unoquoque est pervidens, exploratissimum habet, quæ cuique insit mensura virtutis: & ad eum modum probationem ei admovendam attemperat. Sicut etiam videtur Apostolo, dum ait: *Fidelis Deus qui non permittet vos tentari supra id quod potestis: sed faciet etiam cum tentatione proventum, ut possitis sustinere.* 1. Cor. x. 13.

ΚΕΦ. Η.

Ζητῶν καὶ κρούων κατὰ τὴν τοῦ Κυρίου φωνὴν, καὶ μέχρι τέλους αὐτῶν,

CAPUT VIII.

Quærens & pulsans juxta Domini vocem, & usque ad

finem petens, consequitur quæ petit. Tantum circa hoc suæ plenè conscientiæ satisfacere is curet, imperseveranter, nec usquam interruptè, producendo concordi ad petendum conatu Mentis & Linguæ, cum pari constantiâ corporei ministerij consentaneè in idipsum incumbentis: interim cavendo ne sæcularibus negotiis implicetur, Neve pravitatis condelectetur affectibus. Verax siquidem est qui dixit: *Omne quodcumque petieritis me in Oratione, credentes, accipietis.* Qui autem dicunt: „ utcumque omnia quis effecerit quæ præscribuntur, idemque expectatam gratiam consequutus non „ fuerit, quod ad præsens attinet sæculum, nihil profecit. Malè & sentiunt & loquuntur, divinisque haud congruè scripturis sapiunt. Non enim injustitia apud Deum, ut iis quæ nostri sunt Officij à nobis cumulatè perfectis: ipse quæ suarum sunt partium negligat. Tantum curæ tibi sit, ut reperiare tunc quando anima tua ex hoc solvitur corpore, fortiter decertans, studiosè satagens, expectans promissionem, credens, in discretione

Mat. xxi. 22.

τυγχάνει τῶν αἰτημάτων· μόνον ἐχέτω παῤῥησίαν οὕτως, τῷ τε νῷ καὶ γλώττῃ ἀπαραλείπτως ἐπιζητεῖν, καὶ τῇ σωματικῇ λειτουργίᾳ ἀνενδότως προσκαρτερεῖν· μὴ τοῖς κοσμικοῖς πράγμασιν ἐμπλεκόμενος, μηδὲ τοῖς τῆς κακίας πάθεσι συνηδόμενος· ἀψευδὴς γὰρ ὁ εἰπών· ὅτι πᾶν ὃ ἐὰν αἰτήσητέ με ἐν προσευχῇ πιστεύοντες λήψεσθε· οἱ δὲ λέγοντες. ὅτι κἂν πάντα ποιήσειέ τις τὰ ὑποτεταγμένα· περιμείνας δὲ μὴ τύχῃ τῆς χάριτος, κατὰ τὸν αἰῶνα τοῦτον οὐδὲν ὤνησε· κακῶς οἴδασί τε καὶ λέγουσι, καὶ ταῖς θείαις ἀσυμφώνως γραφαῖς· οὐ γάρ ἐστιν ἀδικία παρὰ τῷ Θεῷ, ἵνα τῶν ἡμῖν καθηκόντων κατορθωθέντων, αὐτὸς τῶν παρ' ἑαυτῷ ἀμελήσειε. μόνον ἐπιμελές ἔστω σοι εὑρεθῆναι τότε ὅτε σου ἡ ψυχὴ τοῦ ἀθλίου τοῦδε λύεται σώματος, ἀγωνιζόμενον, σπουδάζοντα, προσδεχόμενον τὴν ἐπαγγελίαν, προσκαρτεροῦντα, πιστεύοντα, ἐν διακρίσει ζητοῦντα· κἀγώ σοι λέγω καὶ μὴ ἀπίστει, μετὰ χαρᾶς ἀπελεύσῃ, καὶ παῤῥησίαν ἕξεις, καὶ τῆς βασιλείας ὀφθήσῃ ἄξιος· καὶ γὰρ ὁ τοιοῦτος, ἐν λιπότητι διὰ τῆς πίστεώς φημι, καὶ τῆς προθυμίας, ἤδη κοινωνεῖ τῷ Θεῷ. ὡς γὰρ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι ταύτην ἐν τῇ καρδίᾳ μεμοίχευκε, καίτοι κατὰ σῶμα μὴ μιαν-

θεὶς

θεὶς οὗτος· ὅμως ὡς μοιχεύσας ἤδη λελόγισται· οὕτως ὁ τὰ πονηρὰ μὲν ἐν τῇ καρδίᾳ ἀποστραφεὶς, τῷ δὲ Κυρίῳ κολλώμενος πόθῳ καὶ ἐκζητήσει, προσεδρείᾳ τέ φημι καὶ θεοφιλεῖ διαθέσει, καθάπερ ἤδη κοινωνεῖ τῷ Θεῷ καὶ μέγα δῶρον αὐτίκα παρὰ Θεοῦ ἔχει αὐτὸ τοῦτο τὸ τῇ εὐχῇ προσεδρεύειν τῇ ἀγαθῇ τε σπουδῇ καὶ πολιτείᾳ τῇ φιλαρέτῳ· εἰ γὰρ καὶ ποτηρίου ψυχροῦ δόσις οὐκ ἄμισθος, πόσῳ μᾶλλον τοῖς αὐτῷ προσαιέχουσιν ἡμέρας τε καὶ νυκτὸς, δεομένοις τὸ ἐπαγγελθὲν Θεὸς παρέξει.

quærens: Et ego tibi dico) nec credere dubites) cum gaudio abibis, & fiduciam habebis, & regni videberis dignus. Etenim talis (in tenuitate meâ per fidem & piam confidentiam ajo) talis inquam jam Deo communicat. Vt enim, *qui viderit mulierem ad concupiscendum eam, jam mæchatus est eam in corde suo:* Etsi minime hic fuerit corpore pollutus: tamen jam adulterij reputatur reus. Sic qui cor quidem suum à malis avertit: Deo autem se intimè quantum potest applicat, desiderio, inquisitione, assiduitate, ac flagrante in Dei amorem proposito animi, jam jam quasi particeps Dei est, Deum, inquam, possidet ac tenet. Certè in arrham magnum donum statim à Deo habet, istam ipsam persistendi, ut facit, in Oratione gratiam, simul cum bono studio, & conversatione virtutis amante. Si enim ne calicis quidem frigidæ donatio mercede caret suâ: quanto magis iis qui diù noctúque intentis in ipsum oculis ab eo postulant, promissum Deus præbebit?

Mat. 5. 28.

ΚΕΦ. Θ.

Πρὸς τοὺς διαπορουντάς φησι, τί ὅτι μὴ γίνεται τις ἡμέρα ἐν ᾗ καὶ μὴ διὰ μίσους ἔχω τὸν ἀδελφὸν, ἢ καὶ ἄλλα τινὰ πονηρὰ ἐμαυτῷ συνεπίσταμαι· ἃ καὶ ἄκοντι συμβαίνει μοι πάσχειν· ταῦτα λεκτέον· ὡς ὁ μὲν ἀγὼν ἅπας καὶ ἡ σπουδὴ τῷ ἀνθρώπῳ, ὥστε καὶ τῷ πο-

CAP. IX.

Illis qui anxio animo æstuantes dicunt: En erit illa umquam dies quâ non sentiam aversionem animi à Fratre, aut alias similes quarum mihi pacem cordis turbantium, sum intimè conscius, pravas affectiones, quas quidem in-

„ vitus patior: hæc reponen-
„ da sunt: Hominis per hanc vitæ militiam certamen studiumque omne in hoc esse constitutum, ut Diabolo & pravis cogitationibus obluctetur; in idque semper totam ipsius attentionem & conatum intendi oportere. Vitari autem non posse, quin caligo perturbationum, & mors illa insidens naturæ corruptæ (sapientiam dico Carnis) non producant, ubi stant, fructum aliquem Malitiæ vel occultè vel palàm. Vt enim vulnus corporis saucij quoad hiat adhuc nec planè obductum est, caveri nequit quin exiguo saltem aliquo tabis effluxu madens sordeat: quantalibet diligentiâ curetur, nihilque omittatur industriæ aut artis in ei adhibendis remediis adjumentisque omnis generis: idem, verò si prorsus negligatur; non computrescit modò ipsum, sed labem interdum perniciemque toti infert corpori: simili puta modo vulnera quoque Animæ, utcumque multâ detersa curâ, caute soliciteque obligentur, intùs tamen adhuc patentia, & tabo suo manantia extare. Tandem tamen assiduitate diligentissimæ curatio-

νηρῷ καὶ τοῖς πονηροῖς ἀντιτίθεσθαι λογισμοῖς διὰ παντὸς ἔσω· ἀμήχανον δὲ ἵνα τὸ σκότος τῶν παθῶν, καὶ ὁ θάνατος τοῦ φρονήματός φημι τῆς σαρκὸς μὴ ἐπιδείκνυσθαί τινα καρπὸν ἴδιον τῆς κακίαν ἤτοι κεκρυμμένως ἢ φανερῶς ὥσπερ γάρ τι τραῦμα ἐν σώματι ὄν, ἀδύνατον ἕως οὔπω τέλειον ἰαθῇ ὡς μηδ᾽ ὀλίγῳ τινὶ τῷ ἰχῶρι μυδᾶν· καὶ ταῦτα θεραπευόμενόν τε καὶ μηδενὸς τῶν εἰς ἐπιμελείας τούτου λόγον ἡκόντων ἀπαξιούμενον. ἀμεληθὲν δὲ σῆψιν ἔστι δ᾽ ὅτε καὶ λύμην τῷ ὅλῳ ἐργάζεται σώματι· τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὰ τῆς ψυχῆς πάθη, καὶ πολλῆς ἀπολαύοντα τῆς σπουδῆς, ὅμως ἔνδον σμύχοντα ἐπιμένειν· πλὴν ἀλλὰ τῷ παραμόνῳ τῆς ἐπιμελείας διὰ τοῦ Χριστοῦ χάριτός τε καὶ συνεργείας ἐντελῆ λαμβάνει τὴν ἴασιν· ἔστι γὰρ τις κρυπτὸς ῥύπος, καὶ πλεῖστόν τι σκότος παθῶν ὃ παρὰ τὴν καθαρὰν τοῦ ἀνθρώπου φύσιν διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως παρεισέδυ πάσῃ τῇ ἀνθρωπότητι· καὶ τοῦτο θολοῖ καὶ καταμιαίνει καὶ σῶμα δήπου καὶ τὴν ψυχήν· ἀλλ᾽ ὥσπερ σίδηρος πυρούμενός τε καὶ τυπτόμενος καθαίρεται· ἢ χρυσὸς χαλκῷ ἢ καὶ σιδήρῳ συγκραθεὶς πυρὶ διαιρεῖται μόνῳ· οὕτω καὶ ἡ ψυχὴ διὰ τῶν ἀχράντων τοῦ Σωτῆρος παθῶν τῷ ἀγαθῷ πνεύματι πυρουμένη καὶ

τυπτομένη, παντὸς πάθους καὶ πάσης ἐκκαθαίρεται ἁμαρτίας.

nis, per Christi cooperantem gratiam, perfectè coëunt, & obductâ jam cicatrice persanatâ, siccantur. Est enim occulta quædam fæx, & tenebrarum redundans offusio è perturbatis affectibus, quæ in puram à principio Hominis naturam, Adami se prævaricatione insinuavit in humanitatem. hæc polluit, hæc contaminat tam corpus videlicet quàm animam. Verùm ut ferrum dum ignitum contunditur, expurgatur: utque aurum æris forte aut ferri mixtione infectum, à sequiori eâ concretione igni solo secernitur: pari ratione Anima per immaculatas perpessiones Salvatoris, Sancto Spiritu ignita, simul & percussa, ab omni pravo affectu & peccato expurgatur.

ΚΕΦ. Ι.

Ὥσπερ τινὲς λαμπάδες πολλαὶ ἑνὶ ἐλαίῳ καὶ ἑνὶ ἀναφθεῖσαι πυρὶ οὐκ ἴσῳ τῷ μέτρῳ πολλάκις τὴν τοῦ πυρὸς αὐγὴν ἀφιᾶσιν· οὕτω καὶ τὰ χαρίσματα τὰ ἐκ διαφόρων κατορθωμάτων διαφορὰν ἔχει καὶ τὴν αὐγὴν τοῦ ἀγαθοῦ πνεύματος· ἢ ὥσπερ ἐν πόλει πολλῶν ὄντων, καὶ τὴν αὐτὴν οἰκούντων, ἑνί τε ἄρτῳ καὶ ἑνὶ χρωμένων ὕδατι, οἱ μὲν αὐτῶν ἄνδρες, οἱ δὲ νήπιοι, οἱ δὲ παῖδές εἰσιν, οἱ δὲ γέροντες, καὶ πολὺ τὸ παραλλάττον ἐν αὐτοῖς καὶ διάφορον· ἢ ὥσπερ σῖτος ἐν μιᾷ καὶ τῇ αὐτῇ χώρᾳ κατεσπαρμένος διαφόρους δίδωσι καὶ τοὺς στάχυας ἀναδίδωσιν· ἐν μέντοι τῇ αὐτῇ ἅλῳ συνάγεται, καὶ τῇ αὐτῇ ἀποθήκῃ ἐναποτίθεται· οὕτως οἶμαι κἂν τῇ τῶν νεκρῶν ἀναστάσει διαφορὰν δόξ

CAPVT X.

Vt quædam lampades uno plures infusæ oleo, uno accensæ igni, haud plerumque parem tamen emittunt flammæ fulgorem: Sic & charismata in diversis ad quæ habilitant bonis operibus, differentem evibrant ejusdem unius ex quo sunt divini Spiritûs splendorem. Aut ut in civitate multos amplectente cives, licet cuncti uno pane uno potûs genere vescantur: tamen horum Alij quidem viri, alij parvuli, multi pueri, non pauci senes, non parvo, nec parùm notabili differunt invicem discrimine: Vel quemadmodum frumentum in uno & eodem seminatum agro, non unius ubique molis, vigoris &

formæ Spicas progerminat: tamen universum in eamdem unà confertur aream, in unum pariter reconditur horreum. Sic & tu existima me autore, in extremâ quoque Mortuorum resurrectione fore. Nimirum tunc Iustorum ingens apparebit differentia gloriæ pro merito bonorum cujusque operum variè in vitâ patratorum: utcumque ista pariter cuncta ortum duxerint ex insessione inhabitantis ipsis divini Spiritûs. Hanc esse Credo sententiam illius dicti Apostolici: *Stella differt à stellâ in claritate*, &c. 1. Cor. xv. 41.

ξης τῶν ἀνισταμένων δοξάζεσθαι καὶ γνωρίζεσθαι κατὰ τὴν ἀξίαν τῶν κατορθωμάτων, καὶ τὴν μετουσίαν τοῦ ἐντεῦθεν ἤδη ἐνῳκηκότος αὐτοῖς θείου πνεύματος· καὶ τοῦτό ἐστι τὸ, ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ.

CAP. XI.

Solum peculiari quisque studio curet, ut regeneratus Spiritu Sancto, inhabitans in sese peccatum abstergat. Etenim in parte quadam, etiam illa ipsa per Sanctum Spiritum generatio imaginem perfectionis habet, & in formâ & in membris: non tamen virtute, aut mente, aut fortitudine. Nam qui in virum perfectum & mensuram pervenit ætatis, quæ erant Parvuli solet evacuare. Et hoc est quod Apostolus dixit: *Sive linguæ cessabunt, sive Prophetiæ*, &c. 1. Cor. xiij. 8. Sicut enim vir jam factus, neque escas neque sermones puero convenientes admittit, sed ea ut sibi indecora dedignatur: tamquam qui in

ΚΕΦ. ΙΑ.

Τοῦτο μόνον κατὰ σπουδὴν ἔστω· ἵνα τις γεννηθεὶς τῷ πνεύματι τῷ ἁγίῳ τὴν ἔνοικον ἀπονίψηται ἁμαρτίαν· καὶ γὰρ ἔν τινι μέρει καὶ ἐκείνη ἡ διὰ τοῦ πνεύματος τοῦ ἁγίου γέννησις εἰκόνα τελειότητος ἔχει ἔν τε τῇ μορφῇ καὶ τοῖς μέλεσιν· οὐ μέντοι δυνάμει, ἢ νῷ, ἢ ἀνδρείᾳ· ὁ γὰρ πρὸς ἄνδρα τέλειον καὶ μέτρον ἀφικόμενος ἡλικίας, τὰ τοῦ νηπίου πέφυκε καταργεῖν· καὶ τοῦτό ἐστιν ὅπερ ὁ Απόστολος ἔλεγεν· εἴτε γλῶσσαι καταργηθήσονται, εἴτε προφητεῖαι· ὥσπερ γὰρ ὁ ἀνὴρ ἤδη γενόμενος, οὔτε τροφὰς οὔτε λόγους τοὺς παισὶ προσήκοντας καταδέχεται· ἀλλ' ἀναξιοπαθεῖ πρὸς αὐτὰ, ὡς ἑτέρας ἤδη διαγωγῆς ἐπιβάς· οὕτως ὁ πρὸς τελείωσιν τῶν εὐαγγελικῶν αὐξάνων κατορθωμά-

των, τὴν νηπιότητα τὴν ἑαυτοῦ πρὸς τὴν τελειότητα καταστάσει· ὅτι γὰρ, φησὶν ὁ θεῖος Ἀπόστολος, γέγονα ἀνὴρ, κατήργησα τὰ τοῦ νηπίου.

alterum jam altiorem vitæ ſtatum profecerit: ſic qui ad perfectionem Evangelicorum creſcit Officiorum, infantiam propriam ad perfectionem trahet. *Quando* enim ait divinus Apoſtolus, *factus ſum vir, evacuavi quæ erant parvuli.* I. Cor. xiij. 25.

ΚΕΦ. ΙΒ.

Τὸ μὲν κατὰ πνεῦμα γεννώμενον, τρόπῳ τινὶ, καθὼς ἐδείκνυμεν, τέλειόν ἐστιν· ὥσπερ καὶ τοῦτο τὸ νήπιον τέλειον εἶναι λέγομεν, ἐν τῷ τὰ μέρη πάντα τὰ ὁλότητος ἀποσώζειν· πάλιν ὁ μὲν Κύριος οὐχὶ πνεῦμα καὶ χάριν δίδωσιν ἵνα τις περιπέσῃ ταῖς ἁμαρτίαις· αὐτοὶ δὲ ἑαυτοῖς αἴτιοι τῶν κακῶν οἱ ἄνθρωποι, τῇ χάριτι μὴ στοιχοῦντες, καὶ διὰ τοῦτο τοῖς κακοῖς ἁλισκόμενοι· δύναται δὲ καὶ ἐξ ἰδίων ὀλισθαίνειν καὶ φυσικῶν ὁ ἄνθρωπος λογισμῶν, ἀμελῶν, ἢ καταφρονῶν, ἢ καὶ οἰήσει χρώμενος. ἄκουε γὰρ τί φησιν ὁ Παῦλος· ἵνα μὴ ὑπεραίρωμαι ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν. ὁρᾷς ὅτι καὶ οἱ τηλικούτων ἀναβάσεων μέτοχοι ἐπιδεεῖς εἰσιν ἀσφαλείας· ἄλλως τε καὶ εἰ μὴ δῷ πρόφασιν τῷ Σατανᾷ ὁ ἄνθρωπος, οὐ κυριεύσειεν ἂν αὐτοῦ βίᾳ· παρὰ τοῦτο, οὔτε τῷ μέρει τοῦ Χριστοῦ, οὔτε τοῦ ἀντικειμένου τὸ πρᾶγμα λογίζεται· ἀλλὰ τῇ μὲν χάριτι τοῦ πνεύμα-

CAP. XII.

Quod quidem per Spiritum gignitur, modo quodã, ut oſtendimus perfectum eſt. Sicut aliquem infantulum recens natum, ſuo modo eſſe perfectum dicimus, eo quod partes habeat omnes humani corporis. Rurſus Dominus quidem haud quaquam Spiritũ & gratiam dat, ut quis cadat in peccata: ipſi autem homines ſibi cauſa malorũ ſunt ductum abnuentes gratiæ, ideoque illaqueati malis. Poteſt autem ex propriis labi etiam naturalibus homo cogitationibus, negligens, vel contemnens, aut arroganti utens præfidentiâ, Audi enim quid dicat Paulus: *Ne extollar datus eſt mihi ſtimulus carnis Angelus ſatanæ.* II. Cor. xij. 7. Vides ut etiam qui tantis profectibus ad tam ſublimem ſunt evecti virtutis gradum, ſecuritate tamen carent. Cæterùm niſi det occaſionem ultrò & aditum Satanæ Homo, non utique

per vim ei dominabitur. Propter quod, neque parti meliori Christi, neque sequiori Diaboli res imputatur: Sed qui gratiæ Spiritûs se adjicit in finem, partis Christi fit: qui verò non ita se habet, utcumque Spiritu generetur, hoc est, etiam si particeps Sancti Spiritus fiat, in suo arbitrio habebit, sequi voluntatem Satanæ. Sive enim ipse Dominus, sive Satanas per vim traherent, non esset Homo sibi causa ipsi suæ sortis malæ aut bonæ, cadendi in Geennam, aut in Regnum perveniendi.

τος προστεθεὶς εἰς τέλος, τῆς μερίδος γίνεται τοῦ Χριστοῦ· μὴ οὕτω δὲ ἔχων, κἂν πνεύματι γεννηθῇ· τοῦτο δέ ἐστι· κἂν μέτοχος καὶ τοῦ ἁγίου πνεύματος γένηται· παρ' ἑαυτῷ ἕξει τὸ ὀπίσω τοῦ θελήματος πορευθῆναι τοῦ Σατανᾶ. εἴτε γὰρ αὐτὸς ὁ Κύριος, εἴτε καὶ ὁ Σατανᾶς πρὸς βίαν ἐλάμβανον, οὐκ ἦν ὁ ἄνθρωπος ἑαυτῷ αἴτιος, οὔτε γέενναν ἐμπεσεῖν, οὔτε βασιλείας ἐπιτυχεῖν.

CAPUT XIII.

ΚΕΦ ΙΓ.

Homini virtutem amanti multâ curâ satagendum est, ut discretione polleat, cujus Beneficio differentiam boni & mali exploret, & varias Diaboli versutias, soliti per speciosas imaginationes plurimos pervertere, discutiat, habeatque ad liquidum perspectas. Siquidem in omni negotio utilissimum est securitati quàm certissimæ consulere. Ne igitur levitate mentis citò teipsum præbe credulum Spiritualium potestatum afflatibus, aut impulsibus, ad te decipiendum forte comparatis. Etiamsi qui loquuntur

Πολλῆς τῷ φιλαρέτῳ φροντιστέον τῆς διακρίσεως, ὥστε τῆς τοῦ καλοῦ καὶ κακοῦ διαφορᾶς ἐπιγνώμονα εἶναι, καὶ τὰς ποικίλας τοῦ πονηροῦ τέχνας δι' εὐλόγων φαντασιῶν εἰωθότας τοὺς πολλοὺς παρακρούεσθαι, βασανίζειν καὶ συνιέναι. πλὴν τὸ ἀσφαλές, πρὸς πάντα λυσιτελές· μὴ τοίνυν ἐλαφρότητι διανοίας ταχὺ σεαυτὸν ἐμπάρεχε ταῖς τῶν νοερῶν ἐπισπασίαις εἰς ἀπάτην σου· κἂν αὐτοὶ οἱ οὐράνιοι ἄγγελοι ὦσιν· ἀλλὰ μένε βαρύς, βασάνῳ ταῦτα διδοὺς ἐπιμελεστάτῃ. Τὸ μὲν καλὸν οἰκειούμενος, τὸ πονηρὸν διωθούμενος· οὐ γὰρ ἄδηλα τὰ τῆς χάριτος ἐνεργήματα, ὥσπερ ἡ ἁμαρτία, κἂν τὸ

τοῦ ἀγαθοῦ πρόσωπον ὑποκρίνηται, παραχεῖν οὐ δύναται. εἰ γὰρ καὶ κατὰ τὸν Ἀπόστολον, οἶδεν ὁ Σατανᾶς εἰς ἄγγελον φωτὸς μετασχηματίζεσθαι χάριν τῆς ἀπατῆσαι· ἀλλ' οὖν κἂν ὁράσεις λαμπρὰς περιβάλληται, ἀγαθὴν ἐνέργειαν, ἥπερ εἴρηται, παρασχεῖν οὐ δυνήσεται· δι' οὗ καὶ τὸ παράσημον ἀκριβὲς γίνεται· οὐ γὰρ ἀγάπην τὴν εἰς Θεὸν ἢ πλησίον, οὐ πρᾳότητα, οὐ ταπείνωσιν, οὐ χαρὰν, οὐκ εἰρήνην, οὐ κατάστασιν λογισμῶν, οὐ τοῦ κόσμου μίσος, οὐκ ἀνάπαυσιν πνευματικὴν, οὐκ ἐπιθυμίαν τῶν οὐρανίων ἐνεργημάτων δύναται, οὐ πάθη καὶ ἡδονὰς καταπαῦσαι, ἅπερ φανερῶς εἰσὶ τῆς χάριτος ἐνεργήματα, ὁ γὰρ καρπός φησι τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη καὶ τὰ ἑξῆς· τάχα δὲ τῦφον μᾶλλον ἐκεῖνος ἐμποιῆσαι καὶ ὑψηλοφροσύνην ἐπιτηδειότατός τε καὶ δυνατώτατος· ἐκ γοῦν τῆς ἐνεργείας εἴσῃ τὸ ἐλλαμφθὲν ἐν τῇ ψυχῇ σου νοερὸν φῶς, πότερον τοῦ Θεοῦ, ἢ τοῦ Σατανᾶ πέφυκεν ὄν· πλὴν ἀλλὰ τοῦ αὐτῇ τῇ ψυχῇ, εἴπερ ἔρρωται τὰ τῆς διακρίσεως, εὐθὺς ἀπὸ τῆς νοερᾶς αἰσθήσεως, δῆλα τὰ τῆς διαφορᾶς γίνεται· ὥσπερ γὰρ ὄξος οἴνῳ, κατὰ μὲν τὴν ὅρασιν ἕν· ἐκ δὲ τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως ὁ λάρυγξ ἑκατέρου κρίνει τὸ ἴδιον· οὕτω δὴ καὶ ψυχὴ ἐξ αὐτῆς γε τῆς νοερᾶς

Cœlestes sint Angeli. Sed sta in gradu tardus, examini oblata istius generis subjiciens severissimo: & eo quod bonum deprehenderis, amplectens, quod malum, rejiciens. Non enim ignoti sunt effectûs Gratiæ, quos peccatum, utcumque illius personam simulet, non potest repræsentare. Nam etsi, secundùm Apostolum, *Novit Satanas transfigurare se in Angelum lucis*, tamen licet visiones offerat splendidas, bonam operationem, ut dictum est, exhibere non poterit: ex quo certum ejus existet indicium. Non enim Caritatem in Deum aut Proximum, non mansuetudinem, non humilitatem, non Gaudium, non pacem, non refrænationem cogitationum, non mundi odium, non quietem spiritualem, non desiderium cœlestium operationum potest dare, non pravos affectus & voluptates compescere. quæ manifesta sunt opera gratiæ. Nam: *fructus* (inquit) *Spiritus sunt, Caritas, Gaudium, pax* &c. quorum vice fastum ille potiùs & arrogantiam ingenerare multò aptissimus promptissimusque fuerit. Ex operatione igitur dignosces quale sit quod

II. Cor. xj. 14.

Gal. v. 22.

tuæ forte Animæ illuxerit intellectuale lumen, utrum à Deo, an à Satanâ ſit ortum. Quin & ipſi Animæ, ſi guſtum ad diſcretionem non obtuſum habet, ab ipſo ſtatim primùm appulſu ſenſuque, manifeſta ſe prodet differentia. ut enim acetum & vinum ſpecie quidem ac colore unum idemque ſunt; ſi verò lingua explorentur, palatum protinus de utroque pronunciat quid verè ſit: ita & Anima ex ipſo Spiritualis experientiæ ſenſu ac propriâ quadam facultate poteſt dijudicare: quæ boni Spiritus Chariſmata, quæ alieni ſint phantaſmata.

αἰσθήσεως καὶ τῆς ἐνεργείας δυνατὴ κρίνειν τά τε τοῦ πνεύματος χαρίσματα, καὶ τὰ τοῦ ἀλλοτρίου φαντάσματα.

CAPVT XIV.

ΚΕΦ. ΙΔ.

Attendere ac præcavere cuncta circumſpectando diligentiſſimè Animam oportet, ne quando vel minimâ ſui parte ab Adverſariâ poteſtate capiatur. Sicut enim illaqueato quolibet animalis membro, totum ejus corpus neceſſariò inflexum trahitur, & in venantium manus cadit, ſic & Anima ſimilia pati ab inſidiantibus ſibi ſolet. Et hoc manifeſtè denunciat Propheta, *laqueum*, inquiens, *paraverunt pedibus meis, & incurvaverunt animam meam.*

Χρὴ σκοπεῖν καὶ περιβλέπειν ἄριστα τὴν ψυχήν, μήποτε δὴ κἂν τῷ βραχυτάτῳ ὑπὸ τῆς τοῦ ἀντικειμένου ἁλῷ δυνάμεως· ὥσπερ γὰρ ἑνὸς μέρους ζώου παγίδι ληφθέντος ὅλον ἀνάγκη κάμπτεσθαι, καὶ ὑπὸ τὰς τῶν θηρευόντων χερσὶν γίνεσθαι· οὕτω δὴ καὶ ψυχῇ τὰ ὅμοια συμβαίνειν παρὰ τῶν ἐχθρῶν εἴωθε· καὶ τοῦτο δηλῶν καθίστησιν ὁ προφήτης· παγίδα γάρ φησιν ἡτοίμασαν τοῖς ποσί μου καὶ κατέκαμψαν τὴν ψυχήν μου.

CAPVT XV.

ΚΕΦ. ΙΕ.

Oportet volentem per an-
Pſ. lvj. 6. guſtum aditum in Domum Fortis ingredi & vaſa ejus diripere, non indulgere deliciis corporis:

Δεῖ τὸν βουλόμενον διὰ τῆς στενῆς εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθεῖν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάζειν, μὴ εὐδοκεῖν εὐπαθείᾳ σώματος· ἀλλ' ἐνδυνα-

ἐνδυναμοῦσθαι τῷ ἀγαθῷ πνεύματι, ἔχοντα διὰ μνήμης τὸν εἰπόντα· ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· πῶς δὲ δεῖ ἐνδυναμωθῆναι πνεύματι; τῷ Ἀποστόλῳ λέγοντι· τὴν σοφίαν τοῦ Θεοῦ μωρίαν τοῖς ἀνθρώποις λογίζεσθαι προσεκτέον. καὶ ὁ προφήτης δέ· εἶδόν φησι τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων· δεῖ τοιγαροῦν τὸν βουλόμενον υἱὸν Θεοῦ γενέσθαι κατὰ τὸ ὅμοιον ταπεινωθῆναι πρότερον, καὶ μωρὸν καὶ ἄτιμον λογισθῆναι· μὴ ἀποστρέφοντα τὸ πρόσωπον ἀπὸ ἐμπτυσμάτων, μὴ δόξαν, μὴ κάλλος τοῦ αἰῶνος τούτου, μηδὲν τοιοῦτον μεταδιώκοντα, μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν ἀνακλῖναι, ὀνειδιζόμενον καὶ ἐξουθενούμενον, καὶ πάντων παρόραμά τι καὶ καταπάτημα λογιζόμενον, πολεμούμενον ἀφανῶς τε καὶ φανερῶς, καὶ τῇ διανοίᾳ ἀντιμαχόμενον· καὶ τότε αὐτὸς ὁ τοῦ Θεοῦ υἱός, αὐτός γε εἰπών· ἐνοικήσω καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, ἐμφανὴς ἔσται τῇ αὐτοῦ καρδίᾳ, καὶ λήψεται δύναμιν καὶ ἰσχύν, ὥστε δεσμεῦσαι τὸν ἰσχυρόν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι· ἐπὶ ἀσπίδα τε καὶ βασιλίσκον, καὶ ἐπάνω σκορπίων καὶ ὄφεων ἐπιβῆναι.

Sed corroborari divino Spiritu,
memorem ejus qui dixit *Caro &* I. Cor
Sanguis Regnum Dei non poſsi- xv. 50.
debunt. Quo autem modo il-
li continget corroborari Spiri-
tu? Si attendat Apoſtolo di-
centi: *Dei ſapientiam, reputari*
ab Hominibus ſtultitiam. Cui
Propheta concinens, ait: *Vidi*
Filium Hominis & ſpecies ejus Iſ. liij. 2.
inhonorata infra omnes filios Ho-
minum. Oportet igitur eum
qui vult filius Dei fieri, priùs
ſimiliter humiliari, & ſtultum
ignobilemque reputari: non
avertentem faciem à ſputis, nec
Gloriam nec decorem Mundi
hujus, aut quid ſimile ſibi pro-
curantem; non habentem ubi
caput reclinet; opprobriis obru-
tum, nihili habitum, pro deſpi-
cabili & digno qui ab omnibus
conculcetur, reputatum; op-
pugnatum occultè ac palàm, &
mente reluctantem; Et tunc
ipſe Dei Filius; ipſe, inquam,
qui dixit *inhabitabo & ambula-* II. Cor.
bo in vobis manifeſtum ſe præ- vi. 12. Levit.
bebit ejus cordi, & ipſe acci- xxvi. 12
piet virtutem & robur ad vin-
ciendum Fortem & vaſa ejus Ps. xc.
diripienda: quin & ambulan- 13. Luc. x.
dum ſuper aſpidem & baſiliſ- 19.
cum, & calcandum ſupra ſcor-
piones & ſerpentes.

CAPVT XVI.

Non parvum nobis certamen propositum est, dum perfringenda & abolenda indicitur mors apud nos latens. ut enim, Christus ait: *Regnum Dei intra vos est*; ita reperitur quoque intra nos modo quodam Autor ipse Mortis, Tyrannus qui nos subjugavit; impugnans nunc cum maximè captivansque nos. Ne igitur remittat conatum Anima, quoad occisum ante se straverit captivantem se Latro-
Isai. xxxv. 6. 7. nem. Et tunc aufugiet dolor omnis & mœror & gemitus, eo quòd eruperit Aqua in terrâ sitienti: & quæ ob siccitatem erat deserta, stagnis jam aquarum inundetur.

ΚΕΦ. ΙΣ.

Οὐ μικρὸς ἡμῖν ἀγὼν πρόκειται· διαῤῥῆξαι τὸν θάνατον· φησὶ γὰρ, ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστίν· εὑρίσκεται δὲ τρόπον τινὰ καὶ αὐτὸς ὢν ἐντὸς ὁ πολεμῶν ἡμᾶς καὶ αἰχμαλωτίζων· μὴ οὖν ἐνδιδότω μηδαμῶς ἡ ψυχὴ ἕως ἂν νεκρὸν θείη τὸν ταύτην αἰχμαλωτίζοντα· καὶ τότε διαφεύξεται ὀδύνη πᾶσα καὶ λύπη καὶ στεναγμὸς, διὰ τὸ ῥαγῆναι ὕδωρ ἐν γῇ διψώσῃ, καὶ γενέσθαι τὴν ἔρημον εἰς πλῆθος ὑδάτων.

CAPVT XVII.

Quæ facilè incuriâ capitur Anima, manifestè monstrat, incredulitate priùs se fuisse captam: ac propterea diem ex die ignavè morando traxisse, absque eo quod verbum salutis acciperet. Alas autem sibi fingit inanibus sæpe somniis lactans & lætificans seipsam, non animadvertens intestinum, quo periclitatur, bellum; ut pote vanâ sui tumens fiduciâ. quæ cæcitas Animæ est, non sinens illam propriæ consciam infirmitatis esse.

ΚΕΦ. ΙΖ.

Ψυχὴ ἁλώσιμος ἀκηδίᾳ δῆλός ἐστι κατάσχετος οὖσα καὶ ἀπιστίᾳ· καὶ διὰ τοῦτο ἡμέραν ἐξ ἡμέρας ὑπερβιβάζει, τὸν λόγον οὐ δεχομένη· ἀναπτεροῖ δὲ ἑαυτὴν καὶ ὀνείροις πολλάκις, τὸν ἔνδον μὴ κατανοοῦσα πόλεμον, ἅτε οἰήσει κατειλημμένη· ἡ δὲ οἴησις τύφλωσίς ἐστι τῆς ψυχῆς, οὐδαμοῦ ἀφιεῖσα τὴν ἑαυτῆς ἀσθένειαν ἐπιγνῶναι.

ΚΕΦ. ΙΗ.

Ὥσπερ βρέφος νεογνὸς εἰκόνα τοῦ τελείου διασώζει ἀνδρός, οὕτω δὴ καὶ ψυχὴ εἰκών τις ἐστὶ τοῦ πεποιηκότος αὐτὴν Θεοῦ. ὡς οὖν τὸ παιδίον κατὰ μέρος μὲν αὐξανόμενον ἐκ μέρους ἐπιγινώσκει καὶ τὸν πατέρα· ἐπειδὰν δὲ εἰς ἡλικίαν ἀφίκηται, τότε συνδιατίθεται, ὥσπερ τι πατὴρ ἀκριβῶς καὶ υἱὸς πατρί· ἀποκαλύπτεται δὲ αὐτῷ καὶ ὁ τοῦ πατρὸς θησαυρός· οὕτω καὶ ἡ ψυχὴ πρὸ τῆς παρακοῆς προκόπτειν ἔμελλε, καὶ εἰς ἄνδρα τέλειον καταντᾶν· διὰ μέντοι καὶ παρακοὴν εἰς πέλαγος λήθης καὶ εἰς βυθὸν πλάνης κατεβιβάσθη, καὶ ἐν πύλαις ᾅδου κατῴκησεν· ἀπὸ γοῦν πολλοῦ καθαπερεὶ διαστήματος μακρυνθεῖσα τοῦ Θεοῦ ἡ ψυχὴ ἀδύνατος αὐτῷ προσελθεῖν ἦν καὶ ἐπιγνῶναι καλῶς τὸν πλάσαντα· ἀλλ' ὁ Θεὸς πρῶτα μὲν διὰ προφητῶν ἐπέστρεφεν αὐτὴν καὶ προσεκαλεῖτο, καὶ εἰς ἐπίγνωσιν εἷλκε τὴν ἑαυτοῦ· ἔσχατον δὲ καὶ αὐτὸς παρελθὼν ἐκεῖνος, ἀφείλετο μὲν τὴν λήθην, ἀφείλετο δὲ τὴν πλάνην· εἶτα καὶ τὰς ᾅδου διαρρήξας πύλας ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψυχὴν, ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος· δι' οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας πρὸς τὴν τελειότητα τοῦ πνεύματος καταντῆ-

CAPVT XVIII.

Sicut Infans recens natus formam perfecti servat viri, ita & Anima imago quædam est Dei qui fecit ipsam. Vt igitur sensim Puer & per partes crescens, incipit ex parte Patrem agnoscere. ubi verò pleniùs adoleverit: tunc non ferè minùs clarè ipse Patrem, quàm Pater ipsum noscit ac diligit: ac tali jam ostenditur Patris Thesaurus. Sic Anima quoque ante inobedientiam profectura fuerat & in virum perfectum occursura: postquam verò inobedientia supervenit, per eam in pelagus oblivionis & in abyssum erroris depressa est: atque in Portis inferi inhabitavit. ubi lato velut intervallo elongata à Deo Anima, accedere ad illum nequit, & clarè agnoscere creatorem suum. At Deus primùm quidem per Prophetas, convertere studebat ad se illam, & provocabat, atque in notitiam trahebat sui. Postremò adveniens & coràm ipse apparens, oblivionem quidem ei abstulit, errorem quoque detraxit. Deinde & ipsas inferni perrumpens portas, in vagam

demùm illam & longè peregrinantem pervênit ingressusque Animam est; formam seipsum atque exemplar ei proponens, in quod illa intuens cum conatu exprimendi, facilè jam poterit ad mensuram ætatis; nempe ad perfectionem Spiritûs, pervenire. Porrò verbum Dei in terris apparens tentari à maligno divinâ dispensatione permittitur, deinde opprobria, vilipendia, contumelias, alapas manuum audacium illarum, & ipsam extremam per crucem mortem sustinet, ostendens, ut diximus, quam animi æquitatem præ nobis ferre debeamus erga opprobriis incessentes, & vilipendentes nos; aut mortem etiam inferentes nobis. ut & ipsi nos iis qui surdi sunt ad justas nostras allegationes audiendas, muti per patientiam fiamus, nihil contra hiscentes; ut vim & tenuitatem perspicientes malitiæ, ex cruce cui suffixi
Hib. v. 7. clavis sumus, cum clamore valido invocemus eum qui potest nos salvos facere à morte:
Psalm. xviij.13 dicamusque: *ab occultis meis munda me*: Et, *Si mei non fue-*
1. Cor. xv. 27. *rint dominati, tunc immaculatus ero.* Tunc igitur immaculatus factus, invenit *eum qui subjecit ipsi omnia*, & conregnat & conrequiescit cum Christo. Etenim per inobedientiam à mate-

σαι· πειράζεται ἐπιγαρῶν ὁ τοῦ Θεοῦ λόγος πρὸς τοῦ πονηροῦ κατ' οἰκονομίαν· ἔπειτα ὀνειδισμοὺς καὶ ἐξουδενώσεις, ὕβρεις τε ῥαπίσματα χειρῶν ἐκείνων τῶν τολμηρῶν, καὶ αὐτὸν ἔσχατον τὸν διὰ σταυροῦ θάνατον ὑπομένει· ὑποδεικνὺς, ὥσπερ ἔφημεν, τίνα τὴν διάθεσιν ἐπιδεικτέον πρός γε τοὺς ὀνειδίζοντας ἐξουθενοῦντας, ἢ καὶ θάνατον ἡμῖν ἐπάγοντας· ἵνα καὶ αὐτὸς τοῖς ὠσὶ κωφοῖς καὶ ἄλαλος γένηται μὴ ἀνοίγων τὸ στόμα, ἵνα τὴν ἐνέργειαν καὶ λεπτότητα διαβλέπων τῆς πονηρίας, καὶ ὡς ἐν σταυρῷ τοῖς ἥλοις ἐμπεπαρμένος μετὰ κραυγῆς ἰσχυρᾶς βοήσειε πρὸς τὸν δυνάμενον αὐτὸν ῥύσασθαι τοῦ θανάτου, καὶ ἀπὸ τῶν κρυφίων μου φησὶ καθάρισόν με· καὶ ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι· τότε γοῦν ἄμωμος γεγονὼς εὑρίσκει τὸν ὑποτάξαντα αὐτῷ τὰ πάντα, καὶ συμβασιλεύει καὶ συναναπαύεται τῷ Χριστῷ· καὶ γὰρ διὰ τὴν παρακοὴν ὑπὸ ὑλικῶν τε καὶ ῥυπαρῶν καταποθεῖσα λογισμῶν οἱονεὶ ἄλογος γέγονεν ἡ ψυχή· ὥστε οὐ μικροῦ πόνου τῆς τοιαύτης ἀνακύψαι ὕλης καὶ τὴν λεπτότητα κατανοῆσαι τῆς πονηρίας, καὶ διελθεῖν, ἵνα καὶ ἀνάρχῳ νοῒ συγκραθῇ.

rialibus & sordidis absorpta cogitationibus, velut irrationalis facta fuerat Anima, adeo ut non parvi laboris ei sit ex tanto luto vultum sursum erigere, sicque intellectâ tenuitate objecti obstaculi Malitiæ, per illum vi diffractum transire, ut menti æternæ se applicet, cum eaque unum fiat.

ΚΕΦ. ΙΘ.

Εἰ βούλει ἐπανελθεῖν εἰς ἑαυτὸν ἄνθρωπε, καὶ ἣν πρώην εἶχες δόξαν ἀναλαβεῖν, ἥτις; ἄρα σοι καὶ ἐκ παρακοῆς παραπώλετο· ὡς ἠμεληκὼς πρότερον τῶν Θεοῦ ἐντολῶν, τοῖς τοῦ ἐχθροῦ διαπάγμασι καὶ τῇ συμβουλῇ προσέσχες· οὕτως νῦν ἀποστὰς οὗ ἐπήκουσας, ἐπιστράφηθι πρὸς τὸν Κύριον· πλὴν ἴσθι ὅτι ἐν πολλῷ κόπῳ καὶ ἱδρῶτί φησι τοῦ προσώπου σου ἀπολήψῃ τὸν πλοῦτόν σου· οὐ γάρ σοι λυσιτελὴς ἡ τοῦ ἀγαθοῦ ἄπονος κτῆσις· ἐπείπερ ἀπονητὶ λαβὼν ἀπώλεσας ἅπερ εἴληφας, καὶ τῷ ἐχθρῷ προὔδωκας τὴν κληρονομίαν σου. ἐπιγνῶμεν οὖν ἕκαστος τίποτε δὴ ἀπωλέσαμεν· καὶ τὸν θρῆνον ἀναλάβωμεν τοῦ προφήτου· τῷ ὄντι γὰρ κληρονομία ἡμῶν κατεστράφη ἀλλοτρίοις, καὶ ὁ οἶκος ἡμῶν ξένοις· τῷ παρακούειν τῆς ἐντολῆς καὶ τοῖς ἑαυτῶν θελήμασιν εἴκειν, καὶ τοῖς ῥυπαροῖς καὶ γηΐνοις ἐνήδεσθαι λογισμοῖς· ὥστε καὶ πολλῷ διαστήματι τότε ἀπέχει ἡμῶν ἡ ψυχὴ ἀπὸ τοῦ Θεοῦ· καὶ ὡς ὀρφανοῖς ἐοίκαμεν μὴ

CAPUT XIX.

Si vis redire ad teipsum Homo, & quam priùs habebas gloriam resumere, quæ tibi ob inobedientiam periit; sicut neglectis priùs Dei mandatis, Diaboli & præceptis & consiliis attendisti, sic nunc ab hoc deficiens cui malè adhæsisti, convertere ad Dominum. cæterùm scito: in multo labore & sudore vultûs tui recepturum te Thesaurum amissum tuum. Non enim ad rationes accommodata tuas est facilis conditio summi boni tui citrà laborem adipiscendi; Siquidem eâ ultrò priùs oblatâ, quæ sic acceperas perdidisti, & inconsultissimè Hosti tuo capitali volens prodidisti hereditatem tuam. Recognoscamus ergo pro se quisque quid tandem id ac quantum sit quod amisimus: & luctum assumamus Prophetæ: verè enim *Hereditas nostra versa est ad alienos: Domus nostra ad extraneos.* Eò quod non au- Ier. Thr. v. 2.

dierimus mandatum: quod propriis voluntatibus obsecuti fuerimus: quod terrenis & sordidis cogitationibus delectati sumus. Itaque longâ sanè tunc distantiâ aberat à Deo Anima nostra; & assimilati orphanis sumus Patrem non habentibus. Cui ergo curæ propria est Anima, huic totis contendendum viribus est ad funditùs extirpandas è mente suâ pravas cogitationes; Et omnem altitudinem extollentem se adversùs scientiam Dei. quando enim ita nobis ipsi vim inferemus, ad templum Dei custodiendum expers omnis maculæ, tunc veniet ad nos qui promisit se habitaturum & ambulaturum in nobis. Tunc etiam resumet amissam Hereditatem suam Anima, & templum Dei fieri dignabitur. Ipse quidem Dominus, Tyranno à quo sumus oppressi malo Dæmone, cum ipsius exercitu, longè à nobis fugato, de cætero in nobis regnabit.

II. Cor. x. 5.

ἔχουσι πατέρα· ὅτινι οὖν μέλει περὶ ψυχῆς, ἀγωνιστέον ὁπόση δύναμις καθαίρειν λογισμοὺς πονηροὺς, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· καὶ οὕτω βιαζομένων τὸν ναὸν τοῦ Θεοῦ τηρεῖν ἄσπιλον, τότε ἔρχεται ὁ ἐπαγγειλάμενος ἐνοικῆσαι καὶ ἐμπεριπατῆσαι ἐν ἡμῖν· καὶ τότε ἀπολαμβάνει τὴν ἑαυτῆς κληρονομίαν ἡ ψυχὴ, καὶ ναὸς Θεοῦ γενέσθαι καταξιοῦται. αὐτὸς γὰρ οὗτος αὐτῷ στρατεύματι τὸν πονηρὸν ἐκδιώξας, τὸ λοιπὸν ἐν ἡμῖν βασιλεύσει.

CAPUT XX.

Quod Caïno secundum sensibilem literæ sonum dictum à Creatore verbum est: *Gemens, tremens, & titubans super terram eris.* Iuxtà sensum allegoricum figura & imago omnium Peccatorum erat. sic enim Adami progenies transgressa mandatum, & peccatorum rea fluctuat cogitationibus inquietis, metu, pavore, perturbatione plena.

Gen. iv. 12.

ΚΕΦ. Κ.

Ο περὶ Καῒν ῥηθεὶς ὑπὸ τοῦ δημιουργοῦ κατὰ τὸ φανερὸν λόγος· στένων καὶ τρέμων καὶ παλλόμενος ἐπὶ τῆς γῆς ἔσῃ· τύπος τις καὶ εἰκὼν πάντων ἁμαρτωλῶν κατὰ τὸ ἀπόρρητον ἦν· οὕτω γὰρ τὸ τοῦ Ἀδὰμ γένος τῆς ἐντολῆς ἐκπεσὼν καὶ ἁμαρτίαις ἔνοχον γεγονὸς σαλεύεται λογισμοῖς ἀστάτοις, φόβου τε καὶ δειλίας καὶ ταραχῆς πληρούμενον. αὐτοῦ τε τοῦ ἐχθροῦ ἐπιθυμίαις καὶ

ἡδοναῖς ποικίλαις πᾶσαν ψυχὴν τὴν μὴ γεγεννημένην ἐκ τοῦ Θεοῦ, κλυδωνίζοντος, καὶ ὡς σῖτον τινὶ σινίῳ ἐνστρέφοντος· οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος τοὺς τοῖς θελήμασιν ἑπομένους τοῦ πονηροῦ· δεικνύων ὅτι τὴν εἰκόνα τῆς τοῦ Κάϊν διασώζουσι πονηρίας, ἤλεγχεν αὐτοὺς· ὑμεῖς, ἔλεγε, τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν τοῦ ἀνθρωποκτόνου· ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἐστὶν ἀρχῆθεν· καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν.

ipso præterea Inimico concupiscentiis & voluptatibus variis omnem quæ regenerata ex Deo non sit, agitante animam, & ut triticum in cribro, sursum deorsum & in latus omne assiduè jactante. Quid quod & Deus ipse obsequentes voluntatibus Diaboli per sese concutit, justè pungens, demonstransque ipsos, ut in culpâ Caïni similes esse voluerint, ita & in pœnæ parte illius imaginem repræsentare, his eos verbis illoquens: *Vos desideria Patris vestri vultis facere Homicidæ. ille enim Homicida erat ab initio & in veritate non stetit.* Ioan. viij. 44.

ΚΕΦ. ΚΑ.

CAPVT XXI.

Κατανοεῖν προσήκει, φησὶ, πῶς ἡ τοῦ κατὰ γῆν βασιλέως θέα ἐπιπόθητός ἐστι καὶ περισπούδαστος τοῖς ἀνθρώποις· καὶ πᾶς ὅστις εἰς πόλιν ἐπιδημῶν ἐν ᾗπερ ὁ βασιλεὺς, ἐπιθυμεῖ αὐτοῦ καὶ μόνον τῆς περιβολῆς ἰδεῖν τὸ πολυτελὲς καὶ φιλότιμον· ἐκτὸς εἰ μὴ ὑπὸ τῶν πνευματικῶν ἀμελεῖται ταῦτα καὶ ἀτιμάζεται· τῷ ἑτέρῳ κάλλει τετρωμένων, καὶ ἄλλης αὐτοὺς δόξης ἐπιθυμεῖν· εἰ οὖν οὕτω τοῖς σαρκικοῖς ἡ τοῦ θνητοῦ βασιλέως ἐσπούδασται θέα· πῶς οὐχὶ μᾶλλον τοῦ ἀθανάτου πολυέραστος ἐκείνοις ἐστὶν οἷς ἐνέσταξέ τις ῥανὶς τοῦ ἀγαθοῦ πνεύμα-

Considerare convenit quantùm aspectus terreni Regis desiderari vulgò soleat, & quàm ardenti procurari studio ab Hominibus. Enimverò quisquis è Solo forte patrio in Vrbem advenit ubi Rex degit, in eo flagranti versatur voto primum illum & solum ante omnia spectandi, si minùs (quod parabile adeò non est) statim ipsius vultum ac personam Principis, saltem exteriorem & semper expositum Palatij ambitum, turres, muros, Portas, splendidamque magnificentiam re-

giæ structuræ. Nisi forte quispiam ex iis sit qui Sancto se dediderit Spiritui, & ex hujus præscriptis sapiat ac vivat. Tales enim humana ista negligunt decora, & pro nihilo habent, potiorum utique formarum vehementi amore saucij. Si ergo vulgaribus istiusmodi & carni deditis Hominibus adeò expetibilis censetur tamque avidè captatur intuendi Regis Hominis copia & fructus: quomodo non incomparabiliter optanda magis visio fuerit Immortalis Regis, iis sanè quibus guttula saltem inspersa quædam Spiritûs Boni, divino amore Cor vulneraverit? Eapse profectò Isti causâ omni Mundi amicitiâ seipsos solvunt, ut possint totum intimè cordis affectum in hoc uno dignissimo indesinenter amando objecto consumere. Sed hi valde pauci sunt: qui quidem bono principio parem finem adjungentes, usque ad extremum inoffensè perseverent. Multi compunguntur. Multi Gratiæ Cœlestis fiunt participes; & amore Divino feriuntur. Sed nec eos qui variè per vitam incurrunt labores, nec Diaboli tentationes arte versutiâ que illatas multiplici, ad extremum innoxiè perferentes, & in mundo permanent, & demerguntur in ejus profundâ voragine, ob propositi languorem & infirmitatem; vel etiam quod affectu terrenorum capiantur. Quicumque porrò securitate omni perducere ad extremam metam cursum hunc volunt, alium amorem, aliam caritatem Cœlesti admiscere illi nequaquam sustinent.

τος, καὶ τὴν καρδίαν θεῖος ἔπληξεν ἔρως· διὰ τοῦτο καὶ πάσης τῆς κόσμου φιλίας ἑαυτοὺς λύουσιν· ἵνα δυνηθεῖεν ἐκεῖνον τὸν πόθον ἔχειν ἐγκάρδιον διηνεκῶς, καὶ μηδένα ἕτερον περὶ ἐκείνου· ὀλίγοι δὲ κομιδῆ εἰσι, οἵγε τῇ ἀγαθῇ ἀρχῇ καὶ πέρας ἴσον ἐπιτιθέντες, καὶ μέχρι τέλους ἀπρόσκοποι διαμένοντες· πολλοὶ μὲν κατανύσσονται, καὶ πολλοὶ χάριτος οὐρανίου μέτοχοι γίνονται, καὶ ἔρωτι τιτρώσκονται θείῳ· ἀλλὰ τοὺς μεταξὺ πόνους, καὶ τὰς τοῦ πονηροῦ πείρας ποικίλῃ τέχνῃ καὶ πολυτρόπῳ προσβάλλοντος οὐ διενεγκόντες, ὑπέμειναν τε τῷ κόσμῳ, καὶ ἐβυθίσθησαν ἐν τῷ ἐκείνου βυθῷ, διὰ γνώμης χαυνότητα καὶ ἀσθένειαν, ἢ καὶ τὸ προσπαθείᾳ τῶν γηΐνων ἁλῶναι· ὅσοι γὰρ πρὸς ἀσφάλειαν μέχρι τέλους διαδραμεῖν βούλονται, ἄλλον ἔρωτα καὶ ἄλλην ἀγάπην τῇ ἐπουρανίῳ ἐκείνῃ συμπαραμίξαι οὐχ ὑπομένουσιν.

ΚΕΦ. κβ.

ΚΕΦ. ΚΒ.

Ὥσπερ μεγάλα δηλαδὴ καὶ ἀνεκδιήγητα τὰ παρὰ τοῦ Θεοῦ ἐπηγγελμένα πεφύκασιν ἀγαθὰ, οὕτω καὶ πολλῶν δεῖται πόνων τε καὶ ἀγώνων τῶν μετ' ἐλπίδος καὶ πίστεως· καὶ δῆλον ἐντεῦθεν· εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· καὶ πάλιν· ἐὰν μήτις μισήσῃ πατέρα καὶ μητέρα, καὶ ἀδελφοὺς καὶ γυναῖκα, καὶ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναται μου εἶναι μαθητής· οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων οὕτως ἔχουσιν ἀνοήτως, ὡς τῆς βασιλείας ἐπιτυχεῖν βούλεσθαι, καὶ τῆς αἰωνίου κληρονομῆσαι ζωῆς, καὶ Χριστῷ διὰ τέλους συμβασιλεῦσαι, τὸ μέγα τοῦτο καὶ ὑπὲρ ἔννοιαν· τοῖς ἰδίοις δὲ ζῶντες θελήμασι, καὶ τούτοις ἀκολουθοῦντες· μᾶλλον δὲ τῷ ἐνσπείροντι τὰ μάταια ταῦτα, καὶ φανερῶς βλαβερά.

CAPVT XXII.

Vt magna prorsus & inenarrabilia bona sunt quæ Deus promisit: ita multis ad eorum assecutionem opus laboribus & certaminibus est; iisque cum spe ac fide toleratis & susceptis. Hoc ex his Christi verbis patet: *Qui vult post me venire, abneget semetipsum & tollat Crucem suam & sequatur me.* Mat. xvj. Et rursus: *nisi quis oderit Patrem & Matrem, & Fratres & Sorores & Filios; adhuc autem & animam suam non potest meus esse discipulus.* Luc. ix Plerique autem Hominum sic stulti sunt, ut Regnum quidem Cœlorum consequi velint, & æternam hereditare vitam, ac Christo in ævum omne conregnare: tanta vero & omnem cogitationem superante felicitate æquum putant se dignos fieri, propriis tamen obsequendo voluntatibus; si non potiùs suggestionibus Diaboli, hanc ipsam illis temerariam & manifestè noxiam fiduciam inspirantis.

ΚΕΦ. ΚΓ.

Οὗτοί εἰσιν οἱ μέχρι τέλους ἄπτωτοι διερχόμενοι, οἱ τὰς τοῦ κόσμου πάσας ἐπιθυμίας, καὶ

CAPVT XXIII.

Vsque ad finem cursum inoffensè Perferentes, hi sunt: qui Mundi omnes cupiditates,

& seipsos, transgressiones que ejus ac voluptates, & circa illum occupationes omninò aversantur & odio habent. Hoc enim est abnegare seipsum quare à propriâ voluntate unus quisque Regno ejicitur. eo quod indulgens ipsi, haudquaquam ex veritate labores eligat, vel acceptet, & seipsum abneget: nimirum volens ita Dei amori ac desiderio servire, ut simul cum eo delectari quoque possit quibusdam hujus mundi rebus, nec totum necesse sit arbitrium propriæ voluntatis Deo donare. Vno autem exemplo declarabitur id quod in manibus habemus. Discernens nempe discernit unusquisque, nec latet ipsum, malum esse hoc ad quod forte agendum propendet. Primùm quidem intùs in corde significatur ambiguitas. bilanx vero cum jugo suspensa in intimâ sui ipsius conscientiâ, palàm anceps in utrumvis, Dei scilicet aut Mundi amorem, arbitrium intùs facit: & tunc circa exteriora prodit. Discernens enim (ut dictum est) discernit quisque. Exempli causâ, quispiam forte cum Fratre contendens, diffidet à seipso, disceptans secum. Ac primò erup-

ἑαυτούς, μεθωδευσμούς τε τούτου καὶ ἡδονάς, καὶ τὰς πρὸς αὐτὸν ἀσχολίας τὸ παράπαν μισήσαντες· τοῦτο γάρ ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν· ὥστε ἰδίῳ θελήματι ἕκαστος τῆς βασιλείας ἐκβάλλεται· τῷ μὴ ἐξ ἀληθείας ἑλέσθαι τοὺς πόνους, καὶ ἑαυτὸν ἀπαρνήσασθαι· ἀλλὰ ἐθέλειν ἔτι πρὸς ἐκείνῳ τῷ θείῳ πόθῳ, καὶ τισι τοῦ αἰῶνος τούτου συνήδεσθαι· καὶ μὴ τὴν ῥοπὴν ὅλην τοῦ ἰδίου θελήματος τῷ Θεῷ διδόναι· δι᾽ ἑνὸς δὲ ὑποδείγματος γνώριμα ἔσται τὰ μετὰ χεῖρας· διακρίνων μὲν γὰρ διακρίνει ἕκαστος, καὶ οὐ λέληθεν αὐτόν· ὅτι ἄτοπον τόδε τυχὸν ὅπερ ὥρμηται ποιῆσαι· πρῶτον μὲν γὰρ εἴσω κατὰ τὴν καρδίαν ἐπισημαίνεται ἡ ἀμφιβολία· ἡ στάθμη δὲ καὶ ὁ ζυγὸς τῷ ἑαυτοῦ συνειδότι, φανερὰν πρότερον τήν τε τοῦ Θεοῦ, καὶ τὴν τοῦ κόσμου ἀγάπης τὴν ῥοπὴν εἴσω ποιεῖ· καὶ τότε περὶ τὰ ἔξω πρόεισι· διακρίνων γὰρ, ὡς εἴρηται, διακρίνει ἕκαστος· οἷον εἰ τύχοι τῷ ἀδελφῷ διαπληκτιζόμενος, στασιάζει πρὸς ἑαυτόν· πρῶτον καὶ ἀντίλεξιν εἴπω; ἀλλὰ μὴ εἴπω· ἀντιφθέγξομαι πρὸς ταυτί μοι τὰ ἐπενεχθέντα ὀνείδη; ἀλλὰ σιωπήσομαι μᾶλλον· ἔχομεν καὶ τῶν Θεοῦ ἐντολῶν· πλὴν ἀλλὰ καὶ τῆς ἰδίας δόξης οὐκ ἀπεχομένης· οὐδὲ παντάπασιν ἑαυτὸν ἑλόμενος ἀπαρνήσασθαι· εἰ οὖν καὶ μικρὸν ἡ ῥοπὴ τῆς τοῦ κόσ-

ικῆς φιλίας τὸ ἐν τῇ καρδίᾳ ζυγὸν καθελκύσειεν, εὐθὺς ὁ πονηρὸς λόγος πρόεισιν ἄχρι καὶ τῶν χειλέων· εἶθ' οὕτως, ὡσπερεὶ τόξον ἐντεινόμενος ὁ νοῦς ἔνδοθεν, βάλλει τὸν πλησίον διὰ τῆς γλώττης, καὶ μέχρι χειρῶν, ἔστι δ' ὅτε καὶ τραυμάτων, ἀλλὰ καὶ αὐτοῦ φόνου, τὸ κακὸν πρόεισιν· ἔξεστι τοίνυν καὶ παραθεωρεῖν· ὅθεν ἀρξάμενον οἷον προέβη δεινοῦ τὸ βραχὺ τοῦτο κίνημα τῆς ψυχῆς· οὕτω νόει μοι καὶ εἰς ἓν ἕκαστον συμβαίνειν ἁμάρτημά τε καὶ ἐπιτήδευμα, τῆς κακίας κολακευούσης τε καὶ προσσαινούσης τὸ θέλημα τῆς ψυχῆς ἐπιθυμίαις κοσμικαῖς καὶ σαρκὸς ἡδοναῖς· οὕτως ἀπαρτίζεται μοιχεία, οὕτω κλοπή, οὕτω πλεονεξία, οὕτω καὶ κενοδοξία, οὕτω καὶ πᾶν ὁτιοῦν πονηρόν.

turiens in contumelioſam vocem: tamen ſe dubitabundus cohibet, quærens: Dicam ne? mox fluctu repulſus reciproco, negans ſubdit: non dicam. Mox iterùm tentatus, ait: quidni reponam quæ purgent aut ulciſcantur hæc & hæc illata mihi probra? Rurſus autem prævalente dum rectum dictat conſcientiâ, virtute ſe involvens dicit: potiùs ſilebo. Tenemus Dei mandata: cæterùm ita ut propriæ quoque cura gloriolæ non negligatur. adeò vix quiſquam plenè ac perfectè in animum induxit, prorsùs in omnibus abnegare ſe. ſi ergo vel minimo momento lanx Amicitiæ mundanæ jugum ſtateræ prægravans traxerit, ſtatim malum verbum exit uſque ad labra: deinde Mens, tamquam Arcum intùs tendens, jaculatur in Proximum per linguam. Iurgium inde progreditur uſque ad manus, interdum & vulnera: quin ad cædem nonnumquam ipſam rixa pervenit. ex quo licet perſpicere: unde ducto principio in quantum ſceleris proceſſerit brevis ille motus Animæ. Et ex hoc exemplo reputa: ſic ad ſingulos evenire lapſus in peccata vel prava ſtudia. Malitiâ ubique adulationibus quibuſdam blanditiiſque pelliciente voluntatem Animæ in cupiditates mundanas & carnis voluptates. Sic perpetratur adulterium, ſic furtum, ſic Avaritia, ſic vana gloriatio. Sic omne aliud cujuſvis generis malum.

CAP. XXIV.

Ipsa quoque per se laudabilia ob vanam sæpe gloriam opera efficiuntur. Quod quidem par Furto, Acediæ, magnisque aliis peccatis à Deo judicatur: Ps. lij. 6. *Deus enim* [ait David] *dissipavit ossa eorum qui Hominibus placent*. Itaque vectigales sibi facere virtutes, tributum è bonis operibus cultûs obsequiique captans proprij Hostis noster satagit, veterator ille versutus, varius, & pravus.

ΚΕΦ. ΚΔ.

Καὶ αὐτὰ τὰ καλὰ πολλάκις ἐπιτηδεύματα διὰ κενὴν δόξαν ἐπιτελεῖται· ὅπερ ἴσον κλοπῆς τε καὶ ἀκηδίας, καὶ τῶν ἄλλων μεγάλων ἁμαρτημάτων παρὰ Θεῷ κρίνεται· ὁ Θεὸς γάρ φησι διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· ὥστε καὶ δι᾽ αὐτῶν τῶν καλῶν ὑπηρετεῖσθαι καὶ θεραπεύεσθαι ὁ ἐχθρὸς βούλεται, ἀπατηλὸς ὢν ἐκεῖνος, καὶ ποικίλος καὶ σκολιός.

CAPUT XXV.

Quam quivis ex Mundi hujus rebus amat, ea gravat illius Mentem, & quasi deorsum trahit ac detrudit, vertereque in Cœlum vultum & oculos non sinit. Talium enim statera & anceps momentum, jugumque arbitrij cordis, quasi sublatum est. Examenque sic fit explorans intimos sensus omnis generis Hominum: seu in Vrbibus degentium Christianorum, seu in Montibus, seu in Monasteriis, aut in Agris, aut in Solitudinibus. Deprehenditurque ex eo quod volens quis alliciatur ab ea re (quæcumque

ΚΕΦ. ΚΕ.

Ὅπερ τις ἐφίλησε τοῦ παρόντος κόσμου τούτου, καὶ βαρύνει δὴ τὴν ἐκείνου διάνοιαν, καὶ οἱονεὶ κάτω καθέλκει, καὶ συνωθεῖ καὶ ἀνακύψαι αὐτὴν οὐκ ἀνίησι· τῶν γὰρ τοιούτων τὸ σάθμιόν τε καὶ ἡ ῥοπὴ, καὶ τὸ ζύγιον τοῦ θελήματος τῆς καρδίας ὥσπερ ἐξήρτηται, καὶ βάσανος ἔνθεν γίνεται παντὶ τῷ ἀνθρωπείῳ γένει, ἤτοι τῶν ἐν πόλεσιν οἰκούντων χριστιανῶν, ἢ τῶν ἐν ὄρεσι, τῶν ἐν μοναῖς, ἢ ἐν ἀγροῖς, ἢ ἐν ἐρημίαις, ὅτι ἑκών τις δελεαζόμενος ὑφ᾽ οὗπερ φιλεῖ δῆλός ἐστιν οὔπω τὴν ἀγάπην αὐτοῦ ὅλην παραδοὺς τῷ Θεῷ· οἷον, ἠγάπησέ τις εἰ τύχοι κτήματα, χρυσίον ἄλλος, ἑτε-

ερος τῇ γαστρὶ δουλεύων, ἢ ἐπιθυμίαις τῆς σαρκὸς χαρίζεσθαι, ἄλλος σοφίαν λόγων διὰ δόξαν ἐπίκηρον· ὁ μὲν ἀρχὴν, ὁ δὲ τὰς ἐξ ἀνθρώπων τιμὰς, ὀργὴν ἄλλος καὶ μῆνιν· τὸ γὰρ ἐκδοῦναι ἑαυτὸν παραχεῖν τοῖς φίλοις αὐτῷ φαίνεται· ἕτερος ὁμιλίας ἐς οὐδὲν δέον· ἄλλος ἁπλῶς τὸ μυθωρίζεσθαι, ἢ λόγοις προσέχειν ἀργοῖς, ἢ τὸ διδάσκαλος εἶναι, καὶ τοῦτο διὰ δόξαν τὴν ἐξ ἀνθρώπων· καὶ ὁ μὲν χαυνώσει καὶ ἀμελείᾳ πρόσκειται· ὁ δὲ ἱματίων καλλωπισμοῖς ἥδεται· οὗτος ὕπνῳ, ἐκεῖνος εὐτραπελείᾳ, καὶ ἄλλος μικρῷ τινι ἢ μεγάλῳ τοῦ κόσμου δέδεται καὶ κατέχεται, καὶ οὐκ ἀνίεται ἀνακύψαι· πρὸς ὃ γὰρ πάθος οὐ διαμάχεταί τις γενναίως, οὐδὲ ἀντικαθίσταται ἐκείνῳ πάντως, καὶ ἥδεται· κἀκεῖνο καθέλκει αὐτὸν καὶ κατέχον οἱονεὶ δεσμός τις, καὶ κύφων τῆς διανοίας αὐτοῦ γίνεται τοῦ μὴ πρὸς τὸν Θεὸν ἀναφέρεσθαι, μηδ' αὐτῷ μόνῳ λατρεύειν· ψυχὴ γὰρ ἡ ἀληθῶς πρὸς Κύριον τὴν ὁρμὴν ἀπευθύνασα, πᾶσαν αὐτῷ τὴν ἔφεσιν ἐπιτρέπει, αὐτή τε ἑαυτῆς ἔξαρνος γίνεται, καὶ τοῦ ἰδίου νοὸς τοῖς θελήμασιν οὐκ ἀκολουθεῖ.

tandem est) quam amat, nondum ab eo suum omnem amorem Deo addictum. Exempli gratia, diligit quis forte Possessiones, alius aurum, quidam ventri servire, & indulgere concupiscentiis carnis. Alium rapit ostentatio sapientiæ ad captationem plausûs inanis, gloriæque fluxæ. Non nemo ambit Præfecturam, Alter honores & venerationem hominum. Huic placet irâ efferri, & sævire in invisos. ulciscique injurias nunc suas nunc suorum. Nam impendere seipsum Amicis vindicandis, heroica ipsi laus videtur. Alij jucundæ sunt confabulationes facetæ de nugis scurrilibus. Quemdam soluta licentia ultra decori terminos evagandi, aut verbis otiosis attendere, aut Magistrum esse; & hoc aucupandæ causâ ab Hominibus gloriæ. Ac aliquis quidem in torporem & negligentiam incumbit. Est quem delectet ornatus ac splendor vestium. Hic somno, ille dicacitati facetiarum, alius parvæ cuipiam aut magnæ Mundanatum rerum affectu defixus hæret; ita ut eâ quasi vinctus teneatur, nec possit sursùm aspicere, quam enim aliquis animi sui pravam affectionem non oppugnat acriter, cuique non obsistit generosè, eâ tandem delectatur, & tunc illa trahit ipsum ac detinet, & un-

cus velut quidam collaris ejus mentis fit, deorsum illam incurvans negato illi suspectu ad Deum libero: nec permittens illi soli servire. Anima enim quæ verè ad Dominum impetum suum dirigit, omne illi suum desiderium permittit, ipsaque in omnibus seipsam abnegat, propriæque mentis inclinationibus haud obsequitur.

CAPUT XXVI.

Docendum in exemplo, quomodò fiat, ut pereat Homo eò quòd propriæ obsecutus fuerit voluntati. propter enim affectum ad aliquid ex mundanis contingit eum aut in ignem conjici, aut mari demergi, aut in captivitatem seipsum tradere. Ponatur, domum aut villam in quâ quispiam præsens habitat, casu fortuito inflammari. Hoc animadverso qui saluti consulere propriæ decrevit, neglectis statim omnibus aufugit, suæ unicè vitæ curam servandæ habens. Alius autem amore cujusdam vasis sibi forte pretiosi ex supellectili domesticâ, ut id flammæ subtractum secum efferat, moratur. inque istâ morâ & conatu circumventus à prævalente undique igne comburitur. Vides ut propriâ voluntate & amore cujuspiam temporalis rei quam præter se, imo super se ac salutem suam videtur dilige-

ΚΕΦ. ΚΣ.

Διδακτέον ἐκ παραδείγματος, πῶς θελήματι ἰδίῳ παραπόλλυται ἄνθρωπος· διὰ γὰρ ἀγάπην τινὸς τῶν τοῦ κόσμου ἔντε πυρὶ βάλλεται καὶ ἐν θαλάσσῃ βυθίζεται, καὶ αἰχμαλωσίᾳ ἑαυτὸν ἐμπαρέχει· ὑποκείσθω γὰρ, οἶκόν τινος ἢ ἀγρὸν, οὕτω συμβὰν, καταπίμπρασθαι· ὁ τοίνυν ἑαυτὸν περισῶσαι βουλόμενος, ὡς τοῦ ἐμπρησμοῦ ᾔσθετο, γυμνὸς ἐκπέφευγε πάντων ἀμελήσας, καὶ τῆς ἑαυτοῦ μόνης ψυχῆς γενόμενος· ἕτερος δὲ εἰς τοῦν αὐτοῦ ἐπελθὸν καί τινα τῶν σκευῶν ἐξελεῖν, ὑπέμεινεν ἄρξαι· καὶ ὡς ἐν αὐτῷ λαμβάνειν αὐτὸς ἦν, κατακρατήσαν ἤδη τῆς οἰκίας τὸ πῦρ καὶ αὐτὸν συνέλαβε καὶ κατέκαυσεν· ὁρᾷς ὅπως ἰδίῳ θελήματι, φιλίᾳ τινὸς τῶν προσκαίρων ὃ παρ' ἑαυτοῦ φαίνεται ἀγαπήσας, τῷ πυρὶ παραπώλετο· ἕτερον πάλιν ναυαγίῳ περιπεσόντων, ὁ μὲν σώζειν ἑαυτὸν βουλόμενος, ἀποδύεται καὶ γυμνὸς τοῖς ὕδασιν ἐπαφίεται· καὶ οὕτω δυνατὸν αὐτῷ γίνεται τὴν ἰδίαν

περισῶσαι ψυχήν· ὁ δὲ καὶ τῶν ἐνδυμάτων συνδιασῶσαί τινα θελήσας, ὑπὸ τῶν ὑδάτων καταβαπτίζεται, καὶ διὰ βραχύ τι κέρδος, ὢ τῆς συμφορᾶς· καὶ ἑαυτὸν συναπώλεσεν. Καὶ πάλιν ὑποκείσθω καὶ ἐχθρῶν τινὰ ἔφοδον παρηγγέλθαι· καὶ τὸν μὲν ἅμα τῷ ἀκοῦσαι, εὐθὺς ὡς εἶχε ποδῶν ἐκφυγεῖν, μὴ μελῆσαν αὐτῷ τῶν μηδενός· τὸν δὲ διαπιστήσαντα, εἰ καὶ τῶν πραγμάτων τινὰ βουληθέντα συνεκκομίσαι, εἶτα ἐφυστερήσαντα συλληφθῆναι καταλαβόντων τῶν πολεμίων· ὁρᾷς ὅτι θελήματι τις ἰδίῳ τὴν ἀμέλειαν, καὶ τῷ προσπηλῶσθαί τισι τῶν τοῦ κόσμου, τήν τε τοῦ σώματος καὶ τὴν τῆς ψυχῆς ἀπώλειαν ὑπομένει.

re, talis miserabiliter flammis absumitur. Aliis rursus in naufragium incidentibus, is quidem illorum qui servare seipsum quantum potest omninò constituit, cunctis confestim vestibus abjectis, nudum se in aquam mittit & natatu salutem expedit. At quispiam ex istis, affectu defixus speciosiori cuidam vesti & cariori, eâ impeditus aut degravatus dum secum effert, absorbetur fluctibus, propter vile lucrum, O Miseriam! seipsum perdens. Fingatur postremò, indicium perferri trepidum imminentis irruptionis hostilis. & quendam statim à cognito periculo pedes in fugam quàm potest velocissimam dare, securum relinquorum præter se, omnium. At avariorem aliquem non priùs velle fugere, quam pecuniam secum auferat. sed hanc dum arca eruit, cunctantem Hostilis manus superveniens comprehendit. Cui ea captivitas imputanda sit vides: voluntati videlicet istius propriæ, cum minori quàm oporteret salutis curâ conjunctæ, propter adhæsionem nimis addictam cuidam mundanarum rerum. unde illi miserè accidit & corporis & animæ irreparabilem subire jacturam.

ΚΕΦ. ΚΖ.

CAPVT. XXVII.

Ὀλίγοι μὲν ἀτεχνῶς οἱ τελείαν τὴν πρὸς Θεὸν ἀγάπην κτησάμενοι, πάσας τε ἡδονὰς τοῦ κόσμου, καὶ τὰς ἐπιθυμίας τὸ μηδὲν λογιζόμενοι, καὶ τοὺς τοῦ πονηροῦ πειρασ-

Pauci profectò sunt qui perfectam ad Deum caritatem habeant; qui omnes voluptates mundi & omnes cupiditates nihili ducant; qui denique omnes

Maligni tentationes patienti longanimitate perferant. Cæterùm non ob hoc desperandum; neque bonam spem negligamus. Etsi enim multæ naves naufragium patiantur: sunt tamen omninò non paucæ quæ felici trajectu portum tenent. Propterea fide nobis imprimis opus; patientiaque & attentione; generoso quoque in certaminibus animo; ac præterea fame ac siti bonitatis, simul cum multâ prudentiâ & discretione; quin & acrimoniâ & piâ quadam impudentiâ in petendo. Nam plerique Hominum, ut diximus, sine labore ac sudore consequi Regnum Cœlorum. volunt: & Sanctos quidem viros felices prædicant: honoremque ipsorum ac Charismata concupiscunt: parium vero cum ipsis tribulationum, laborum & passionum consortes fieri renuunt. Atque ista Sanctorum decora sibi cupere, commune votum est meretricum etiam & Publicanorum, omninóque cujusque generis Hominum. Atqui non nisi venalia hæc proponuntur pretio tentationum & probationum patienter inoffenséque toleratarum. ut per eas appareat, quinam verè suum ipsorum Dominum diligant: & his justè merentibus contingat ad Regni Cœlestis fastigium evehi.

μοὺς φέροντες μακροθύμως· πλὴν οὐ παρὰ τοῦτο ἀπογνωστέον· οὐδὲ τῆς ἀγαθῆς ἐλπίδος ἀμελητέον· κἂν γὰρ πολλὰ τῶν πλοίων ὑπομένῃ ναυάγιον· ἀλλ' εἰσὶ πάντως ἃ καὶ διαπερῶντα, τοῦ λιμένος ἐπιλαμβάνεται· διὰ τοῦτο πίστεως ἡμῖν πολλὴ χρεία, ὑπομονῆς τε καὶ προσοχῆς καὶ ἀγώνων· πρὸς δὲ πείνης τε καὶ δίψης τοῦ ἀγαθοῦ, κατὰ πολλὴν σύνεσιν καὶ διάκρισιν· οὐ μὴν ἀλλὰ καὶ ὀξύτητός τε καὶ ἀναιδείας περὶ τὴν αἴτησιν· οἱ γὰρ πλείους τῶν ἀνθρώπων, ὥσπερ προείρηται, καμάτων ἄνευ καὶ ἱδρώτων τῆς βασιλείας ἐπιτυχεῖν βούλονται· καὶ τοὺς μὲν ἁγίους μακαρίζουσιν ἄνδρας, καὶ τῆς τιμῆς αὐτῶν καὶ τῶν χαρισμάτων ἐπιθυμοῦσι· τῶν ἴσων δὲ θλίψεων αὐτοῖς, τῶν πόνων τε καὶ τῶν παθημάτων οὐ βούλονται κοινωνεῖν· τούτου δὲ πάντες, καὶ πόρναι καὶ τελῶναι, καὶ πᾶς τις ἀνθρώπων ἐπιθυμεῖ· ἀλλὰ διὰ τοῦτο πειρασμοὶ πρόκεινται καὶ δοκιμασίαι· ἵνα δῆλοι γένωνται τίνες οἱ πρὸς ἀλήθειαν τὸν ἑαυτῶν ἠγάπησαν δεσπότην· καὶ δικαίως οὗτοι τῆς τῶν οὐρανίων ἐπιτύχωσι βασιλείας.

ΚΕΦ.

ΚΕΦ. ΚΗ.

Ταῖς θλίψεσι καὶ τοῖς παθήμασι, τῇ ὑπομονῇ τε καὶ πίστει ἐγκεκρύφθαι νόμιζε τὰς ἐπαγγελίας, αὐτήν τε τὴν δόξαν, τὴν τῶν οὐρανίων ἀγαθῶν ἀπόληψιν· ἐπεὶ καὶ τὸν ῥιπτόμενον τῇ γῇ σῖτον, ἢ καὶ τὸ δένδρον φημὶ τὸ ἐγκεντριζόμενον, ἀνάγκη σήψει πρότερον καὶ ἀτιμίᾳ ὑποπεσεῖν· καὶ οὕτω τοῦ εὐπρεποῦς αὐτοῦ ἐνδύματος τὸν πολλαπλάσιον καρπὸν ἀπολαβεῖν· εἰ μὴ γὰρ διὰ τῆς σήψεως ταύτης, κἀκείνων τῶν ὥσπερ ἀτίμων διελθεῖν αὐτοῖς γέγονεν, οὐκ ἂν τὴν ἐσχάτην εὐπρέπειαν, καὶ τὸ τῆς θέας κάλλος περιεβάλλοντο. τοῦτο δὲ καὶ τῷ Ἀποστόλῳ δοκεῖ· διὰ πολλῶν, γάρ φησι, θλίψεων δεῖ ἡμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν· καὶ ὁ Κύριος· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν· καί, ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε.

CAP. XXVIII.

Tribulationibus, Passionibus, Patientiâ & Fide obvolutas absconsasque contineri Promissiones puta, ipsamque gloriam, ac bonorum Cœlestium fruitionem. Quandoquidem & jactum in terram frumenti granum, & insitum trunco non suo arboris surculum, vel ipsam, inquam, arbusculam teneram scrobi mandatam, necesse est priùs quàm floreant, putrescere, & quadam sepulturæ, vel aliunde mendicatæ stationis ignominiâ perfundi: & sic cùm ornatum egerminantis & altè surgentis spicæ; tum frondium fructuumque, induendo recipere. Nisi enim per illam putredinem, per illas velut ignominias transierint, numquam eum profectò quo fulgent ad ultimum decorem, numquam foliorum pomorumque speciosam pompam sibi circumdarent, quâ se ambitiosè oculis ostentant. In hâc quidem sententiâ Apostolus est: *Per multas* enim inquit, *tribulationes oportet nos intrare in Regnum Dei.* Et Dominus: *In patientiâ vestrâ possidebitis animas vestras.* Et: *in mundo tribulationem habebitis.* Act. xiv 21. Luc. xxi 19.

ΚΕΦ. ΚΘ.

Ἕκαστος ὑμῶν ὅσωπερ ἂν καταξιωθείη τῇ τε πίστει καὶ τῇ σπουδῇ μέτοχος ἁγίου γενέσθαι πνεύματος·

CAPUT XXIX.

Quantâ unusquisque vestrum fide diligentiaque promeruerit Sancti fieri Spiritûs particeps:

tantâ ipsi mensurâ gloriæ continget in illa Resurrectionis die corpus ejus coronari. Quod enim nunc Thesaurizavit in Animâ, tunc exteriùs revelatum apparebit in corpore. cujus quasi experimentum aut exemplum spei capere licet ex Arboribus. Hieme siquidem jam transactâ, & lætiores calidioresque passim diffundente radios sole; ac, pro mitiori videlicet tunc dominante tempestate anni, lenibus & fecundis favoniis flantibus, trudunt illæ foràs gemmas ac surculos, & quodam se quasi festivo vestitu foliorum, florum & fructuum ambiunt. Similiter & flos fœni per idem tempus è sinu telluris egerminat: tegiturque illis terra, quasi sese jactans specioso amicta paludamento. Ad hunc modum & corpora Sanctorum, tunc splendebunt, foràs demùm erumpente luce illâ ineffabili, quæ in ipsis dum mortaliter viverent, quasi lâtens sub cinere, mussabat: virtutem dico & gratiam Spiritûs; quæ tunc ipsis erit vestis, esca, potus, exultatio, gaudium, pax: & ut verbo cuncta uno compectar, vita æterna.

τοσοῦτον ἐκείνης τῆς ἡμέρας δοξασθήσεται αὐτοῦ καὶ τὸ σῶμα· ὃ γὰρ νῦν ἔνδον ἀπεθησαύρισε τῇ ψυχῇ, τότε καὶ ἐκτὸς ἐπὶ τοῦ σώματος ἀποκαλυφθήσεται· καὶ τὸ παράδειγμά φησιν ἐκ τῶν δένδρων· χειμῶνος γὰρ παρελθόντος, καὶ ἡλίου φαιδροτέρου τε καὶ ἀκμαιοτέρου ἐπιλάμψαντος, ὡς δέον καὶ ἀνέμων ἐπιπνευσάντων, ἔσωθεν ἐκεῖνα φύει, καὶ ὡς ἐνδύματα, φύλλα καὶ τὰ ἄνθη, καὶ τοὺς καρποὺς περιβάλλεται· παραπλησίως δὲ καὶ τοῦ χόρτου ἄνθος κατ' ἐκεῖνο καιροῦ τῶν κόλπων τῆς γῆς ἀναδίδοται· καὶ σκέπεται τούτοις γῆ· καὶ ὡς ἐμπρεπὲς αὐτὰ περιβόλαιον ἀμφιέννυται· καὶ γὰρ ἐνδοξασθήσονται δι' αὐτοῦ τοῦ ἀπὸ γε τοῦ νῦν ἐνυπάρχοντος ἀῤῥήτου φωτὸς, εἴτ' οὖν τῆς τοῦ πνεύματος δυνάμεως· ὅπερ καὶ τότε ἔσται αὐτοῖς ἔνδυμα, βρῶσις, πόσις, ἀγαλλίασμος, χαρὰ, εἰρήνη, καὶ τὸ πᾶν, ζωὴ αἰώνιος.



OPUSCULUM VI.


Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Περὶ ὑψώσεως τοῦ Νοός

Λόγος.

ΚΕΦΑΛΑΙΟΝ Α.



Ωσῆς ὁ μακάριος ὑπέδειξε τύπον διὰ τῆς τοῦ προσώπου αὐτοῦ ἐπιλαμπούσης τῆς πνεύματος δόξης, ἣν οὐδεὶς ἀνθρώπων ἀτενίσαι ἐδύνατο, πῶς ἐν τῇ τῶν δικαίων ἀναστάσει τὰ σώματα δοξασθήσεται τῶν ἁγίων· ἣν δόξαν ἀπὸ τοῦ νῦν ἐν τῷ ἔσω ἀνθρώπῳ αἱ πισταὶ τῶν ἁγίων ἔχειν καταξιοῦνται ψυχαί· ὑμεῖς γάρ φησιν, ἀνακεκαλυμμένῳ προσώπῳ, τουτέστιν ἐν τῷ ἔσω


S. P. N.

MACARII MAGNI

De Elevatione Mentis

Liber.

CAPVT I.



EATUS Moses suboſtendit formam, per reſplendentem in ejus vultu Spiritûs gloriam in quam nullus Hominum poſſet intendere, ejus gloriæ quâ in Iuſtorum reſurrectione glorificabuntur Corpora Sanctorum. quâ gloriâ ex nunc in interiori homine Sanctorum Animæ dignantur. *Vos* enim ait, *revelatâ* II. *Cor.* iij. 18.

facie, hoc est, in interiori homine, *gloriam Domini speculantes, in eandem imaginem transformati à claritate in claritatem.* Circa hoc scriptum est rursus: Mosem quadraginta noctibus & totidem diebus, nec cibi meminisse nec potûs. quod humanæ naturæ modum excedit, nisi vicem alimenti corporei, Spiritualis impertita ipsi esca suppleat. Qualem videlicet jam nunc Sanctæ Animæ percipiunt ex Spiritu.

ἀνθρώπῳ, τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, εἰς τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν· περὶ τούτου γέγραπται πάλιν· τεσσαράκοντα νύκτας καὶ ἡμέρας τὰς ἴσας μὴ τροφῆς μνησθῆναι, μὴ πόσεως· ὅπερ οὐκ ἀνθρωπίνης φύσεως ἔργον, εἰ μή τι ἄρα τροφῆς ἐκοινώνει πνευματικῆς· ἧς περ δὴ καὶ αὐτὴν ἀπὸ τοῦ νῦν αἱ ἅγιαι ψυχαὶ μεταλαμβάνουσιν ἐκ τοῦ πνεύματος.

CAPUT II.

Claritas quâ jam hinc Sanctorum abundant Animæ, illa ipsa teget & amiciet nuda corpora in Resurrectione, ac rapta in cœlos auferet, & tunc illi corpore pariter & animâ in Dei Regno simul perpetuò requiescent. Adamum quippe creans Deus alas ipsi corporeas, velut avibus, non indidit; ut pote cui alas Spirituales quibus post resurrectionem attolleretur, & raptus quocumque vellet Spiritus, liberè ferretur, dare ipsi decreverat. Has Spirituales alas, Sanctorum Animabus jam nunc datum est habere, quæ ad Cœlestem ipsas transferunt sensum. Christia-

ΚΕΦ. Β.

Τὴν δόξαν ἣν ἐντεῦθεν αἱ τῶν ἁγίων πλουτοῦσι ψυχαί, ἐκείνη καλύψει καὶ ἀμφιάσει τὰ γυμνὰ σώματα ἐν τῇ ἀναστάσει, καὶ εἰς οὐρανοὺς ἀνάρπαστα ποιήσει· καὶ τότε λοιπὸν σώματι καὶ ψυχῇ ἐν τῇ βασιλείᾳ Θεοῦ ἅμα διηνεκῶς ἀναπαύσονται· τὸν γὰρ Ἀδὰμ κτίσας ὁ Θεὸς πτέρυγας αὐτῷ σωματικὰς ὡς τοῖς πετεινοῖς οὐκ ἐνέθηκεν· ἀλλὰ τὰς τοῦ πνεύματος κατὰ τὴν ἀνάστασιν παρέξειν αὐτῷ μέλλων, ἵνα κουφίζηται δι' αὐτῶν καὶ ἁρπάζηται ὅπου πάντως τὸ πνεῦμα βούληται· ταύτας δὲ τὰς νοητὰς πτέρυγας τῶν τῶν ἁγίων ψυχαῖς ἀπὸ τοῦ νῦν δέδοται ἔχειν, αἱ πρὸς τὸ οὐράνιον αὐτὰς μεθορίζουσι φρόνημα· Χριστιανῶν γὰρ κόσμος ἄλλος, καὶ ἄλλα

ἐνδύματα, καὶ τράπεζα ἄλλη, καὶ ἄλλη ἀπόλαυσις· ἐπεὶ καὶ οὐρανόθεν ἐλεύσεσθαι τὸν Χριστὸν οἴδαμεν ἀναστῆσαί τε τοὺς ἐκ τοῦ παντὸς αἰῶνος κεκοιμημένους, καθὼς αἱ θεῖαι γραφαί, καὶ εἰς δύο τούτους διελόντα μέρη, καὶ τὰ ἑξῆς.

norum enim alius, quàm cæterorum ornatus, alia indumenta, menſa alia, & alia fruitio eſt. quandoquidem è Cœlis venturum Chriſtum ſcimus, ſuſcitaturum eos qui ex omni ævo dormierunt: eoſdemque in claſſes duas haſce, Beatorum ſcilicet & Damnatorum, diviſurum: *Sicut Paſtor dividit oves ab Hoedis*, quemadmodum ſacræ ſcripturæ tradunt. *Mat. xxv.32.*

ΚΕΦ. Γ.

Οἷς μέλει τὸ τοῦ χριστιανοῦ βίου ὡς κάλλιστα κατορθοῦν, τούτοις δὲ προσήκει προηγουμένως τοῦ διανοητικοῦ τε καὶ διακριτικοῦ καὶ ἡγεμονικοῦ μέρους τῆς ψυχῆς διὰ πάσης ἐπιμελείας τῆς σπουδῆς· ἵνα τὸ τοῦ καλοῦ τε καὶ κακοῦ διάκρισιν ἀκριβώσαντες, καὶ ἃ παρὰ φύσιν ἐπεισήχθη πάθη τῆς καθαρᾶς ἀποκρίναντες φύσεως· ἀπροσκόπως ζῆν ἔχοιεν, ὡς ὀφθαλμῷ τῷ τῆς διακρίσεως μέλει χρωμένοις· καὶ ἀσύνθετοι πρὸς τὰς τῆς κακίας ἀφορμὰς εἶναι δυνάμενοι· ἔστι γὰρ θέλημα τῇ ψυχῇ τὰ μέλη τοῦ σώματος τῆς τῶν αἰσθήσεων βλάβης ἄχραντα συντηρεῖν ἀπεῖρξαί τε ἑαυτὴν τοῦ τοῦ κόσμου περισπασμοῦ, καὶ φυλάξαι τὴν καρδίαν τοῦ μὴ ἐξαπλοῦν τῷ κόσμῳ τὰ μέλη τῶν αὐτῆς λογισμῶν· ἀλλὰ περισφίγγειν αὐτὰ πάντοθεν καὶ συνέχειν χαμαιζήλου μερίμνης·

CAP. III.

Quibus curæ eſt Chriſtianæ vitæ officia quàm optimè omnia exequi: eos ante quidvis aliud oportet, Partis Animæ, quam ſuperiorem & prædominantem vocant, intellectualis videlicet ac diſcretivæ, in autoritate ac vigiliâ debitâ tenendæ, diligentem in primis habere rationem; omni ſtudio cavendo, ne pro bono ipſis illudat ſpecioſâ pelle larvatum malum: neve cupiditates naturæ, poſtquàm corrupta eſt, inſitas, pro innatis ei à primævâ origine, ac verè naturalibus habeant. Tali quippe muniti circumſpectione, inoffenſè decurrent vitæ ſtadium; duce utique fido ad paſſus ſingulos prævio utentes, alrè intento & circum ac procul cuncta perſpicaciter explorante

discretionis semper vigilis oculo: per quem à fallaciis ubique insidiantibus astutæ pravitatis tuti ac securi poterunt esse. Est enim voluntas Animæ, membra corporis à noxâ errantium sensuum incorrupta servari; seque ipsam à mundi avocationibus arcere: custodireque cor ne in Mundum extendat membra suarum cogitationum: sed ea colligat & undecumque restricta contineat, à vili quavis curâ & voluptate coërcens. Enimvero ubi Dominus aliquem id sedulò agentem viderit; sic, inquam, attentum, seque semper cumspectantem cum metu ac tremore servire ipsi ex proposito pergentem animadverterit; suggeret ipsi absque dubio copiosum ad ulteriora gratiæ auxilium. Solutos autem & somnolentos, qui se ultrò ac volentes mundi præstigiis illudendos præbent, voluptatibusque sitienter hauriendis incumbunt, quid causæ tandem est cur Deus studendum sibi putet eximiis istis beneficiis afficere?

καὶ ἡδονῆς· ἐπειδὰν οὖν ὁ Κύριος ἴδῃ τινὰ ταύτῃ διάγοντα, καὶ οὕτως ἑαυτὸν ἀκριβοῦντα, φόβῳ τε καὶ τρόμῳ δουλεύειν αὐτῷ προθέμενον, ἐπορέγει καὶ τὴν ἐκ τῆς αὐτοῦ χάριτος ἐπικουρίαν· ἐπεὶ, τί ποιήσειεν ὁ Θεὸς τῷ ἑκόντι τῷ κόσμῳ ἑαυτὸν ἐκπαρέχοντα, καὶ ὀπίσω τῶν ἡδονῶν αὐτοῦ πορευόμενον;

CAP. IV.

Prudentes illæ virgines quæ peregrinum à suâ ipsarum naturâ oleum (quod est Spiritûs Gratia) in vasis cordis præsumpserant, potuerunt in thalamum simul intrare cum sponso. Aliæ vero fatuæ & malæ, ea sibi sufficere ducentes quæ natura ipsis suppeditabat sua, iisque propterea contentæ, omni solicitudine omissâ supinæ securitati se dederunt, neque,

ΚΕΦ. Δ.

Αἱ νήψασαι πέντε παρθένοι ἐκεῖναι, καὶ τὸ ξένον τῆς ἑαυτῶν φύσεως ἔλαιον ἐν τοῖς ἀγγείοις παραλαβοῦσαι τῆς καρδίας· τοῦτο δὲ ἡ χάρις τοῦ πνεύματος, ἐδυνήθησαν εἰς τὸν νυμφῶνα συνεισελθεῖν τῷ νυμφίῳ· αἱ ἄλλαι δὲ αἱ μωραὶ, αἱ κακαὶ, τῇ ἰδίᾳ φύσει ἐναπομείνασαι οὐκ ἔνηψαν, οὐδὲ κατὰ σπουδῆς ἔχον τὸ τοιόνδε τῆς ἀγαλλιάσεως ἔλαιον εἰς τὰς ἑαυτῶν καρδίας παραλαβεῖν· ἀλλ᾽ οἱονεὶ ἀφύπνω-

σαν, διʼ ἀμέλειάν τε καὶ χαυνότητα, καὶ δικαιοσύνης οἴησιν· παρʼ ὃ καὶ ὁ νυμφὼν αὐτῶν ἀπεκλείσθη τῆς βασιλείας· δῆλον γὰρ ὅτι δεσμῷ τινι τοῦ κόσμου καὶ φιλίᾳ γεγόνασι καθεκταὶ, καθότι τὴν ἀγάπην αὐτῶν ἐντελῆ καὶ τὸ ἔρωτα τῷ ἐπουρανίῳ μὴ παρέχον νυμφίῳ· καὶ γὰρ αἱ τὸ ξένον τῆς φύσεως τὸν ἁγιασμὸν τοῦτον ζητοῦσαι ψυχαὶ τοῦ πνεύματος, ὅλην τὴν ἀγάπην αὐτῶν διεζάπτουσαι τῷ Χριστῷ, ἐκεῖ περιπατοῦσιν, ἐκεῖ εὔχονται, ἐκεῖ λογίζονται, ἐκεῖ μελετῶσι, πάντων ἀποστᾶσαι τῶν ἄλλων· αἱ γὰρ πέντε τῆς ψυχῆς αἰσθήσεις, σύνεσις, γνῶσις, διάκρισις, ὑπομονὴ, ἔλεος, ἂν τὴν ἄνωθεν χάριν καὶ τὸν ἁγιασμὸν τοῦ πνεύματος δέξωνται, καὶ φρόνιμοι τῇ ἀληθείᾳ παρθένοι ἔσονται· εἰ δὲ τῇ φύσει ἑαυτῶν ἐγκαταλειφθεῖεν, μωραὶ τῷ ὄντι εὑρίσκονται, καὶ τέκνα οὖσαι τοῦ κόσμου διείκνυνται.

quod debuerant, studuerunt oleum istud lætitiæ in vasis cordis ipsarum præsumere: sed velut obdormierunt per incuriam torporemque ac confidentiam justitiæ propriæ. Ob quod Regni thalamus ipsis occlusus est. Manifestum enim erat, à partibus eas Mundi stare, illi defixas quodam quasi Amicitiæ juratæ vinculo: quæ fuit causa cur totum & integrum amorem suum sacrare Sponso in solidum nequiverint; quippe cujus partem ipsius Hosti jam addictam volentes haberent. Non ita sapientiores Animæ: quæ istud peregrinum à Naturâ ipsarum bonum, Sanctificationem, inquam, Spiritûs, quærere ubi est, accersere unde abundat, omni ope satagentes, totam suam Christo affixerunt Caritatem. ibi conversantur, ambulant, orant; ibi ratiocinantur, ibi meditantur, ab aliis omnibus aversæ. Nam quinque Animæ sensus, qui sunt: Prudentia, Intelligentia, Discretio, Patientia & Misericordia, si supernè gratiam & Sanctificationem Spiritûs acceperint, fient virgines verè prudentes: Si autem in naturæ ipsarum relinquantur angustiis, fatuæ verissimè reperiuntur: & merito accensentur Filiis hujus sæculi.

ΚΕΦ. Ε.

Ὥσπερ ξένην τῆς φύσεως ἡμῶν τὴν κακίαν οὖσαν, διὰ δὲ τῆς παρα-

CAPUT V.

Sicuti hospitem naturæ nostræ Malitiam, per primi trans-

gressionem Hominis in nos peregrè intrusam admisimus; novam quasi naturam in nobis morâ & usu longi temporis operatam: Ita per hospes quoque istud nostræ Naturæ bonum (donum dico Spiritûs cœlestis) ejicere vicissim atque exterminare convenit è nostrâ Naturâ pestem illam Epedimicam adventitiæ malitiæ, & hâc funditùs erasâ, in primævam nos restituere puritatem: magno, ni faciamus impendente nobis damno. Etenim nisi multâ oratione & fide, multâ attentione, & à rebus Mundi aversione, consequamur, ut polluta immixtione malitiæ Natura nostra, ab illâ Caritate, quæ Deus est, Sanctificetur, & ad finem usque sine offensâ permanserimus in plenâ & exactâ Divinorum ejus observatione mandatorum, Cœlestis Regni compotes esse non poterimus.

βάσεως τοῦ πρώτου παρεισδῦσαν ἀνθρώπου κατεδεξάμεθα, φύσιν ἡμῖν τῷ χρόνῳ καθάπερεὶ γενομένην· οὕτω δὴ καὶ διὰ τῆς ξένης ταύτης τῆς ἡμετέρας φύσεως, τῆς ἐπουρανίου φημὶ τοῦ πνεύματος δωρεᾶς, ἀποσκορακισθῆναι πάλιν αὐτὴν τῆς ἡμετέρας προσήκει φύσεως, καὶ εἰς τὴν ἀρχαίαν ἡμᾶς καθαρειότητα καταστῆναι· ὡς εἰ μὴ τοῦτο τῇ πολλῇ δεήσει καὶ πίστει, προσοχῇ, καὶ τῇ τοῦ κόσμου ἀποστροφῇ γένοιτο, καὶ ἡ μιανθεῖσα πρὸς τῆς κακίας φύσις ἡμῶν, ὑπὸ τῆς ἀγάπης ἐκείνης, ἥτις ὁ Κύριός ἐστιν, ἁγιασθείη, καὶ μέχρι τέλους ἀπταίστως διαμείνωμεν τῶν ἐντολῶν αὐτοῦ τῶν θείων μεταποιούμενοι, τῆς ἐπουρανίου βασιλείας ἐπιτυχεῖν οὐ δυνάμεθα.

CAPUT VI.

ΚΕΦ. Σ.

Subtilem quamdam abstrusioremque Doctrinam prout potero exponere hîc volo. In corpus quodammodo seipsum transformat immensus & incorporeus Dominus, per benignitatem infinitam; & minuit, parvumque, ut sic dicam, contrahens se facit, Ingens ille Su-

Λεπτόν τινα καὶ βαθὺν λόγον κατὰ τὰ ἐμοὶ δυνατά, διελθεῖν βούλομαι· σωματοποιεῖ ἑαυτὸν ὁ ἄπειρος καὶ ἀσώματος Κύριος διὰ χρηστότητα ἄπειρον, καὶ σμικρύνει, ὡς ἂν τις φαίη, ὁ μέγας καὶ ὑπερούσιος τοῦ δυνηθῆναι τοῖς νοεροῖς αὐτοῦ κτίσμασι συγκραθῆναι ψυχαῖς, ἁγίων φημὶ καὶ Ἀγγέλων, ἵνα δυναταὶ

γένοιτο

γένοιντο καὶ αὐτοὶ ζωῆς ἀθανάτου τῆς αὐτοῦ θεότητος μεταχεῖν· ἐπεὶ καὶ ἕκαστον κατὰ τὴν ἰδίαν φύσιν, σῶμά ἐστιν, ὁ Ἄγγελος, ἡ ψυχὴ, ὁ Δαίμων· κἂν γὰρ λεπτὰ εἶεν· ἀλλ' ὅμως ἐν ὑποστάσει, χαρακτῆρί τε, καὶ εἰκόνι κατὰ τὴν λεπτότητα τῆς ἑαυτοῦ φύσεως, σῶμα τυγχάνει λεπτόν· ὥσπερ ἐν ὑποστάσει τουτὶ τὸ σῶμα παχύ ἐστι, οὕτω καὶ ἡ ψυχὴ σῶμα οὖσα λεπτὸν περιέβαλε καὶ ἐνεδύσατο τὰ μέλη τοῦδε τοῦ σώματος· περιέβαλλε γὰρ τὸν ὀφθαλμὸν, δι' οὗπερ γοῦν καὶ ὁρᾷ· περιέβαλλε τὸ οὖς τοῦτο δὲ, δι' οὗ καὶ ἀκούει, τὴν χεῖρα, τὴν ῥῖνα, καὶ ἁπαξαπλῶς ὅλα τὰ μέλη τοῦ σώματος περιέβαλλε καὶ συνεκράθη ὅλως αὐτοῖς ἡ ψυχὴ, δι' οὗ καὶ πάντα ὅσα διὰ τοῦ βίου ἐνστρέφεται ἐπιτηδεύματα ἐξανύει· τὸν οὖν αὐτὸν τρόπον καὶ ἡ ἀλάλητός τε καὶ ἀπερινόητος τοῦ Χριστοῦ χρηστότης σμικρύνει καὶ σωματοποιεῖ ἑαυτὴν καὶ συγκεράννυται καὶ περιλαμβάνει τὰς πιστὰς καὶ φίλας αὐτοῦ ψυχὰς, καὶ εἰς ἓν αὐτοῖς πνεῦμα γίνεται κατὰ τὸ λόγιον Παύλου, ψυχὴ εἰς ψυχὴν, ὡς φάναι, καὶ ὑπόστασις γοῦν εἰς ὑπόστασιν· ὡς ἂν τῇ τοιᾷδε ψυχῇ ἐν τῇ αὐτοῦ θεότητι ζῆσαί τε ὑπάρξῃ, καὶ ἀθανάτου ζωῆς ἐφικέσθαι, καὶ ἡδονῆς ἀφθάρτου καὶ ἀῤῥήτου δόξης κατατρυφῆσαι.

persubstantialis, ut sic possit cum intellectualibus suis creaturis quasi coalescere. Animas Sanctorum dico, & Angelos, ut sichæ creaturæ possint vitæ immortalis, quâ ipsa ejus divinitas fruitur, participes effici. Quoniam horum quodque secundùm propriam naturam corpus est. corpus, inquam, sunt & Angelus, & Anima, & Dæmon. Etsi enim res tenues subtilesque sunt, tamen in Hypostasi, charactere, ac formâ propriis, secundùm tenuitatem naturæ ipsorum, corpus sunt exile: sicut in suâ hypostasi Corpus hoc nostrum, crassum corpus est. Itaque Anima corpus cum sit exilis tenuitatis, circumdat sibi atque induit membra hujus corporis· induit, inquam, oculum per quem videt, aurem, per quam audit; manum, nares, uno verbo, cuncta corporis membra circumponit sibi, cumque illis penitùs commiscetur ac concrescit; perque hæc cunctas functiones humanæ conversationis exequitur. Ad similem igitur modum ineffabilis & incomprehensibilis Christi bonitas contrahit ac parvam facit ac quasi concorporat seipsam; atque intimè subiens, seque immis-

vide hujus doctrinæ Censurā in Præfatione.

cens amplectitur fideles & amicas sibi Animas, & unus cum ipsis fit Spiritus, secundùm oraculum Pauli; Animâ in Animam, ut sic dicatur, & Hypostasi in Hypostasim quasi coalescente. Vt per hoc tali Animæ in ipsius divinitate vivere contingat, & ad immortalem vitam tandem pervenire, voluptateque incoruptâ, & ineffabili gloriâ gaudere.

CAPVT VII.

Tali Animæ Dominus, quoties quidem vult, fit ignis, consumens quidquid in ea pravum ac quasi sequioris materiæ inolevit, sicut ait Propheta: *Deus noster ignis consumens est.* Aliàs eidem Animæ fit ineffabilis quies: aliquando, Gaudium & Pax, circumfovens & undique amplectens ipsam. Tantum ne desimus nostris Partibus, quæ sunt, omni studio & conatu satagere ut illum amemus, illi gratificemur moribus probis. Hæc qui præstabit, ipsa experientiâ ipso vigentis sensûs claro visu perspiciet, inire se jam possessionem inenarrabilium bonorum, quæ oculus non vidit, auris non audivit, & in cor hominis non ascenderunt: per quæ Spiritus Domini fit nunc in requiem, nunc in exultationem, & voluptatem & vitam ejus Animæ quæ se illo dignam ostenderit. Incorporat enim

Deut. iv. 24. Heb. xij. 29.

ΚΕΦ. Ζ.

Τῇ τοιαύτῃ ψυχῇ, φησὶν, ὁ Κύριος, ὅτε μὲν βούλεται πῦρ γίνεται, πᾶν φαῦλον αὐτῆς καὶ ἐπείσακτον δαπανῶν· ὥσπερ καὶ ὁ προφήτης φησίν· ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον· ὅτε δὲ ἀνάπαυσις ἄῤῥητος· ὅτε δὲ χαρὰ καὶ εἰρήνη, περιθάλπων καὶ περιβάλλων αὐτήν. μόνον ἐν σπουδῇ θετέον φιλεῖν αὐτὸν καὶ χαρίζεσθαι τρόποις ἀγαθοῖς, καὶ αὐτῇ πείρᾳ, αὐτῇ αἰσθήσει ὄψεται ἀψάμενος ἀλαλήτων ἀγαθῶν ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅπου τὸ πνεῦμα Κυρίου γίνεται τοῦτο μὲν εἰς ἀνάπαυσιν, τοῦτο δ᾽ εἰς ἀγαλλίασιν καὶ τρυφὴν, καὶ ζωὴν τῆς ἀξίας ἐκείνου δεικνυμένης ψυχῆς· σωματοποιεῖ γὰρ ἑαυτὸν ὥσπερ εἰς βρῶσιν πνευματικήν· οὕτω καὶ εἰς ἔνδυμά τε καὶ κάλλη ἀνεκδιήγητα, ἵν᾽ εὐφροσύνης οὕτω πληρώσῃ πνευματικῆς· ἐγὼ γάρ εἰμι φησὶν ὁ ἄρτος τῆς ζωῆς· καὶ ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται αὐτῷ πηγὴ ὕδα-

τοῦ ἀλλομένου εἰς ζωὴν αἰώνιον. seipsum sicut in escam Spiritualem, ita & in Indumentum & ornatum inenarrabilis splendoris, ut sic eam Spirituali lætitiâ impleat. *Ego* enim, ait, *Panis vitæ sum.* Et, *qui biberit ex aquâ quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam.* Ioan. vj Ioan. iv

ΚΕΦ. Η.

Οὕτω φησὶ καὶ ἑκάστῳ τῶν ἱερέων καὶ ἁγίων ὁ Θεὸς ὤφθη, ὡς αὐτῷ θέλημα καὶ τῷ ὁρῶντι λυσιτελὲς ᾖ· οἷον, ἄλλως τῷ Ἀβραὰμ, καὶ ἄλλως τῷ Ἰσαὰκ, τῷ Ἰακὼβ ἄλλως, τῷ Νῶε, τῷ Δανιὴλ, τῷ Μωσεῖ, τῷ Δαβὶδ, καὶ ἑκάστῳ τῶν προφητῶν, σμικρύνων ἑαυτὸν καὶ σωματοποιῶν, ὥσπερ εἴρηται, μεταμορφούμενός τε καὶ ὀπτανόμενος τούτοις ἀγαπῶσιν αὐτὸν, οὐ καθόσον αὐτός ἐστιν ἀχώρητος γάρ, ἀλλὰ κατὰ τὴν ἐκείνων χώρησίν τε καὶ δύναμιν, διὰ τὴν πολλὴν καὶ ἀπερινόητον ἣν ἔχει εἰς αὐτοὺς ἀγάπην.

CAPVT VIII.

Ita cuique Sacerdotum & Sanctorum Deus apparuit, ut & ipsi fuit Deo placitum & videnti utile. Puta, aliter Abraamo se exhibuit, aliter Isaaco, aliter quoque Iacobo, Noë, Danieli, Mosi, Davidi, & unicuique Prophetarum, minuens & corporans seipsum, sicut dictum est. transfiguransque se, ac formâ visibili assumptâ intuendum se præbens diligentibus ipsum: non sicuti se in ipso habet, qualis-ve ac quantus est. fieri enim hoc nequit, cum sit incomprehensibilis: sed se attemperans angustiis & debilitati humanæ facultatis: tantulumque se faciens quantulum sufficit ad se adæquandum modicæ hujus capacitati, & infirmæ virtuti: ad quod tam benignè dispensandum nihil cum aliud inducit, quàm multa & incomprehensibilis quâ in ipsos flagrat caritas.

ΚΕΦ. Θ.

Ψυχὴ καταξιωθεῖσα τὴν ἐξ ὕψους ἐνδύσασθαι δύναμιν, καὶ τὸ πῦρ ἐκεῖνο τὸ θεῖον καὶ τὴν ἐπου-

CAP. IX.

Anima Dei dignatione consecuta, ut indueretur virtute ex alto, ignemque illum intra

se conciperet divinum: ac supercœlestis boni Spiritûs quasi concretam suis ipsius membris caritatem obtinens, omni profectò mundani amoris expeditur nexu, & vinculo malitiæ solvitur. Vt enim ferrum, plumbum, aurum, argentum conjecta in ignem solvuntur: ipsorumque inflexibilis antea & ad tactum resistens soliditas in fluidam mollitiem mutatur; ita ut quamdiù in igne perstant, fluxa, liquida, resoluta cernantur & sint, rigiditate prorsus depositâ priori, ob flammæ vim circumardentis: Sic & Anima quæ supercœlestem illum concepit ignem Spiritualis caritatis, omnem à se affectum mundani Spiritûs procul habet, vinculisque malitiæ cunctis exolvitur, & ex ipsâ se relaxat emollescens duritie peccati; parva omnia mundana reputans, & ut vilia contemnens. Hanc ajo equidem, vel si quosdam fratres habeat, & summo ipsam amore prosequentes, & vicissim ipsi carissimos: senseritque hunc cum iis nexum aliquid impedimẽti objicere exercitio suæ in Deum caritatis, repentè abrupturam istud vinculum: & amicitiæ non jam pror-

ρανίου τοῦ ἀγαθοῦ πνεύματος ἀγάπην συγκεκραμένην ἔχουσα τοῖς ἑαυτοῦ μέλεσι, πάσης κοσμικῆς ἀγάπης ἀτεχνῶς λύεται καὶ δεσμοῦ κακίας ἀνίεται· ὥσπερ γὰρ σίδηρος ἢ μόλυβδος, χρυσός τε καὶ ἄργυρος πυρὶ παραβληθεὶς λύεται, καὶ τῆς φύσεως αὐτοῦ τὸ ἀντιτυπὲν εἰς ἁπαλότητα μεταβάλλει, ἐν ὅσῳ τε τῷ πυρὶ ὁμιλεῖ, χαῦνός ἐστι καὶ ἔκλυτος, καὶ τὴν φυσικὴν ἀποβεβληκὼς ἀντιτυπίαν διὰ τὴν τοῦ πυρὸς δύναμιν· οὕτω καὶ ψυχὴ τὸ ἐπουράνιον ἐκεῖνο δεξαμένη πῦρ τῆς ἀγάπης τοῦ πνεύματος, πάσης προσπαθείας τοῦ κοσμικοῦ πνεύματος ἐκχωρεῖ, καὶ τῶν δεσμῶν ἀφίεται τῆς κακίας· ἐξ αὐτῆς τε τῆς φυσικῆς σκληρότητος μεταβάλλει τῆς ἁμαρτίας, σμικρὰ πάντα λογιζομένη καὶ ἀτιμάζουσα· φημὶ δ' ὅτι κἂν τινες αὐτῇ εἶεν ἀδελφοὶ κατ' ἄκραν φιλούμενοι, πρὸς δὲ ἐκείνην αὐτῇ παραποδίζοιεν τὴν ἀγάπην, καὶ αὐτοὺς ἂν ἀποστέρξοιεν ἡ τῷ τοιούτῳ ἔρωτι ἁλοῦσα ψυχή· εἰ γὰρ σαρκικῆς κοινωνίας ἀγάπη γάμου πατρός τε καὶ μητέρος καὶ ἀδελφῶν διΐστησι· κἂν τις φιλῇ τινα τούτων, ἐξ ἐπιπολῆς φιλεῖ· τὴν δὲ διάθεσιν ὅλην καὶ τὸν πόθον πρὸς τὴν συνῳκισμένην αὐτῷ τέτακεν, εἰ ἡ τῆς σαρκὸς φιλία οὕτω λύει πάσης ἄλλης τοῦ κόσμου φιλίας, πολλῷ γ' ἂν οἱ ἐκείνῳ τῷ ἀπαθεῖ πόθῳ βληθέν-

τες, ἐρασθῇ τινι τῶν τοῦ κόσμου καθεττόδι γένοιτο.

sùs innocenti, quià potiori amori damnosæ, nuncium extemplò remissuram. Tanta vis est ejus quo capta penitùs & intimè vulnerata est, Amoris in Deum, talis Anima. quod minùs mirabitur qui reputaverit rem in usu vitæ quotidie perspectam. Iuvenis & Puella connubium ineuntes, priores antiquas omnes cum Patre, Matre, Fratribus necessitudines eatenus abrumpunt; ut non parvo excessu prædominetur conjugalis recens Amor vetustioribus Genitorum & congenitorum affectibus: erga quos quæ superest caritas, comparatione ardoris quo in se multuò conjuges flagrant, nihil nisi remissa quædam & superficiaria benevolentia est. Quod si carnali tanta vis inest amori ad cuncta mundi rumpenda vincula, cœlesti accensum face saucij Dei desiderio cordis incendium segne forsitan erit ad funium quibus Mundo natura innectitur stupas omnes exurendas?

ΚΕΦ. Ι.

Χρηστὸς ὢν φιλάνθρωπος ὁ Θεός, μακροθύμως ἔχει, καὶ πολύς ἐστιν ἀναμένων τὴν ἑκάστου τῶν ἁμαρτανόντων μετάνοιαν· ἑορτὴν οὐρανίαν τιθέμενος τὴν τοῦ μεταμελομένου ἐπιστροφήν· χαρὰ γάρ φησιν, αὐτός, ἐν τῷ οὐρανῷ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· εἰ δέ τις τὴν χρηστότητα αὐτὴν καὶ μακροθυμίαν ὁρῶν, καὶ ὅτι μὴ τοῖς κατὰ μέρος ἁμαρτήμασιν ἐπεξέρχεται, τὴν μετάνοιαν, ὥσπερ ἔφημεν, ἐκδεχόμενος, καταλιγωρήσει τῆς ἐντολῆς, καὶ τὴν χρηστότητα· φεῦ· ἀφορμὴν χόιη πρὸς καταφρόνησιν, ἁμάρτημα ἐπὶ ἁμαρτήματι προστιθεὶς καὶ προσκώμματι πρόσκωμμα ἐποι-

CAPVT X.

Benignus & Hominum amans Deus, multâ patientiâ expectat cujusque peccantium pœnitentiam: Festum Cœleste instituens resipiscentis Conversionem: *Gaudium* enim, ait ipse, *est in Cælo super uno peccatore pænitentiam agente.* Si vero quis hàc animadversâ Dei bonitate & longanimitate, quâ temperat à singulis protinùs criminibus ulciscendis, locum dans, ut diximus, expectatæ pœnitentiæ, negligat præceptum, & Dei bonitatem, proh-nefas! in occasionem contemptûs vertat, peccata peccatis

Luc. xv. 10.

accumulans, & scandalo scandalum superstruens, desidiamque assuens desidiæ: Is sane præfinitam à Dei Iustitiâ peccatorum suorum impunè tolerandorum implet mensuram: & de cætero in tali deprehenditur lapsu ex quo non ampliùs illi continget in integrum restitui; quippe quasi sic contritis immani ruinâ membris, ut omnis invalidus conatus, omnis spes vana resurgendi sit. unde miser Diabolo in finem condonatus, irreparabiliter perit. Sic Sodomis accidit. expletâ enim & supercumulatâ mensurâ peccatorum, cum nec scintillam quidem, ut sic dicam, bonæ mentis ad spem pœnitentiæ ubi reliquam fecissent, igne divinæ ultionis instrumento sunt absumpti. Sic & in diebus Noë. quando ruentes effusis in nefas omne habenis Homines, nullo argumento dato verisimiliter confidendi fore, ut ad meliorem se quandoque frugem reciperent; tantam tamque gravem supra sese molem exaggerarunt delictorum, cujus pondere ipsam secum terram trahentes universam in exitialem diluvij abyssum deprimerentur. Haud dissimilia Ægyptiis eve-

κοδομῶν, ῥαθυμίᾳ τε συνάπτων τὴν ῥαθυμίαν, πληροῖ τοὺς τῶν ἁμαρτιῶν ὅρους, καὶ τοιούτῳ λοιπὸν ἁλίσκεται παραπτώματι ἐξ οὗ μηκέτι παρὸν αὐτῷ ἀνακτήσασθαι· ἀλλ᾽ ἐς μάτην τὴν συντριβὴν ὑποστὰς, καὶ τῷ πονηρῷ εἰς τέλος συγχωρηθεὶς, ἀπόλλυται· ὥσπερ ἐπὶ Σοδόμων γέγονεν. ἀποπλήσαντες γὰρ καὶ ὑπερβάντες τοὺς τῶν ἁμαρτιῶν ὅρους, ἐπεὶ μηδὲν, ὡς εἰπεῖν, ζώπυρον μετανοίας αὐτοῖς ὑπελείφθη, ἀνάλωμα πυρὸς ὑπὸ τῆς θείας δίκης γεγόνασιν· ὥσπερ ἐπὶ Νῶε· καὶ γὰρ ἀχαλίνοις χρώμενοι ταῖς ἐπὶ τὴν κακίαν ὁρμαῖς, καὶ μηδὲν εἶδος μετανοίας ἐπιδεικνύμενοι, τηλικοῦτον ἑαυτοῖς ἁμαρτιῶν ὄγκον ἐξεκορύφωσαν, ὡς πᾶσαν ὁμοῦ τὴν γῆν εἰς πᾶν διαφθαρῆναι· ὥσπερ τοῖς Αἰγυπτίοις πολλὰ πλημμελοῦσι καὶ εἰς τὸν τοῦ Θεοῦ λαὸν ἐξυβρίζουσι. χρηστὸς ἦν ἐκεῖνος οὐ πανωλεθρίᾳ παραδιδοὺς, ἀλλὰ διὰ τῶν κατὰ μέρος μαστίγων εἰς μετάνοιαν ἐπαγόμενος· ἐπεὶ δὲ ἐπιστρέφοντες ἀγαπητῶς, πάλιν πρὸς τὴν κακίαν ἀνέστρεφον, καὶ τὸ περαιτέρω εἴχοντο ἀπιστίας ἔσχατον δὲ καὶ τὸν λαὸν τοῦ Κυρίου ἀναγόμενον κατεδίωκον, ἀνάλωσεν αὐτοὺς ἡ θεία δίκη τὸ σύνολον καὶ ἀπώλεσεν· ὥσπερ τοῦ Ἰσραὴλ πολλὰ ἁμαρτάνοντος, καὶ τοὺς προφήτας ἀποκτείνοντος τοῦ Θεοῦ, τῆς συνήθους οὕτως μακροθυμίας ἐγίνετο· ἐπεὶ δὲ εἰς τοῦτο κακίας προέκοψαν ὡς μηδὲ τὸ δεσποτι-

καὶ δυσωπηθῆναι ἀξίωμα· ἀλλὰ κἀκείνῳ μιαιφόνους χεῖρας ἐπιβαλεῖν· καὶ αὐτοὶ καθάπαξ ἀπεβλήθησάν τε καὶ κατεβλήθησαν· καὶ ἤρθη ἀπ' αὐτῶν ἥ τε προφητεία, καὶ ἡ ἱερατεία καὶ ἡ λατρεία· καὶ ἐπιστεύθη ταῦτα τοῖς πιστεύουσιν ἔθνεσιν.

nere, multa contrà Deum impiè ausis, multâ grassatis in ejus Populum tyrannicæ contumeliæ licentiâ. Bonus quidem Dominus cladem extremam diù distulit, aliis super alias castigationibus paternis eos ad salutarem resipiscentiam invitans; non semper frustrà, nam novies agnovisse ac damnasse suum scelus visi sunt. at cum nullum finem facerent ejuratæ sæpiùs iniquitatis resumendæ, tandem Populum Domini ritè dimissum persequentes, ac retrahere conantes, extremo ipsos Ira divina exitio mactavit. Israëlitas pariter multa delinquentes, cædis quinetiam Prophetarum Dei reos, postquam solita sibi longanimitate diù tolerasset Dominus: ubi ad extremum vidit, eò ipsos immanis processisse amentiæ, ut neque divinam in misso ad eos Dei Filio revereri majestatem, manus ei cruentas intulerint, damnatos irrevocabiliter abjecit in omne tempus, dejecitque: ablata iis Prophetia, Sacerdotio, Religione; quas commisit credentibus in ipsum Populis Gentium.

ΚΕΦ. ΙΑ.

Προσδράμωμεν τῷ καλοῦντι Χριστῷ προθύμως, ἐκχέοντες ἐπ' αὐτὸν τὰς καρδίας· καὶ μὴ τὴν ἑαυτῶν ἐθελοκακοῦντες ἀπογινώσκωμεν σωτηρίαν· καὶ τοῦτο γὰρ τοῦ πονηροῦ σόφισμα, ὑπομνήσει προτέρων ἁμαρτιῶν ὁδοποιεῖν εἰς ἀπόγνωσιν· ἀλλ' ἡμῖν κατανοητέον· ὅτιπερ εἰ Κύριος ἐλθὼν τυφλῶν τε καὶ παραλύτων καὶ κωφῶν ἰατρὸς καὶ διορθώτης ἦν, νεκρούς τε ἤδη καταφθαρέντας ἀνέστη, πόσῳ μᾶλλον

CAP. XI.

Accurramus ad vocantem nos Christum alacriter, effundentes super ipsum corda: & ne nostram, remittenda contentione annitendi, desperemus salutem. Nam & hoc Diaboli sophisma est: recordatione priorum delictorum inducere in desperationem. At nobis ita cogitandum est: si Dominus cum in hunc Mundum advenit, Cœcorum, Paralyticorum, Surdo-

rum Medicus & restitutor in integrum fuit; si mortuos jam corruptos suscitavit: quantò magis cæcitatem mentis, Animæ pigritiam, incuriosi cordis curabit surditatem? quandoquidem, ut non alius ab ipso Corporis creator est: ita & Animam ipse condidit. Et, si erga fluxa & mortalia tam benignè ac clementer affectus est: quantò magis Immortali Animæ, morbo iniquitatis & ignorantiæ laboranti; deinde accedenti ad ipsum & oranti, benevolè curationem adhibebit?
Luc. xviij. 7. ejus enim vox hæc est: *Pater meus Cælestis, an non faciet vindictam clamantium ad se die ac nocte? ita dico vobis quia citò faciet vindictam eorum.* Et illa ejus quoque vox est:
Mat. vij. 7. *petite & dabitur vobis.* Et rursus:
Luc. xj. 8. *Si eo quod amicus ejus sit non dabit: propter improbitatem tamen ejus surget, & dabit illi quanto indiget.* Quibus verbis ad piam nos quandam petitionis impudentiam, & improbam importunamque in orando instantiam hortatur. Enimvero propter Peccatores ipse venit, ut eos ad se converteret. Tantum ne desimus nobis: & à falsis, quæ malè suggeruntur ab Inimico, recedentes præoccupationibus delusæ mentis, attentos nos Domino præstemus, eique vacemus uni. certi fore ut non nos ille despiciat: sed promptum se in tempore præbeat, subministrans, quo

τυφλότητα διανοίας, καὶ ψυχῆς πάρεσιν, καὶ ἀμελοῦς καρδίας ἰάσεται κώφωσιν· ἐπεὶ μηδὲ ἕτερος, ἀλλ' αὐτὸς ὁ τὸ σῶμα κτίσας, αὐτός ἐστι καὶ ὁ τὴν ψυχήν· καὶ εἰ πρὸς τὰ λυόμενα καὶ θνήσκοντα οὕτως εὐμενῶς καὶ ἱλέως ἔσχε· πόσῳ μᾶλλον τῇ ἀθανάτῳ ψυχῇ κακίας νόσῳ καὶ ἀγνοίας ἁλούσῃ, ἔπειτα προσερχομένῃ τούτῳ καὶ δεομένῃ, φιλανθρώπως θεραπευτικῶς χρήσεται; αὐτοῦ γὰρ φωνή. τό· ὁ πατήρ μου ὁ οὐράνιος οὐ μὴ ποιήσει ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας; ναὶ λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει· καὶ τό· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· καὶ αὖθις· κἂν διὰ τὸ φίλον εἶναι οὐ δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ, ἀναστὰς δώσει αὐτῷ ὅσου χρήζει, ἀναιδῆ καὶ παράμονον τὴν αἴτησιν προτρεπόμενος, ἐπείτοι καὶ διὰ τοὺς ἁμαρτωλοὺς ἦλθεν ἵνα ἐπιστρέψῃ πρὸς ἑαυτόν· μόνον ἡμεῖς τῶν κακῶν προλήψεων ἀποστάντες σχολάσωμεν τῷ Κυρίῳ· καὶ αὐτὸς οὐχ ὑπερορᾷ· ἀλλ' ἕτοιμος ἔσται, παρέχων τὴν παρ' αὐτοῦ βοήθειαν.

quo ab ipso egemus, auxilium.

ΚΕΦ. ΙΒ.

Ὥσπερ ἐπὶ τῇ νόσῳ καὶ ἀσθενείᾳ κατειλημμένων, ἐπειδὰν μηκέτι τὸ σῶμα δύναται τῆς τροφῆς καὶ πόσεως μεταχεῖν, εἰς ἀπόγνωσιν τοῦτο συνωθεῖ, καὶ θανάτου τεκμήριον γίνεται, θρῆνός τε ἐπὶ τούτῳ καὶ φίλους ἔχει καὶ τοὺς προσήκοντας· οὕτω δὴ καὶ Θεὸς καὶ Ἄγγελοι ψυχὰς τὰς μὴ τροφῇ τῇ ἐπουρανίῳ χρήσασθαι δυναμένας, διὰ πολλῆς λύπης καὶ θρήνων ποιοῦνται. εἰ τοίνυν ἐγένου τοῦ Θεοῦ θρόνος, ἐκεῖνον ἔχων ἐπικαθήμενον, εἰ γέγονεν ἡ ψυχή σου ὅλη πνευματικὸς ὀφθαλμὸς, ὅλη φῶς, εἰ ἐτράφη τὴν τροφὴν ἐκείνην τοῦ πνεύματος, εἰ ποτίζῃ τοῦ ζῶντος ὕδατος, καὶ τοῦ πνευματικοῦ οἴνου, τοῦ τὴν καρδίαν εὐφραίνοντος, εἰ ἐνδέδυσαι τῇ ψυχῇ τὰ τοῦ ἀῤῥήτου φωτὸς ἐνδύματα, εἰ πάντων τούτων ὁ ἔσω σου ἄνθρωπος εἰς πεῖραν ἀφῖκται καὶ πληροφορίαν, ἰδοὺ ζῇς τὴν αἰώνιον τέως ζωὴν ἐκ τοῦ παρόντος ἤδη τῷ Χριστῷ συναναπαυόμενος· εἰ δ᾽ οὔπω εἴληφας ταῦτα, οὐδ᾽ εἰς κτῆσιν τούτων ἐλήλυθας, κλαῖε θερμῶς, καὶ ὀδυρμοῖς κέχρησο· μήπω τοῦ τοιούτου πλούτου τετυχηκέναι· καὶ φροντίς ἔστω σοι καὶ δέησις διηνεκὴς περὶ τῆς πτωχείας σου· ἀλλ᾽ εἴθε κἂν τῆς ἑαυτοῦ πενίας αἴσθησις εἰσήει

CAPUT XII.

Sicut in morbo & infirmitate deprehensis, quando eò devenerint, ut jam corpus alimenta solita cibi & potûs percipere nequeat; desperatur de Ægroto, & pro certo prognostico mortis ejus id habetur. unde Amici & necessarij ipsius illum ex tunc velut jam defunctum lugent: Sic Deus & Angeli Animas escâ cœlesti pasci ampliùs non valentes, multo luctu ac lamentis prosequuntur. Si ergo factus sis Dei thronus, illum insidentem tibi habens: Si anima tua sit tota Spiritualis oculus, tota lux; si pastus es cibo illo Spirituali; si potatus aquâ viva, & Spirituali vino lætificante cor: si tuam induisti Animam vestibus ineffabilis luminis: si horum omnium interior tuus homo, experimento perspectam intimo, securamque in sinu gaudens se adeptum possessionem novit; vivis ecce vitâ ex nunc æternâ; ex præsenti jam tempore Christo conrequiescens. Sin nondum hæc percepisti: neque adhuc eò profecisti ut ista possideas: plora

vehementer, & lamentis prosequere tuam infelicitatem justis, quòd tales hauddum lucratus divitias sis. Cura vero te acris coquat, stimuletque ad assiduè petendum necessarium subsidium mendicitatis tuæ. Veruntamen, utinam saltem paupertatis suæ sensus Egenum istiusmodi subeat. utinam, inquam, talis intelligat, consciusque fateatur, quid ac quantum desit ipsi; & non, ut jam plenus ac satur opum divinarum, securè circumvagetur; nec quærens, nec pulsans: cum scriptum sit: *Quærens inveniet, & pulsanti aperietur.*

Mat. vij. 7. Luc. xi. 10.

τῷ κεκτημένῳ· καὶ μὴ ὡς τοῦ θείου πλούτου κατακορὴς ὢν, ἀφρόντις περιΐηθι· ὁ γὰρ ζητῶν, φησὶν, εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

CAPUT XIII.

Si compositum illud Oleum tantam habet vim, ut eo usos ad dignitatem provehat regiam: quantò magis qui mentem & interiorem hominem sanctificativo exultationis oleo uncti, & arrham boni accipientes Spiritûs, summum apicem Perfectionis inscendent: Regni, inquam, & adoptionis Christo Regi consortes & Collegæ facti; admissionum ad Patrem liberarum compotes, & ingrediendi thalamum ejus intimum, indéque pro arbitrio exeundi plenam habentes expeditamque potestatem. etsi enim aliquid adhuc desit quominus solidam istam ex asse creverint hereditatem; mole utique adhuc gravati carnis: tamen ob

ΚΕΦ. ΙΓ.

Εἰ τὸ σύνθετον ἐκεῖνο ἔλαιον τοσαύτην ἔχει τὴν δύναμιν, ὡς τοὺς χρησαμένους αὐτῷ λοιπὸν βασιλικῆς ἐπιβαίνειν δόξης· πόσῳ γε μᾶλλον οἱ τὸν νοῦν καὶ τὸν ἔσω ἄνθρωπον τῷ ἁγιαστικῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ χριόμενοι, καὶ τὸν ἀῤῥαβῶνα τοῦ ἀγαθοῦ λαμβάνοντες πνεύματος, τὴν μέτρον τῆς τελειότητος ἐπιβήσονται, τῆς Χριστοῦ φημὶ βασιλείας καὶ υἱοθεσίας αὐτῷ συμμύσται τῷ βασιλεῖ γενόμενοι, εἰσιέναι καὶ ἐξιέναι πρὸς τὸν πατέρα κατὰ τὸ δοκοῦν αὐτοῖς ἔχοντες; εἰ γὰρ καὶ μήπω τέλειον τὴν κληρονομίαν εἰλήφασι, τὸ βάρος ἔτι περικείμενοι τῆς σαρκὸς, ἀλλ᾽ οὖν διὰ τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἐν τῷ ἀσφαλεῖ αὐτοῖς κεῖται τὰ τῆς ἐλπίδων, καὶ ὅτι συμβασιλεύσουσι τῷ Χριστῷ, καὶ ἐν περιουσίᾳ καὶ πλεονασμῷ πνεύματος ἔσον-

ται, αὐτοῖς ἐνδιαζόμενον καὶ ὅτι τῇ σαρκὶ πελόντες ἔτι, εἰς πεῖραν ἦλθον τῆς δυνάμεως καὶ ἡδονῆς ἐκείνης· ἐπεὶ γὰρ τὸ ἐπιτεθὲν μετὰ τὴν παρακοὴν τοῖς ἀνθρώποις τοῦ Σατανᾶ κάλυμμα, ἡ χάρις ἐρχομένη διὰ καθάρσεως τοῦ ἔσω ἀνθρώπου καὶ τοῦ νοὸς, περιαιρεῖ τέλεον, καὶ πᾶν μίασμα καὶ λογισμὸν ἅπαντα ῥυπαρὸν τῆς ψυχῆς ἀποσκυβαλίζει, καθαρὰν αὐτὴν γενέσθαι βουλομένη καὶ τὴν ἰδίαν ἀπολαβοῦσαν φύσιν τηλαυγέσι καὶ ἀνεμποδίστοις τοῖς ὀφθαλμοῖς τὴν δόξαν τοῦ ἀληθινοῦ φωτὸς κατοπτεύειν· οἱ τοιοῦτοι δὲ αὐτόθεν ἤδη πρὸς ἐκεῖνον ἁρπάζονται τὸν αἰῶνα, καὶ τὰ ἐκεῖ κάλλη καὶ θαύματα καθορῶσι· καθάπερ γὰρ ὁ σωματικὸς ὀφθαλμὸς ἀπαθής τε καὶ ὑγιὴς ἔχων τὰς ἡλιακαῖς αὐγαῖς θαῤῥούντως ἐνατενίζει· οὕτω καὶ οὗτοι φωτεινῷ χρώμενοι καὶ διακεκαθαρμένῳ τῷ νῷ τὰς ἀδύτους αὐγὰς Κυρίου διὰ παντὸς κατοπτεύουσιν· οὐ τί τὸ μέτρον φησὶν οὐ ῥᾳδίως ἐφικτὸν τοῖς ἀνθρώποις· ἀλλὰ πόνων δεῖται συχνῶν, ἀγώνων τε καὶ ἱδρώτων μυρίων, πολλοὶ γάρ εἰσιν, οἷς καὶ ἡ χάρις σύνεστιν ἐνεργοῦσα. καὶ ἡ κακία πάλιν ἐνδομυχοῦσα ἀφέστηκεν οὐδαμῶς· ἀλλὰ τὰ δύο πνεύματα τό τε τοῦ φωτὸς καὶ τὸ τοῦ σκότους εἰς μίαν καὶ τὴν αὐτὴν ἐνεργεῖ καρδίαν· τὸ δὲ εἰρημένον· τίς γὰρ ἡ κοινωνία φωτὶ πρὸς σκότος·

jam acceptum arrabonem Spiritûs, certâ & securâ spe confidunt, & conregnaturos se tandem Christo; & jam nunc continuè fruituros abundanti consolatione, atque auxilio inhabitantis in ipsis Spiritûs: minimè dubitantes quin, quoad in carne vixerint, perstituri in possessione sint virtutis & voluptatis illius, cujus semel experiendo gustum acceperunt. quippe cum super impositum post inobedientiam Hominibus Satanæ operculum, visum impediens, gratia veniens per purgationem interioris hominis & mentis, auferat penitus, & omne inquinamentum, omnemque cogitationem ab Animâ everrat; volens illam esse mundam, & receptâ priori naturæ puritate, perspicacibus & omni liberis impedimento veri luminis Claritatem intueri oculis. Qui tales sunt jam ex hoc tempore ac vitæ statu in illud rapiuntur sæculum, & quæ ibi sunt pulcritudines ac miracula spectant. Quemdamodum enim corporeus oculus plenè sanus & vigens, solares audacter inspicit radios: sic & hi lucidâ mente, inaccessibiles splendores Domini semper intuentur:

ad quam tantæ mensuram pertingere felicitatis haud facile Hominibus est: sed laboribus ad hoc opus est plurimis, certaminibusque & sudoribus innumeris. Multi quippe sunt quibus Gratia inest quidem, operationes etiam quasdam suas exercens: cæterùm ita ut simul non absit ab iis malitia; ut cumque mussans ac latens. Itaque tunc ambo spiritûs, lucidus & tenebrosus, in uno & eodem operantur corde. quod autem dictum est: *Quæ enim so-*
II. Cor. vj. 14. *cietas Luci ad tenebras?* Et *Lux in tenebris lucet*: Similia-
Io. 4. que, divisim ac singillatim; non uniformiter, & in universum accipienda sunt. Nam in tantum quidam acquiescunt gratiæ Dei, in quantum continere seipsos possunt, & non vinci ab inhabitante in ipsis peccato. His contingit, dum constantiùs interdum attentiúsque orationi vacant, beatæ quietis quodam experimento perfundi: posteà tamen sordidarum cogitationum insultûs pati; quin & à subrepente furtim incessi peccato; præsente nihilominus ipsâ quoque gratiâ. Leviores igitur & minùs cauti, nec satis intelligentes, quatenus in ipsis polleat divina gratia, temerè credunt, planè jam exterminatum à se ac funditùs excisum esse peccatum. At discreti & verè prudentes rerum, non utique inficias iverint, se utcumque inhabitante dignatos gratiâ, haud tamen adhuc extra jactum stare hostilium telorum; nec à periculo abesse patiendi concussûs turpium & absurdarum cogitationum.

καὶ ὅτι τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ τὰ ἑξῆς, ἀναμερῶς ἐκληπτέον οὐδὲ μονοτρόπως τὰ πράγματα· καὶ γὰρ ἐς τοσοῦτόν τινες ἐναναπαύονται τῇ χάριτι τοῦ Θεοῦ ἐς ὅσον ἑαυτῶν δύνανται κρατεῖν, καὶ μὴ ἡττᾶσθαι τῆς ἐγκατοικούσης αὐτοῖς ἁμαρτίας· καὶ συμβαίνει νῦν εὐχῶν εὐπάρεδρον ἔχοντας καὶ ἀναπαῦσαι· ἔπειτα ὑπὸ ῥυπαρῶν λογισμῶν ἐνεργεῖσθαι καὶ ὑπὸ τῆς ἁμαρτίας κλέπτεσθαι, συνούσης δηλαδὴ καὶ αὐτῆς χάριτος· οἱ μὲν οὖν κοῦφοί τε καὶ οὔπω τῆς ἀκριβείας ἐπειλημμένοι πόσως αὐτοῖς τῆς θείας χάριτος ἐνεργούσης, ἔδοξαν εἰσάπαν ἀπελελύσθαι τῆς ἁμαρτίας· οἱ δὲ διάκρισίν τε καὶ νοῦν ἔχοντες, οὐκ ἂν ἀρνηθεῖεν ὅτι καὶ τῆς τοῦ Θεοῦ χάριτος ἐνοικούσης, οὐχὶ καὶ ὑπὸ αἰσχρῶν καὶ ἀτόπων διασείονται λογισμῶν.

ΚΕΦ. ΙΔ.

Εἴδομέν τινας ἐν τοῖς ἀδελφοῖς πολλάκις ὑπὸ πλουσίας τῆς χάριτος ἐπιλελαυκότας ὡς πέντε χρόνων καὶ ἓξ ἀπομαρανθῆναι τέλεον αὐτοῖς καὶ ἀποσβῆναι τὰ τῆς ἐπιθυμίας· εἶτα ὡς ἔδοξαν ὅρμου καὶ γαλήνης ἐπιλαβέσθαι, τότε καθάπερ ἐξ ἐνέδρας ἐπιφανεῖσα τούτοις ἡ κακία οὕτω δυσμενῶς ἐπέθετο καὶ ἀγρίως ὡς ἔκπληξιν αὐτοῖς ἐνθεῖναι καὶ ἀπορίαν· τεθάρρηκε τοίνυν οὐδεὶς τῶν ὀξὺ διὰ σύνεσιν βλεπόντων εἰπεῖν· ὅτι χάριτός μοι συνούσης, ἀπήλλαγμαι λοιπὸν καὶ τῆς ἁμαρτίας· ἐνεργεῖ γὰρ ὡς εἴρηται καὶ τὰ δύο ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ νῷ, κἂν οἱ εὔκολοί τε καὶ ἀμαθεῖς μικρόν τι ῥῆμα πνευματικὸν ἐσχηκότες, νενικήκαμεν ἤδη λέγουσιν· ἐμοὶ δὲ δοκεῖ τὰ πράγματα οὕτως ἔχειν· ὥσπερ ὅταν ἡλίου καθαρῶς ἐπιλάμποντος σκοτεινὸς ὁ ἀὴρ ἄφνω ἢ ὁμίχλη ἐπιδραμοῦσα ἐπισκοτίσῃ αὐτοῦ τῷ καλῷ φωτί· τούτῳ γὰρ παραπλησίως ἔχουσι τῷ λόγῳ οἱ τῆς μὲν τοῦ Θεοῦ χάριτος ἐπιτυχόντες· μήπω δὲ πρὸς ἀκρίβειαν διακαθαρθέντες, ἀλλ' ἐν τῷ βάθει ἔτι κατάχετοι ὄντες ὑπὸ τῆς ἁμαρτίας· ὥστε πολλῆς τῷ ὄντι τῆς διακρίσεως δεῖ πρὸς τὸ πεῖρα ταῦτα τῇ τελεωτάτῃ παραλαβεῖν.

CAPVT XIV.

Novimus quosdam ex Fratribus sæpe adeò uberi superfusione gratiæ ditatos, ut quinque ac sex totis annis nullum experiẽtes concupiscentiæ motum, causam sibi viderentur habere opinandi, emarcuisse ipsam penitùs & prorsùs extinctam esse. deinde tamen, dum tranquillitate quieti Portûs, quem tenere se putabant, securè fruerentur, apparentem rursùs, velut ex insidiis, absconsam tandiù Malitiam tam vehementibus ipsos & feris insultibus pulsasse, ut molestissimum iis æstum animi nec parvam consternationem incuteret. Nemo igitur eorum quibus acutiùs cernere in viâ Spiritûs uberius sacræ prudentiæ lumen dederit, ausit umquam dicere : ex quo præsentem in me sentio Gratiam, liberatus sum in omne tempus ab incursu omni ejecti jam à me procul & stirpitûs eruti peccati. Duo enim, ut dictum est illa, inter se adversa simul insunt in mente, & vicissim agunt Gratia & Concupiscentia. utcumque imprudentes & citò creduli ad

primum quod in se senserint ordientis suam texturam Gratiæ spirituale stamen, statim: *Vicimus & debellatum jam est*, exclamant. Mihi quidem contrà sic videntur hujus se generis res habere. Vt quando Soli purè fulgenti suboriens repentè vapor tenebrosus nubis caliginosæ densum velamen obduxerit: quo flos ejus serenæ lucis obtunditur. In eorum enim statum aptè quadrat hoc exemplum, qui Dei quidem assecuti gratiam; nondum tamen habent exactissimè purgatas Animas, quippe quarum in imis penetralibus stationem adhuc suam peccati Genitrix concupiscentia tuetur. Quare multâ profectò discretione opus est, ad experientiam rerum talium perfectissimam parandam.

CAPVT XV.

Vt sine Oculis, Linguâ, Auribus, Pedibus, videri, dici, audiri, ambulari nequit: sic pariter impossibile est, sine Deo, & ab ipso gratis dato operatorio auxilio, communicare Mysteriis divinis, nosse Dei sapientiam, & in Spiritu ditescere. Nam sapientes quidem Græcorum, in meditatione Doctrinarum exercentur, & ad invicem reciprocandas verborum rixas longo assiduoque prompti ac triti usu sunt. Servi autem Dei, etsi congressibus disputationum inexercitati sint; abundè tamen inspiratâ divinitûs Notitiâ, & Dei gratiâ, ad benè agendum instruuntur.

ΚΕΦ. ΙΕ.

Ὥσπερ ἀμήχανον ὀφθαλμῶν ἄνευ καὶ γλώττης, ὤτων τε καὶ ποδῶν βλέπειν ἢ λέγειν, ἀκούειν ἢ περιπατεῖν· οὕτως ἐπίσης ἀδύνατον ἄνευ τοῦ Θεοῦ καὶ τῆς ἐκεῖθεν διδομένης ἐνεργείας, μυστηρίων κοινωνῆσαι θείων, καὶ εἰδέναι Θεοῦ σοφίαν, ἢ κατὰ πνεῦμα πλουτεῖν· οἱ μὲν γὰρ σοφοὶ τῶν ἑλλήνων ἐν λόγοις ἀσκοῦνται, καὶ πρὸς λογομαχίας ἐκθύμως ἠσχόληνται· οἱ δὲ τοῦ Θεοῦ δοῦλοι, κἂν ἀνωμίλητοι λόγων ὦσιν· ἀλλ' οὖν θείᾳ γνώσει καὶ Θεοῦ χάριτι καταρτίζονται.

ΚΕΦ. ΙΖ.

Πείθομαι λέγων φησὶν ὅτι καὶ αὐτοῖς ἐκείνοις τοῖς Ἀποστόλοις τοῦ ἀγαθοῦ Παρακλήτου πεπληρωμένοις, οὐδὲ μὲν καθαρῶς ὑπῆρχε φροντίδων ἀνεῖσθαι· ἀλλὰ πρὸς τῇ ἀγαλλιάσει καὶ ἀῤῥήτῳ χαρᾷ, καὶ φόβος τις εἵπετο ἐξ αὐτῆς δήπου τῆς χάριτος, οὐχὶ τοῦ τῆς κακίας μέρους ἔχοντας ἀφορμάς· αὐτὴ γὰρ ἡ χάρις ἐν ἀσφαλεῖ τὰ ἐκείνων ἐτίθει τοῦ μηδὲ πρὸς μικρὸν ἐκβῆναι τοῦ καλῶς ἔχοντος· καὶ ὥσπερ τι παιδίον μικρᾷ ψηφίδι τεῖχος βεβληκὸς οὐδὲν ἤνυσεν· ἢ ὡς τι βέλος ἀσθενὲς θώρακα ἰσχυρὸν ἥκιστα ἂν βλάψῃ, οὕτω δὴ καὶ μέρος τι τῆς κακίας προσβάλλον αὐτοῖς ἄπρακτόν τε καὶ μάταιον ἀπηλέγχετο· ἅτε τῇ τοῦ Χριστοῦ δυνάμει καλῶς φραξαμένοις· πλὴν ἀλλὰ καὶ τελείοις οὖσιν ἡ τῆς αὐτεξουσίου ἐλευθερία παρῆν, καὶ οὐχ ὡς τινες ἀνοήτως φασίν, ὅτι μετὰ χάριν τὸ ἀπὸ τῶν φροντίδων λύσις καὶ ἄνεσις· ζητεῖ γὰρ ὁ Κύριος κἂν τοῖς τελείοις τὸ θέλημα τῆς ψυχῆς εἰς ὑπακοὴν τοῦ πνεύματος, ὡς συμβῆναι ταῦτα ἀλλήλοις· λέγει γὰρ ὁ Ἀπόστολος· τὸ πνεῦμα μὴ σβέννυτε.

CAPVT XVI.

Audeo dicere; ne ipsis quidem illis Sancto Paracleto repletis Apostolis, prorsùs omni liberam solicitudine adfuisse de salute, tamquam extra quamlibet aleam positâ, securitatem: sed illi quâ fruebantur, internæ lætitiæ, ineffabilique gaudio, submixtum nescio quid se inseruisse timoris; ab ipsâ videlicet, quâ redundabant, inspirati gratiâ; ex eoque nascentis, quòd sibi essent fibrarum malæ radicis nondum sibi stirpitùs evulsarum omnium conscij. Quamquam enim ipsa præsens Gratia in tuto res ipsorum ponens, haud sinebat vel ad minimum excedere à recto. Atque ut Puerulus parvo calculo in murum solidum conjecto nullam ei labem infert: aut jaculum hebes languidâ emissum manu, loricam impenetrabilis è ferro laminæ, cui forte impingitur, pulsat innoxiè: sic Pars illa reliqua malitiæ adhuc in iis residens, si quos succussus rebellionis attentaret, vanos omnes & irritos conatus ejus, constans ipsorum in officio perseverantia monstrabat: quòd illos nimirum Christi virtus tutissimè undecumque munivisset. Cæte-

rùm quantumlibet Perfectis, libertas tamen arbitrij in utrumvis versatilis inerat. Non enim verum est quod Quidam inscitè garriunt: post acceptam gratiam nihil adepto, nisi laxationem omnis solicitudinis, & supinam restare securitatem. Requirit enim Dominus in Perfectis quoque voluntatem Animæ sui dominam in obsequium Spiritûs electione sese liberâ flectentem: ut causarum duarum variè in unum tendentes actiones aptè invicem consentiant. Quò traxerim equidem dictum Apostoli: *Spiritum nolite extinguere.* 1. Thess. v. 19.

CAP. XVII. — ΚΕΦ. ΙΖ.

Simplici nomenclatione designare Res, obvium cuivis & factu pronum est. Facile quippe omni homini est dicere: hoc quod videt, (dicamus panem exempli gratia) ex frumento esse compactum: quo autem modo quâve arte tota ejus temperatio & coctio administrata fuerit, singillatim exponere, haud quivis queat. Soli enim id norunt quos experientes usus Panificij reddidit. Ad hunc igitur modum cuilibet in promptu est, de Apathiâ & Perfectione, vulgaria & in medium exposita differere: experientiâ verò capessere negotium, via Sola intelligendi rem est & comprehendendi totam methodum rationemque Perfectionis.

Τὸ μὲν ἁπλῷ λόγῳ παραδιδόναι τὰ πράγματα πρόχειρόν τι καὶ εὐπετές· ῥᾴδιον γὰρ τῷ παντὶ λέγειν τὸν ἄρτον τοῦτον, ὑποδείγματος δὲ λόγῳ φαμὲν, ἀπὸ σίτου γεγενῆσθαι· τὴν μέντοι κατὰ μέρος αὐτοῦ κατασκευὴν ἐκθέσθαι, οὐ τοῦ παντὸς γνῶναι· ἀλλὰ μόνων ἐστὶ τῶν πεπειραμένων· οὕτω γοῦν καὶ τὸ μὲν ἁπλῶς περὶ ἀπαθείας λέγειν τε καὶ τελειότητος εὐπετές τε καὶ εὐχερές· τὸ δὲ πείρᾳ τὸ πρᾶγμα παραλαβεῖν, τοῦτό ἐστι τῷ ἔργῳ καὶ ἀληθείᾳ καταλαβεῖν εἰς τὴν κατασκευὴν τῆς τελειότητος.

CAP. XVIII. — ΚΕΦ. ΙΗ.

Quicumque de Spirituali Doctrinâ, citrà gustûs conscien-

Ὅσοι λόγους πνευματικοὺς γεύσεώς τε καὶ πείρας ἐκτὸς φθέγγονται,

γονται, τούτους ἐοικέναι φημὶ ἀνθρώπῳ θέρους ὥρᾳ μεσημβρίας ἀκριβοῦς ἱσταμένης πεδίον ἐρημόν τι καὶ ἄνυδρον διιόντι· εἶτα ὑπὸ πολλῆς καὶ φλογώδους τῆς δίψης κατὰ νοῦν αὐτοῦ ὑπογράφοντι πηγήν τινα ψυχρὰν ἐγγὺς οὖσαν γλυκύ τε καὶ διειδὲς ὕδωρ ἔχουσαν, καὶ αὐτοῦ οὐδενὸς εἴργοντος ἀπολαύοντι κατὰ κόρον· ἢ ἀνθρώπῳ μέλιτος μὲν οὐδὲ βραχὺ γευσαμένῳ· ἑτέροις δὲ ὅπως ἔχει γλυκύτητος πειρωμένῳ διασαφεῖν· τοιοῦτοι γὰρ ἀληθῶς ὅσοι μὴ ἔργῳ καὶ πληροφορίᾳ τῇ ἑαυτῶν τὰ περὶ τελειότητός τε καὶ ἁγιασμοῦ καὶ ἀπαθείας παραλαβόντες ἑτέροις εἰσηγεῖσθαι θέλονται· καὶ γὰρ εἰ δώῃ Θεὸς μικράν τινα τῶν παρ' αὐτοῖς λεγομένων λαβεῖν αἴσθησιν, εἴσονται πάντως ὅτι μὴ κατὰ τὴν ἐκείνων εἰσήγησιν· ἀλλὰ πολλῷ τῷ διαφέροντι τὰ τῆς ἀληθείας ἔχει καὶ τῶν πραγμάτων·

tiam proprij, experientiæque tractatarum rerum intimam memoriam, disputant: Eos ajo ego esse similes Homini, per æstatem, vapore Solis meridiani cuncta latè torrente, per campum desertum aridumque transeunti: atque in sitis sensu, quâ flagrantissimâ torquetur, animo sibi ad vanum solatium fingenti fontem gelidum proximè fluentis aquæ dulcis & crystallinæ, quâ & se imaginatur, ad satietatem, nullo prohibente prolui. Eundem Homini comparo qui cum mel omninò numquam in vitâ gustarit: tamen aliis declarare longâ & accuratâ dictione conatur, quanta qualisque sit mellis suavitas. Tales profectò sunt quicumque usu & intimo in seipsis experimento eorum quæ ad Perfectionem, sanctificationem & perturbationum plenam abolitionem pertinent, non ante præparati, Alios de his docere differendo volunt. Etenim si dederit his Deus, ut vel exiguum aliquem horum, quæ inexperti prædicant, sensum percipiant, tunc demùm clarè intelligent, quanto intervallo veritas ipsa rerum distet ab isto quod ipsi excogitando sibi formaverunt, ejus simulacro.

ΚΕΦ. ΙΘ.

Τὸ μὲν εὐαγγέλιον, φησὶν, ἀποφαντικῶς διακελεύεται πάντα

CAPVT XIX.

Evangelium quidem disertè præcipit omni Homini, hoc non

agere; hoc agere: si velit amicus fieri amantis Homines Regis. Mat. v. 39. Ait enim: *Ne irascaris, ne concupiscas: si quis te percusserit in dexteram maxillam præbe illi & alteram.* At Apostolus distinctè ac minutatim exequens partes singulas rerum præceptarũ; quâ sensim ratione administrari oporteat, Purgationis opus, cum patientiâ nimirum & longanimitate, sigillatim edocet. primùm quidem lacte pascens, ut incapaces cibi solidioris, infantes; deinde promovens in augmentum; postremò ad Perfectionem perducens. Hanc Evangelicæ Apostolicæque differentiam doctrinæ hoc exemplum declarat. Evangelium quidem perfectam ex lanâ exhiberi tunicam mandat. Apostolus autem distinctè insuper tradit, quâ methodo pectendum, ducendum in fila rude vellus sit; quâ inde texendus arte pannus, quo scindendus & suendus modo, ut apta ex his tandem & speciosa existat vestis.

ἄνθρωπον· τὸ δὲ μὴ ποιεῖν, ἢ ποιεῖν, ὥστε φίλον γενέσθαι τῷ φιλανθρώπῳ βασιλεῖ· μὴ ὀργισθῇς γάρ φησι, μὴ ἐπιθυμήσῃς· ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα στρέψον αὐτῷ καὶ τὴν ἄλλην· ὁ δὲ Ἀπόστολος κατὰ πόδα τῶν τεταγμένων ἐλθών, καὶ ὅπως χρὴ κατὰ μικρὸν γενέσθαι τὸ τῆς καθάρσεως ἔργον, ὅτι μετ' ὑπομονῆς καὶ μακροθυμίας, ἐκπαιδεύει· πρῶτον μὲν γαλακτοτροφῶν ὡς νηπίους· εἶτα φέρων εἰς αὔξησιν; καὶ αὖθις εἰς τελειότητα· οἷον, ὡς ἐν παραδείγματι φάναι, τὸ μὲν εὐαγγέλιον· τέλειος ἐξ ἐρίου εἶπε γενέσθω χιτών· ὁ δὲ Ἀπόστολος, καὶ πῶς δεῖ ξαίνεσθαι τοῦτο, ὑφαίνεσθαί τε καὶ κατασκευάζεσθαι τὸν χιτῶνα καλῶς διεσάφησεν.

CAPUT XX.

Sunt quidam à Fornicatione quidem apparente, à Furto, ab Avaritiâ, similibusque abstinentes delictis: ac propterea seipsos accensentes Sanctis: à cujus tamen veritate appellationis longo absunt intervallo. Habitat enim in mentę ac sen-

ΚΕΦ. Κ.

Εἰσί τινες πορνείας μὲν τῆς φαινομένης καὶ κλοπῆς καὶ πλεονεξίας καὶ τῶν ὁμοίων ἀπεχόμενοι μοχθηρῶν· καὶ κατὰ τοῦτο ἑαυτοὺς ἐγκρίνοντες τοῖς ἁγίοις· πολλοῦ δὲ δέουσι τῶν πραγμάτων γίνεσθαι καὶ τῆς ἀληθείας· οἰκουρεῖ γὰρ ἐν τῷ νῷ τούτων ἡ κακία πολλάκις, ζῇ τε καὶ ἕρπει,

καὶ ὕπω ἀπολιπῶσα τούτους ὤχετο· ἅγιος δ᾽ ἐστιν ὁ ἀγιασθεὶς καὶ τὸν ἔσω τέλεον διακαθαρθεὶς ἄνθρωπον· καὶ γάρ τις τῶν ἀδελφῶν ἀδελφοῖς τισι συνευχόμενος πρὸς τῆς θείας ἐξηχμαλωτίσθη δυνάμεως, καὶ ἁρπαγεὶς εἶδε τὴν ἄνω πόλιν Ἱερουσαλὴμ καὶ τὰς ἐκεῖ φωτεινὰς οἰκίας, καὶ φῶς ἄπειρον καὶ ἀπόῤῥητον· ἤκουσέ τε φωνῆς λεγούσης, τοῦτον εἶναι τὸν τόπον τῆς τῶν δικαίων ἀναπαύσεως· εἶτα φυσιωθεὶς καὶ μεγάλα περὶ ἑαυτοῦ οἰηθεὶς βάθει κατέπεσεν ἁμαρτίας, καὶ πολλοῖς ὕστερον ἑάλω κακοῖς· εἰ οὖν οὗτος οὕτως πῶς γε τῷ τυχόντι δυνατὸν λέγειν· ὡς ἐπεὶ νηστεύω, καὶ ξενιτεύω, ψωμίζω τε τὰ ὑπάρχοντα, καὶ ἀπὸ τῶν εἰρημένων ἐφυλαξάμην κακῶν, οὐδέν ἐστι τὸ λειπόμενον ἅγιον κἀμὲ εἶναι· καὶ γὰρ οὐχ ἡ τῶν φαινομένων κακῶν ἀποχὴ τελείωσίς ἐστιν, ὥσπερ εἴρηται· ἀλλ᾽ ἡ κατὰ διάνοιαν κάθαρσις, αὕτη τελεία.

ſibus ipſorum Malitia ſæpe; vivit & ſerpit, necdum iis planè relictis foràs profecta. Sanctus porrò is demum eſt qui verè intimè, integreque Sanctificatus eſt interiorem ſuum perfectè purgatū habens hominem. Etenim aliquis Fratrum, unà ſimul cum aliis quibuſdam Fratribus orans, divinâ captivatus vi, & raptus, vidit ſupernam Civitatem Ieruſalem, & lucidas, quæ illic ſunt, domos, & lucem immenſam atque ineffabilem. Audiit quoque vocem dicentem: hunc eſſe locum Iuſtorum requiei: deinde inflatus & magna de ſe præſumens, in grave incidit peccatum, & multis conſequenter implicatus eſt malis. Si ergo hic tam fœdè lapſus eſt, Poterit ne è vulgo aliquis Deo ſervientium dicere: quandoquidem jejuno, & peregrè dego, & facultates meas diſpertior; prætereaque à ſuprà memoratis cuſtodivi me malis, nihil profectò deeſt quo minus Ego quoque Sanctus ſim? Etenim non, ab apparentibus malis abſtinentia, Perfectio eſt, ut dixi: ſed mentis Purgatio; eaque perfecta.

ΚΕΦ. ΚΑ.

CAPVT XXI.

Εἴσελθε φησιν ὁ ταῦτα ὑπολαμβάνων διὰ τῆς τῶν λογισμῶν σου ἐπιστασίας πρὸς τὴν αἰχμαλω-

Hæc qui reputas, ingredere, ajo, per attentam in cogitationes tuas vigiliam, penitùs intra

captivam tuam & ſervam peccati mentem: & vide illum adhuc infra cogitationes ipſas, in imis, quæ dicuntur, Animæ penetralibus tuæ nidulantem Anguem; interficientemque te: ſuo inficiendis veneno primariis Animæ tuæ membris. Abyſſus enim verè inſcrutabilis cor eſt. Si ergo hunc occidiſti; ſi quantum erat in te iniquitatis, totum expurgaſti; & peccatum ejeciſti, Gloriare in Deo de Puritate. Sin minùs, humiliatus, uti Egenus & peccator adhuc, accede ad Chriſtum, pro occultis tuis, orans. Apparet enim univerſam tam veteris quàm novi Fœderis Scripturam ad puritatem præcipuè referri. quippe cum omni Homini tam Iudæo, quàm Græco, in primis expetibilis Puritas ſit: quamquam eadem cunctis haud adeò adeptu facilis, & votis contigua. pertingere autem ad iſtam cordis munditiam, ajo neminem aliter, quam per Ieſum ſolum poſſe. Ipſe enim ſubſtantialis verè veritas eſt; abſque quali veritate impoſſibile eſt, aut noſſe veritatem, aut ſalutem aſſequi.

τόν σου καὶ δοῦλον τῆς ἁμαρτίας νοῦν· καὶ ἴδε τὸν ἔτι τούτου κατώτερον καὶ βαθύτερον σοῦ τῶν λογισμῶν τὸν εἰς τὰ λεγόμενα τῆς ψυχῆς σου ταμιεῖα ἐμφωλεύοντα ὄφιν καὶ ἀναιροῦντά σε διὰ τῶν καιριωτάτων τῆς ψυχῆς σου μελῶν· ἄβυσσος γὰρ ἀκατάληπτος ἀληθῶς ἡ καρδία· εἰ οὖν τοῦτον ἀνεῖλες, εἰ τὴν ἀνομίαν τὴν ἐν σοὶ πᾶσαν ἐξεκάθηρας, καὶ τὴν ἁμαρτίαν ἐκβέβληκας, καύχησαι περὶ καθαρότητος, ἐν Θεῷ· εἰ δ' οὖν ἀλλὰ ταπεινωθεὶς, ὡς ἐνδεής τε καὶ ἁμαρτωλὸς ἔτι, πρόσελθε ὑπὲρ τῶν κρυφίων σου δεόμενος τοῦ Χριστοῦ· πᾶσα γὰρ παλαιὰ καὶ νέα γραφὴ περὶ καθαρότητος φαίνεται διαλεγομένη, καὶ παντὶ ἀνθρώπῳ καὶ Ἰουδαίῳ καὶ Ἕλληνι ἐπέραστα τὰ τῆς καθαρότητος, κἂν μὴ πᾶσιν ἀνύσιμα· γενέσθαι δὲ ταύτην τὴν τῆς καρδίας φημὶ καθαρότητα, οὐ δυνατὸν ἄλλως ὅτι μὴ διὰ Ἰησοῦ μόνου· αὐτὸς γὰρ ἡ ἐνυπόστατός ἐστι καὶ ὄντως ἀλήθεια· καὶ δίχα ταύτης τῆς ἀληθείας ἀμήχανον ἢ ἀλήθειαν γνῶναι, ἢ σωτηρίας ἐπιτυχεῖν.

OPUSCULUM VII.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Περὶ ἀγάπης· Λόγος.

ΚΕΦΑΛΑΙΟΝ Α.

Ὥσπερ, ἐν τοῖς φαινομένοις τύποις τῷ ἐκτὸς ἀπετάξω ἀνθρώπῳ, ἐψώμισάς τε τὰ ὄντα καὶ διεσκόρπισας, οὕτως ἀποτάξασθαί σε τῶν ἠθῶν περιλήψεσι χρή, καὶ εἰ σοφίαν ἔμαθες σαρκικὴν ἢ γνῶσιν πραγμάτων, ἀρνήσαι ταύτην· εἰ δικαιώμασι πέποιθας σαρκικοῖς, ἀπόστηθι τούτων, ταπεινῶν σεαυτὸν καὶ κατασμικρύνων· οὕτω γὰρ καὶ δυνήσῃ τῇ τοῦ κηρύγματος μωρίᾳ μαθητευθῆναι· ἐν ταύτῃ δὲ τὴν ἀληθινὴν εὑρήσεις σοφίαν, οὐκ ἐν λόγοις κεκομψευμέ-

S. P. N.

MACARII MAGNI

De Caritate. Liber.

CAPVT I.

SICUT in hisce apparentibus exteriori homini renunciasti, erogasti & distribuisti res tuas: sic & renunciare te præoccupationibus pravis circa res Morum oportet: Et, si sapientiam didicisti carnalem, aut cognitionem es usu adeptus negotiorum Mundi, & hanc abdica. Si justificationibus carnalibus, confidis, ab his quoque absiste, humilians te ipsum & in parvum

1.Cor.1.21. contrahens. Sic enim *stultitiæ Prædicationis* Paulo memoratæ percipere Doctrinam poteris. In hâc autem veram invenies sapientiam; non in sermonibus exquisitè ornatis, sed in Crucis virtute. His actuatus & quasi elaboratus, transcribêris in sortem & accensebere albo eorum qui dignati sunt acquisitio-
1.Cor.1.18. ne ac possessione virtutis Crucis. *Crux enim Christi*, ait Paulus, *Iudæis quidem scandalum; Gentibus autem stultitia. Nobis vero qui salvamur, Dei virtus & Dei sapientia.*

τοις, ἀλλ' ἐν τῇ τοῦ σταυροῦ δυνάμει· τοῦτοις ἐνεργούμενος ἐναποστάσει τοῖς καταξιωθεῖσι ταύτην κτήσασθαι· ὁ γὰρ σταυρός, φησὶν ὁ Παῦλος, τοῦ Χριστοῦ τοῖς μὲν Ἰουδαίοις σκάνδαλον, Ἕλλησι δὲ μωρία· ἡμῖν δὲ τοῖς σωζομένοις Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.

CAPUT II.

Etiamsi acceperis gustum è Cœlo; etsi particeps sis factus sapientiæ illius, & requiem habueris in Animâ tuâ; neque sic extollaris: neque quasi jam perveneris, & omnem comprehenderis veritatem, arroganti apud te confidentiâ in-
1. Cor. 8. iv. tumesce. Ne & tu audias: *Iam saturati estis: jam divites facti estis. sine nobis regnatis: & utinam regnetis, ut & nos vobiscum regnemus.* Sed etsi gustaveris: te tamquam nondum Christianismum attigeris, esse reputa. Neque hoc superficiariè præ te feras velim: sed ut penitùs insitum semper, ac intimè sancitum profundâ persuasione mentis ex vero conscientiæ sensu profitearis.

ΚΕΦ. Β.

Εἰ καὶ ἔλαβες φησὶ γεῦσιν ἐξ οὐρανοῦ, εἰ καὶ μετέσχες ἐκείνης τῆς σοφίας, καὶ ἀνάπαυσιν ἔχεις ἐν τῇ ψυχῇ σου, μηδ' οὕτως ἐπαίρου, καὶ μὴ ὡς ἐφθακὼς ἤδη καὶ πᾶσαν καταλαβὼν τὴν ἀλήθειαν τεθαῤῥηκὼς ἔσο· μὴ καὶ σὺ ἀκούσῃς· ἤδη κεκορεσμένοι ἐστέ, ἤδη πεπλουτήκατε· χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν· ἀλλὰ καὶ γευσάμενος, ὡς μήπω τοῦ χριστιανισμοῦ ἁψάμενος εἶναι νόμιζε· καὶ μὴ ἐξ ἐπιπολῆς ἔστω τοῦτό σοι, ἀλλ' ὡς ἐμπεφυτευμένον διαπαντὸς καὶ κεκυρωμένον τῇ διανοίᾳ σου.

ΚΕΦ. Γ.

Ὥσπερ τις φιλόπλουτος, κἂν μυρία συναγαγὼν χρήματα, οὐχ ὑπὸ διακορῆς γίνεται, μᾶλλον δὲ ἐπιθυμίας· ἢ καθάπερ τις πόματος ἡδυτάτου πρὸ τοῦ κόρου διαρπασθεὶς τὴν δίψαν μᾶλλον ἐξέκαυσεν· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ γεῦσις παντὸς οἶδε κόρου καταχαυχᾶσθαι· ἀλλὰ καὶ ὅσῳ πλουτεῖ τις τοῦτον τὸν πλοῦτον, πένητα ἑαυτὸν εἶναι κατανοεῖ· οἱ τοιοῦτοι χριστιανοὶ οὐκ ἔχουσι παρ' ἑαυτοῖς τιμίαν τὴν ἰδίαν ψυχήν· ἀλλ' ὥς τινες τῶν ἀκριβῶς ἐξουδενωμένων παρὰ Θεῷ διάκεινται· δούλους τε πάντων ἀνθρώπων ἑαυτοὺς εἶναι λογίζονται· ἐπὶ ταύτῃ πολλὰ χαίρει Κύριος καὶ ἐπαναπαύεται τῇ ψυχῇ, διὰ τὴν ἑαυτῆς ταπείνωσιν· εἰ οὖν καὶ ἔχει τίς τι, μὴ παρὰ τοῦτο οἰηθῇ εἶναί τι ἢ ἔχειν· ἡ γὰρ οἴησις βδέλυγμα Κυρίῳ· καὶ αὕτη ἀπ' ἀρχῆς ἐκβέβληκε τοῦ παραδείσου τὸν ἄνθρωπον, ἀκούσαντα ὅτι ὡς Θεοὶ ἔσεσθε, καὶ τῇ ἐλπίδι ταύτῃ τῇ ματαίᾳ ἐπιθαρρήσαντα· κατάμαθε πῶς ὁ Θεός σου καὶ βασιλεύς, ἀλλὰ καὶ Θεοῦ υἱὸς, ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· πῶς ἐπτώχευσε, πῶς τοῖς ἀτίμοις συνελογίσθη, πῶς πέπονθεν· εἰ γὰρ καὶ ὁ Θεὸς οὗτος, ὁ αἵματι καὶ σαρκὶ συνεστηκὼς ἄνθρωπος, ὁ γῆ καὶ σποδὸς, οἴμοι, καὶ τὸ παρά-

CAP. III.

Vt Avarus quiſpiam. etſi pecuniam congeſſerit innumerabilem, haud contentus eſt tamen, aut finem deſiderandi plura facit: Aut qui à guſtatu potionis dulciſſimæ ante ſatietatem depulſus eſt, ſitim magis accendit: ſic acceptus de Deo guſtus, omni ſolet eſſe ſatietatis faſtidio ſuperior. imo quanto quis magis iſtiuſmodi divitiis abundat, tantò perſuaſum habet certiùs pauperem eſſe ſe. Tales Chriſtiani non habent in æſtimatione ſuâ pretioſam Animam propriam: ſed velut quidam homunculi prorſus nihili, ſic ſe coràm Deo dejectos tenent: ſervoſque omnium Hominum ſeipſos reputant. De tali valde gaudet Deus, & in eâ ſuaviter requieſcit Animâ, ejus humilitate delectatus ſi ergo aliquid ſe habere quiſpiam ſentit, ne propterea infletur, exiſtimans, eſſe aut habere ſe aliquid. Nam arrogans confidentia abominatio eſt Domino. & hæc à principio ejecit Paradiſo Hominem: is enim cum audiſſet: *Eritis ſicut dy* Gen iii. concepit illam inſanam ſpem,

& ex eâ in dementem istam; ob quam periit, intumuit sui fiduciam. Considera quomodo Deus tuus & Rex tuus, sed
Philipp. ij. 3. & Dei filius, *Seipsum exinanivit formam servi accipiens.* Quomodo pauper factus est, quomodo cum inhonoratis est reputatus, quomodo passus est. Si autem ille cum Deus esset talia ultro subiit: Tu homuncio concretus carne & sanguine; Tu terra & cinis, heu me! Tu nullam ex te boni particulam omninò habens; sed totus quantus es ex immunditiâ conflatus, altum sapis, gloriaris & te ostentas? Quin tu, si quidem sapis, ex eo ipso quod accepisti ansam deprimendi te potiùs capies: humiliter confitens: meum hoc non est; ab alio accepi: & cum ipsi videbitur prorsùs auferet à me id quod dedit. Sic omne quidem bonum Domino, malum autem tuæ ipsius adscribe infirmitati.

παν ἀγαθοῦ μὴ μεταλαβών, ἀλλ' ἀκαθαρσία ὤν, μέγα φρονεῖς καὶ ἀλαζονεύῃ; σὺ δὲ ἀλλ' εἴπερ εἶ συνετός, καὶ ἀπ' αὐτοῦ τούτου μᾶλλον οὗπερ εἴληφας ἐκ Θεοῦ, οὐκ ἐμὸν λέγε τοῦτο τὸ χρῆμα· παρ' ἑτέρου τοῦτο ἔχω λαβών· καὶ δόξαν αὐτοῦ, πάντως ἀφαιρεῖται τὸ δοθὲν ἀπ' ἐμοῦ· οὕτω μὲν πᾶν ἀγαθὸν τῷ Κυρίῳ· τὸ δὲ κακὸν τῇ σεαυτοῦ ἐπίγραφε ἀσθενείᾳ.

CAP. IV.

II. Cor. iv. 7. Quem ait Apostolus *Thesaurum se habere in vasis fictilibus*, sanctificativam existima Spiritûs virtutem, quam adhuc in carne superstes meruit accipere. Etenim alibi rursus idem
I. Cor. j. 30. dicit: *Qui factus est nobis sapientia à Deo, & justitia & sanctificatio, & redemptio.* Qui igitur invenit & apud se habet cœlestem hunc Spiritûs Thesaurum, omnem justitiam mandatorum, omnem operationem

ΚΕΦ. Δ.

Ὅνπερ φησὶν ὁ Ἀπόστολος θησαυρὸν ἐν ὀστρακίνοις ἔχειν τοῖς σκεύεσι, τὴν ἁγιαστικὴν οἶμαι τοῦ πνεύματος δύναμιν, ἣν ἔτι τῇ σαρκὶ περιὼν ἄξιος κατέστη λαβεῖν· καὶ γάρ που πάλιν φησὶν ὁ αὐτός· ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις· ὁ γοῦν εὑρὼν καὶ παρ' ἑαυτῷ ἔχων τὸν ἐπουράνιον τοῦτον τοῦ πνεύματος θησαυρὸν, πᾶσαν δικαιοσύνην ἐντολῶν, πᾶσαν τὴν τῶν ἐντολῶν ἐργασίαν οὐ καθαρῶς μόνον καὶ ἀμωμήτως,

μήτως, ἀλλὰ καὶ πόνων ἐκτὸς καὶ καμάτων ἀνύειν δύναται· ὅπερ ἀπορῆτον πρότερον πολλοῦ γε καὶ ἔδει ποιεῖν· καὶ γὰρ οὐδὲ δύναταί τις κἂν βούληται τὸν καρπὸν τοῦ πνεύματος ἀληθινῶς γεωργῆσαι πρὸ τῆς τοῦ ἀγαθοῦ πνεύματος μεταλήψεως· πλὴν ἀλλὰ καὶ βιαζέσθω πᾶς τις ἑαυτὸν ἑκάστοτε δι᾽ ὑπομονῆς τρέχων καὶ πίστεως, καὶ θερμῶς τοῦ Χριστοῦ δεέσθω, ὥστε τοῦ θησαυροῦ τοῦδε τοῦ ἐπουρανίου ἐπιτυχεῖν· καὶ τότε πᾶσαν δικαιοσύνην ἐν αὐτῷ τε καὶ δι᾽ αὐτοῦ ποιεῖν δύναται καθαρῶς καὶ τελείως, ἀμόχθως τέ φημι καὶ ἀταλαιπώρως.

præscriptam, non purè solùm & irreprehensibiliter, sed etiam sine labore & ærumnâ potest exequi: quod antea citrà sudorem & durum conatum, facere, multum aberat quin posset. Neque enim valet quis, quantumvis velit, fructum Spiritûs verè ac prout oportet excolere, ante perceptionem boni Spiritùs. Itaque vim sibi, decet, quivis inferat, subinde per patientiam currens & fidem, ac ferventer Christum oret, ut Thesaurum istum Cœlestem queat assequi. quem cum obtinuerit, omnem justitiam in ipso & per ipsum præstare poterit purè ac perfectè; sine labore, inquam, & ærumnâ.

ΚΕΦ. Ε.

Οἱ τὸν θεῖον πλοῦτον τοῦ πνεύματος ἐν ἑαυτοῖς ἔχοντες, ἐπειδάν τισι κοινωνῶσι λόγων πνευματικῶν, τοῦ ἰδίου ὥσπερ ἐκβάλλοντες θησαυροῦ τοῖς οἷς μεταδιδῶσιν· ὅσοι δὲ τὸν πλοῦτον ἐν μυχοῖς καρδίας οὐκ ἐθησαύρισαν, ἐξ οὗ θείων ἐνθυμημάτων καὶ μυστηρίων, λόγων τε ὑπερβαινόντων βρύει ἀγαθωσύνη· ἀπανθισάμενοί τινα μόνον ἐξ ἑκατέρας γραφῆς ἐπ᾽ ἄκρας τῆς γλώσσης φέρουσιν, ἢ καὶ ἀνδρῶν πνευματικῶν ἀκουσταὶ γενόμενοι τοῖς τούτων λόγοις ἐπικομπάζουσιν ὡς ἴδια τὰ ἐκείνων

CAPVT V.

Qui divinas divitas Spiritûs in seipsis habent, quando cum aliquibus miscent Spirituales Sermones, eas quasi promentes è proprio Thesauro, iis quibuscum conversantur communicant. Qui vero instiusmodi opes non recondiderunt in penetralibus Cordis: ex quo, si dilatum è Cœlo esset, divinorum felix copia sensuum, mysteriorumque & Doctrinarum Naturæ captum excedentium præstantia redundaret; sed de-

florata solum quædam è libris utriusque Testamenti, summâ in linguâ ferunt; aut Auditores facti Spiritualium virorum eorum doctrinâ se ostentant, quæ ab iis perceperunt tamquam sua proferentes, & partûs sibi subjicientes alienos. Hi sanè Aliis quidem facilem & immunem præbent, eorum quæ dicunt fruitionem; ipsi vero post dictionem reperiuntur mendicis similes. Quippe cum ad suum quæque verum autorem, quæ ipsi falsò pro suis venditarunt, sponte quasi suâ redeant: ipsis in egestate domesticâ relictis, ut pote qui Thesaurum non possideant proprium: quem si haberent, possent, se quidem primùm ipsos oblectare, aliisque deinde, unde juvarentur, impertire. Propterea quærere primùm debemus à Deo nobis veras divitias quibus ubi erimus instructi,

προτείνοντες, καὶ τοῖς ἀλλοτρίοις τόκοις ὑποβαλλόμενοι· οὗτοι μὲν τοῖς ἄλλοις ἄπονον παρέχον τῶν εἰρημένων ἀπόλαυσιν· αὐτοὶ δὲ μετὰ τὴν διάλεξιν πτωχοῖς εὑρέθησαν ἐοικότες· ἅτε τῶν μὲν λόγων ἑκάστου, καθαπερεὶ πρὸς τὰ ἴδια, τὴν ἀφ' ὧν ἐλήφθη ἐπανελθόντος· ἐκείνων δὲ μὴ κεκτημένων ἴδιον θησαυρὸν, ἀφ' οὗπερ δυνατῶς εἶχον πρῶτους τε αὐτοὺς εὐφραίνειν, καὶ τοὺς ἄλλους κατὰ μετάδοσιν ὠφελεῖν· διὰ τοῦτο ζητητέον πρῶτον παρὰ Θεοῦ πλοῦτον τὸν ἀληθινὸν τοῦτον εἰσοικίσασθαι· τότε ῥᾴδιον ἡμῖν ἔσται καὶ ἑτέρους δύνασθαι ὠφελεῖν, καὶ λόγων πνευματικῶν καὶ μυστηρίων αὐτοῖς μεταδιδόναι. οὕτω γὰρ ηὐδόκησεν ἡ τοῦ Θεοῦ ἀγαθότης παντὶ τῷ πεπιστευκότι ἐγκατοικῆσαι· καὶ γὰρ, ὁ ἀγαπῶν, φησὶν, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν· καὶ ἐν ἄλλοις· ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

facilè poterimus prodesse aliis comunicando ipsis doctrinas Spirituales & mysteria. Sic enim complacuit divinæ Bonitati, habitare in quolibet qui crediderit, etenim, *qui diligit me* inquit, *diligetur à Patre meo & ego diligam eum & manifestabo ei meipsum.* Et alibi: *Ego & Pater veniemus & mansionem apud eum faciemus.*

Ioan. xiv. 20.

Ib. v. 23.

ΚΕΦ. ϛ.

Οἱ τέκνα Θεοῦ γενέσθαι καταξιωθέντες, καὶ τὸν Χριστὸν ἐν ἑαυτοῖς ἐλλάμποντα ἔχοντες, ἐν ποικίλοις καὶ διαφόροις τοῦ πνεύματος διέπονται τρόποις· καὶ ἐν τῷ ἀφανεῖ τῆς καρδίας ὑπὸ τῆς χάριτος περιθάλπονται· οὐδὲν δὲ οἷον καί τινας τῶν κατὰ κόσμον φαινομένων ἀπολαύσεων εἰς μέσον παραγαγεῖν πρὸς εἰκασίαν τῶν ἐν τῇ ψυχῇ θείων διαγωγῶν τῆς χάριτος· ἔστι γὰρ ὅτε γίνονται καθάπερ τινὶ βασιλικῷ δείπνῳ ἐνευφραινόμενοι καὶ ἀγαλλιῶντες ἄφραστόν τινα καὶ ἄρατον ἀγαλλίασιν· καὶ νῦν μὲν ὡς νύμφη τῷ νυμφίῳ πνευματικῶς συνηδόμενοι· νῦν δὲ ὡς ἀσώματοί τινες ἄγγελοι ἐπὶ τοσαύτῃ τοῦ σώματος ἐλαφρείᾳ τε καὶ κουφότητι, ὡς μηδὲ νομίζειν σῶμα περιβεβλῆσθαι· καὶ ἄλλοτε μὲν ὥσπερ τινὶ πότῳ ἐνευφραινόμενοι καὶ μεθύοντες μέθην ἄφραστον τῶν μυστηρίων τοῦ πνεύματος· ἄλλοτε δὲ κλαυθμὸς καὶ ὀδυρμὸς αὐτοὺς ἔχει τῆς τῶν ἀνθρώπων ἕνεκα σωτηρίας ποτνιωμένους· ὑπὸ γὰρ τῆς θείας ἀγάπης τοῦ πνεύματος τῶν ἀνθρώπων πάντων περικαιόμενοι ὅλου τοῦ Ἀδὰμ τὸ πένθος ἀναλαμβάνουσι· καὶ ποτὲ μὲν πρὸς τοσαύτην ἀγάπην μεθ' ἡδονῆς οὐ λόγῳ ῥητῆς τοῦ πνεύματος ἐξεκαύθησαν, ὡς, εἴ γε ἦν δυνατὸν

CAPUT VI.

Qui eo dignati honore sunt ut Filij Dei fierent, & Christum in seipsis replendentem circumferrent, variis & differentibus modis à Sancto reguntur Spiritu, & in Arcano Cordis à Gratiâ demulcentur. Proderit, ni fallor, ad has Spirituales delicias utcumque declarandas Symbolis uti sensibilium in mundo, & magnum in Hominibus, qui de his audiunt, sui movere desiderium solitarum voluptatum; ut harum comparatione quædam informari queat Idea divinorum, quibus Animam Gratia recreat, favorum. Est videlicet quando Sancti videntur quibusdam velut excipi regiis epulis supra modum opiparis ac lautis; iisque jucundissimè, imo ultrà quàm exprimi dicendo queat, beatè saginari, cum fructu & & gustu exultationis intimæ inenarrabili. Et nunc quidem ut sponsa cum sponso Spiritualiter congaudentes: nunc ut incorporei quidam Angeli, in tantam extenuati crassæ cui adhærent molis agilitatem & levitatem, ut eâ quasi soluti

liberè quovis emicare videantur Aliàs velut hausto suavissimè largo poculo nectaris Cœlestis, ebietate sopiuntur mirarum ostensivâ visionum, per quam Epoptæ facti Mysteriorum Spiritûs, ea intuentur cum immensâ voluptate, quæ ne ipsi quidem referre si velint, queant. Aliquando tristibus (quod mirum) affectibus beantur. dono inquam, divino accipiunt dulces lacrymas & consolatione plenos arcanâ mœrores, quibus deplorant clades Hominum, &, quam Mortalium plerique miserrimè incurrunt, salutis æternæ jacturam. Eò usque dulcibus per Spiritū incensi flammis zeli Divini ut totum quantum est humanum genus, luctûs tenerè suavis compassione amplectantur: parati conari, genere quodam affectûs dolorem simul ingentem cum ineffabili voluptate conjungentis (cujus mirificus artifex Dei Spiritus est) parati, inquam, conari si possent, omnem prorsùs hominem, sine discrimine Boni, Mali, innocentis, scelerati, intrà suæ viscera colligere caritatis, & fovere. Nonnumquam sensum

ὅλως, πάντας ἀνθρώπους τοῖς σπλάγχνοις ἐγκολπώσασθαι τοῖς ἰδίοις, κακοῦ διαφορὰν τὸ παράπαν ἀπὸ τοῦ ἀγαθοῦ μὴ ποιούμενοι. ποτὲ δὲ τοσοῦτον ἑαυτοὺς ἐξουδένωσαν ὡς μηδένα εἶναι τῶν μετ' αὐτοὺς οἴεσθαι· ἀλλὰ πάντων ἐσχάτους ἑαυτοὺς λογίζεσθαι· καὶ νῦν μὲν ἀνεκλαλήτῳ χαρᾷ τοῦ πνεύματος κατεπόθησαν· νῦν δὲ καθάπερ τις τὴν ἰσχυρὰν βασιλικὴν λαβὼν πανοπλίαν, καὶ πρὸς πόλεμον κατελθὼν τοὺς ἐναντίους κατετροπώσατο, τὸν ἴσον καὶ οὗτοι τρόπον ὅπλοις φραξάμενοι τοῖς τοῦ πνεύματος πρὸς τοὺς ἀφανεῖς κατῆλθον ἐχθροὺς, καὶ τούτους τοῖς ποσὶν ὑπέθεντο τοῖς ἰδίοις· ἄρτι μὲν πολλή τις γαλήνη αὐτοὺς περιβάλλει καὶ ἡσυχία, εἰρήνη τε περιθάλπει, καὶ ἡδονῇ κάτοχοι γίνονται θαυμασίᾳ· ἄρτι δὲ συνέσει καὶ σοφίᾳ θείᾳ καὶ γνώσει πνεύματος ἀνεξερευνήτῳ· τοιαῦτα πρὸς τὸ τοῦ Χριστοῦ σοφίζονται. χάρις ἃ μηδὲ μία γλῶσσα δύναμις ἐξειπεῖν· ἔστι δ' ὅτε καὶ ὡς ἕνα τῶν πάντων αὐτοὺς ἀνθρώπων ὄψει φαινομένους· οὕτως ἡ θεία χάρις πολυτρόπως ἑαυτὴν ἐν τούτοις ἐξαλλάττουσα καὶ ποικίλλουσα παιδεύειν ὥσπερ καὶ γυμνάζειν βούλεται τὴν ψυχὴν, ἵνα τελείαν αὐτὴν καὶ ἄμωμον καὶ καθαρωτάτην τῷ ἐπουρανίῳ παραστήσῃ πνεύματι.

accipiunt mirabiliter ipsorum depressivum, nec non dulcem tamen; ut suaviter sentiendo fateantur, neminem esse in Mundo,

quo non ipſi ſe inferiores putent quin & poſtremos omnium eſſe atque haberi & volunt & gloriantur. Et nunc quidem inenarrabili abſorpti Spiritûs gaudio miris in mentis ſinu inundati lætitiis quieſcunt. Mox hinc experrecti, ut Imperator aliquis palmarum plurimarum, acerrimuſque bellator, raptim è brevi deſidiâ exiliens, regiâque repentè cataphractus armaturâ, Hoſtes invadit frangit, fugat, delet: pari & hi modo loricâ, galeâ, gladio, clypeo, & armis cæteris Spiritûs arreptis, inviſibiles adoriuntur inimicos, eoſque vincunt, ſternunt, conculcant pedibus. Eſt cum multa ipſos & ſereniſſima circum amplectitur Tranquillitas, requies fovet beata, pax undecumque ſecuriſſima: voluptate imis in ſenſibus delibutos prorſus mirâ. Rursùs porrò docentis in intimo arcana percipientes verba Spiritûs Magiſtri, prudentiæ, ſapientiæ, rerum inſcrutabilium notitiæ totis fluminibus infunduntur; tot, tam rara & recondita uno diſcentes momento à nihil ipſos celante Chriſti gratiâ, quæ nulla quamvis diſerta poſſet enunciare lingua. Infinduntur ipſis inter hæc longè diſſimilia tempora, egeſtatis, ariditatis, exilij: per quæ tot priùs ditati bonis, repentè cunctis ſpoliati, nihil plùs quam quivis hominum è vulgo videntur poſſidere. ſic multifariàm divina Gratia ſeipſam varians ac multipliciter transformans, Magiſterij artes ac methodos ſui miſcet: Exercere ita volens, ac diversè inſtruere Animam, ut perfectam ipſam immaculatam, puriſſimam, ſupercœleſti ſiſtat Spiritui.

ΚΕΦ. Ζ.

Τὰ εἰρημένα ταῦτα τοῦ πνεύματος ἐνεργήματα, μεγάλων μέτρων εἰσὶ, καὶ τῶν ἐγγυτάτω τῆς τελειότητος. αὗται γὰρ αἱ ποικίλαι τῆς χάριτος παρακλήσεις, διάφοροι μὲν, ἀλλ᾽ ἀδιαλείπτως αὐτοῖς ἀπὸ τοῦ πνεύματος ἐνεργοῦνται, ἐνεργείας ἐνέργειαν πνεύματος διαδεχομένης ὁπότε γὰρ εἰς τὴν τελειότη-

CAPUT VII.

Hæ quas modò diximus Spiritus Operationes, in Magnis cernuntur vulgaremque menſuram excedentibus, & Perfectioni proximè admotis Animabus. Hæ ſiquidem diverſæ Conſolationes Gratiæ, differenter quidem, cæterùm indeſinenter in iis à Spiritu exercentur, Ope-

ratione operationem Spiritûs semper excipiente. Quādo enim Aliquis ad perfectionem Spiritûs pervenerit, cunctis perfectè perturbationibus purgatus, & totaliter Paracleto Spiritui per ineffabilem communionem unitus: ut pote cum ejus Anima ad eam evecta dignationem fuerit, ut Spiritus & ipsa sit, in unum cum Spiritu concreta: tunc totus lux, totus gaudium, totus requies, totus exultatio, totus caritas, totus visceralis compassio, totus Bonitas, totus Benignitas fit: & quasi absorptus immergitur in virtutes Potentiæ boni Spiritûs, sicut in abysso maris lapis aquâ undecumque comprehensus. In hunc igitur modum Tales Homines omnimodè Dei Spiritui cohærentes ipsi Christo assimilantur, virtutes Spiritûs immutabiles, in seipsis habentes; & fructus iis consentaneos cunctis exhibentes. Fieri enim nequit, ut, cum intùs ipsi inculpati & puri per Spiritum effecti sint, fructûs extrà malitiæ proferant. Sed omni ex parte per omnia fructus in iis Spiritûs elucent. Talis profectus est Spiritualis perfectionis, *plenitudinis Christi* in quam occurrere nos Apo-

τά τις τοῦ πνεύματος καταντήσειε, πάντων ἀκριβῶς τῶν παθῶν ἀποκαθαρθεὶς, καὶ ὅλως τῷ παρακλήτῳ πνεύματι διὰ τῆς ἀρρήτου κοινωνίας ἑνωθείς· ἐπειδὰν καὶ αὐτή γε ἡ ψυχὴ καταξιωθεῖσα πνεῦμα γένεσθαι, ὡς συγκραθεῖσα τῷ πνεύματι, τότε ὅλον φῶς, ὅλον χαρὰ, ὅλον ἀνάπαυσις, ὅλον ἀγαλλίασις, ὅλον ἀγάπη, ὅλον σπλάγχνα, ὅλον ἀγαθότης, καὶ χρηστότης γίνεται· καὶ οἱονεὶ καταπέποται εἰς τὰς ἀρετὰς τῆς δυνάμεως τοῦ ἀγαθοῦ πνεύματος, ὡς ἐν ἀβύσσῳ θαλάσσης λίθος ὕδατι πανταχόθεν περιεχόμενος· ταύτῃ τοιγαροῦν οἱ τοιοῦτοι κατὰ πάντα τρόπον τῷ τοῦ Θεοῦ πνεύματι συναφθέντες αὐτῷ τῷ Χριστῷ ἀφομοιοῦνται, τὰς ἀρετὰς τοῦ πνεύματος ἀτρέπτους παρ' ἑαυτοῖς ἔχοντες, καὶ καρποὺς τοιούτους τοῖς πᾶσιν ἐπιδεικνύμενοι· ἐπεὶ γὰρ ἔνδον ἄμωμοί τε καὶ καθαροὶ διὰ τοῦ πνεύματος ἀπηρτίσθησαν, ἀμήχανον ἔξω καρποὺς κακίας προσενεγκεῖν· ἀλλὰ πάντοτε διὰ πάντων οἱ καρποὶ τοῦ πνεύματος ἐν ἑαυτοῖς διαλάμπουσιν· αὕτη ἐστὶν ἡ προκοπὴ τῆς πνευματικῆς τελειότητος, τοῦ πληρώματος τοῦ Χριστοῦ, εἰς ἣν φθάσαι ἡμᾶς ὁ Απόστολος παραινεῖ λέγων· ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Χριστοῦ· καὶ πάλιν· μέχρι καταντήσωμεν εἰς ἄνδρα τέλειον εἰς μέ-

τρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

ſtolus adhortatur dicens: *ut impleamini in omnem plenitudinem Chriſti.* Et rurſùs: *donec occuramus in virum perfectum in menſuram ætatis plenitudinis Chriſti.* Eph iij. 19. & iv. 13.

ΚΕΦ. Η.

Ἔστιν ὅτε φησὶν εἰσέρχεταί τις κλῖναι γόνυ· καὶ τούτῳ ἡ καρδία μεστὴ θείας ἐνεργείας γίνεται· καὶ ἡ ψυχὴ συνευφραίνεται Κυρίῳ, καθάπερ ἤδη δεδήλωται, νύμφης τρόπον μετὰ τοῦ νυμφίου· ὁ μέγας τοῦτό φησιν Ἠσαΐας· ὃν γὰρ τρόπον εὐφραίνεται νυμφίος ἐπὶ νύμφης· οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί· ἔστι δ᾽ ὅτε συνέβη μὲν ἀσχολεῖσθαι τὸν τοιοῦτον ὅλης ἡμέρας· κατὰ δὲ μίαν ὥραν εἰς εὐχὴν ἑαυτὸν ἐπιτρέψαντα, ἁρπάζεται παρ᾽ αὐτοῦ ὁ ἔσω ἄνθρωπος, καὶ κάτοχος ἀπείρῳ βάθει τοῦ αἰῶνος ἐκείνου γίνεται· ἔχει δὲ αὐτὸ ἀπόρρητος ἡδονή, ὡς ἐκπλήττεσθαι μὲν τὸν νοῦν μετέωρον ὅλον ὄντα καὶ ἡρπαγμένον· λήθην δὲ τῷ φρενὶ ἐγγίνεσθαι τοῦ ἐπιγείου τοῦδε φρονήματος· ἅτε μεστωθέντων αὐτοῦ τῶν λογισμῶν, ὥσπερ εἴρηται, καὶ εἰς ἀπέραντά τε καὶ ἀκατάληπτα πράγματα αἰχμαλώτων αὐτοῦ ἀπαχθέντων· ὡς ἐν ἐκείνῃ ὥρᾳ δὲ εὐχῆς τοῦ ἀνθρώπου γίνεσθαι συναπελθεῖν ἅμα τῇ εὐχῇ καὶ τὴν ψυχήν.

CAPUT VIII.

Eſt quando jam ex ipſo ad orandum ingreſſu, ſimul incipit aliquis genu flectere, plenum huic repente divinâ operatione fit cor: & Anima condelectatur Domino, ad inſtar, ut dictum eſt, Sponſæ cum Sponſo. Hoc magnus dicit Iſaïas. *Quo enim modo gaudet Sponſus ſuper Sponſam, ſic gaudebit Dominus ſuper te.* Is. lxij. 5. Eſt etiam quando contingit, occupari quidem Talem totâ die: unâ autem ubi ſe idem horâ Orationi permiſerit, rapitur ab ipsâ interior homo, & immenſo profundo illius ſæculi futuri tenetur comprehenſus. Oblectat autem ipſum arcana & ineffabilis voluptas. ita ut Mens quidem obſtupeſcat tota ſuſpenſa & in ſublimè rapta: oblivioque internis ſenſibus ſubrepat terrenæ hujus Mundi Sapientiæ. ut pote repletis ipſi objecto digniori cogitationibus, ut dictum eſt, & captivis procul abductis con-

templatione infinitarum & incomprehensibilium rerum. Vt in illa horâ per Orationem Homini accidat, evolare simul cum Oratione ipsius Animam.

CAP. IX.

Ad interrogantem autem: An possibile Homini sit in eo semper statu durare? Sic respondendum est: Numquam quidem Gratiam non inesse, non penitùs radicari, non intimè commisceri, quasi coalescentem in naturam unam, Homini in quo est. Cæterùm una cum sit ipsa, non uno tamen modo, sed multipliciter, prout vult, & convenire videt ad ipsius utilitatem Hominis, varias vicissitudines dispensat. Nam aliquando quidem acriorem ipsi, aliquando languidiorem flammam subiicit. Est quando luculentiùs resplendeat: est quando contrahat fulgorem, & caliginem obducat quamdam, divini prorsùs salubritate consilij, hebetandâ luce lampadis, inextinguibiliter nihilominùs ardentis. Quæ & subinde puriori se lætificans radiat lumine. & tunc velut abundantiori potu divinæ caritatis hilaratus Homo deliciatur, festum quasi diem celebrans. Est etiam cum ipsum

ΚΕΦ. Θ.

Πρὸς δὲ γε τὸν ἐρωτῶντα φησὶν, εἰ πάντοτε δυνατὸν τῷ ἀνθρώπῳ τῇ τοιαύτῃ διαρκεῖν καταστάσει; ταῦτα λεκτέον· ὡς ἡ μὲν χάρις οὐκ ἔστιν ὅτε μὴ σύνεστι καὶ ἐῤῥίζωται, καὶ ὡς φυσικόν τι πεπηγὸς ἐγγίνεται τῷ ἀνθρώπῳ ᾧ σύνεστι· μία δὲ οὖσα αὕτη, πολυτρόπως, ὡς ἐθέλει, πρὸς τὸ τοῦ ἀνθρώπου συμφέρον, οἰκονομεῖ· ποτὲ μὲν γὰρ πλέον αὐτῷ τὸ πῦρ· ποτὲ δὲ ἀμβλύτερον ἀνακαίει· καὶ τὸ φῶς, ἔστι μὲν ὅτε μᾶλλον ἐκλάμπει· ἔστι δ᾽ ὅτε καὶ συστέλλεται καὶ ἐπισυννάζει, κατὰ θείαν πάντως οἰκονομίαν· καίτοιγε τῆς λαμπάδος ἄσβεστα καιομένης· ὅτε δὲ φαιδρυνθῇ πλέον, τότε καθάπερ ἐν μέθῃ πλείονι τῆς τοῦ Θεοῦ ἀγάπης καὶ ὁ ἄνθρωπος ἑορτάζεται· ἔστι δ᾽ ὅτε καὶ αὐτὸ τὸ φῶς τὸ φαῖνον ἐν καρδίᾳ, τῷ ἐνδοτέρῳ δήπου καὶ βαθυτέρῳ διανοίγει φωτὶ, ὥστε ὅλον τὸν ἄνθρωπον τῇ γλυκύτητι ἐκείνῃ καὶ θεωρίᾳ καταποθέντα μηκέτι ἐν ἑαυτῷ εἶναι· ἀλλ᾽ ὡς μωρόν τε καὶ βλαβερὸν ὑπεῖναι τῷ κόσμῳ, διὰ καινὰς ἴυγγας ἀγάπης καὶ ἡδονῆς, καὶ διὰ τὸ βάθος τῶν ἠξίωται μυστηρίων· καὶ συμβαίνει

πολλάκις

πολλάκις κατ᾽ ἐκεῖνον μὲν τὸν καιρὸν τῶν τελείων αὐτὸν ἐπιβῆναι μέτρων, καὶ εἶναι πάσης ἁμαρτίας ἐλεύθερόν τε καὶ ἀνεπίληπτον· μετὰ δὲ ταῦτα συσταλῆναι τρόπον τινὰ τὴν χάριν, καὶ τὸ κάλυμμα τῆς ἐναντίας ἐπιστῆναι δυνάμεως.

palàm in corde micans lumen, alteri lumini sub intimis cordis profundiùs latenti, velut fenestram aperit, & hujus cum suis radios jungens, meridianum quoddam efficit jubar, cujus obtutu serenissimo tam suaviter Homo recreatur, ut planè absorptus, non ampliùs in se ipso sit sed quasi gaudij abundantiâ fatuus & salivis defluens, Mundo (*ut olim David Regi Achis*) Ludibrium debeat; fastidiis terrena sapientium rejectus ut insanus. in lucro id ille quidem ponens, dum inusitatis interim illecebris caritatis in cœlestem effluens voluptatem, profundorum, quibus eum Deus dignatur, usu & visu Mysteriorum jucundissimè fruitur. Ac beatis quidem illis momentis sæpe contingit tali homini summum perfectionis apicem tangere, omnique liberum peccato; ac neque contingeuum ejus impulsibus esse: verùm post hæc contrahi rursus quodammodo gratiam; & ab Adversariâ Potestate velum iterum obtendi, tam dulcibus pasci spectaculis prohibens.

1. Reg xxi. 13.

ΚΕΦ. Ι.

Οἶκ μοι φησὶν οὕτως τὰ τῆς χάριτος ἔχειν· ὑποκείσθω γάρ σοι πρὸς δωδέκατον βαθμὸν ἀνιέναι τὴν τελειότητα· ἔστι μὲν οὖν ὅτε καὶ τυχεῖν τὸ μέτρον ἐφικτὸν γίνεται· πλὴν ἀλλ᾽ ἐνδίδωσι πάλιν ἡ χάρις, καὶ ἕνα ὑποβᾶσα βαθμὸν εἰς τὸν ἑνδέκατον, ὡς εἰπεῖν, ἵσταται· ἐδείχθη ἐκεῖνα δὴ τὰ θαυμάσια, καὶ ὧν πεῖραν ὁ ἄνθρωπος ἔχειν ἐκεῖνος· εἰ τὸν ἴσον αὐτῷ τρόπον εἶχε ταῦτα διαπαντὸς, οὐκ ἂν δυνατὸν αὐτῷ ἦν τὴν οἰκονομίαν καὶ τὸ βάρος ὑπέ-

CAPUT X.

Sic tecum reputa Res Gratiæ se habere: Finge residere Perfectionem in duodecimo alti cujusdam Solij Gradu. nec tamen non ad tantam licet celsitudinem pertingere interdum Hominem à Deo adjutum posse. verùm humanæ condescendentem infirmitati Gratiam, remittere partem duodecimam conatus ad istum ascensum necessarij, Perfectione ad Gradum undecimum demittendâ: ubi

jam vincinior nos expectans stat. Cum illis Homo, de quibus paulò ante dictum est supernis visitationibus beatur; cum illa videt & patitur mirabilia; tunc sane ille quidem validissimis sublevatus alis duodecimi Gradûs supremum apicem facilè tenet. Sed si eo in statu perseveraret deinceps semper, haud posset durare vita mortalis. Neque enim natura fragilis diuturnam Extaticarum istiusmodi Passionum tolerare valet experientiam, ut non dissolvatur & tabescat. Adde quod per illa Homo redditur prorsùs inutilis ad Officia vitæ Civilis. Non audire non curare quidlibet quamvis minimum rerum humanarum potest, qui mente raptus in Deum & inebriatus cœlesti nectare, dimovere se nequit ab angusto uno in quem se orans abdidit angulo. Propterea relaxatur illi necessitas in tam sublime nitendi, depressâ Perfectione in Gradum inferiorem imbecillitati jam humanæ contiguum; & otium viresque relinquentem defungendis obligationibus vitæ Socialis, in curâ Fratrum & Ministerio verbi.

ναι τοῦ λόγου· οὔτε μὴν ἀκούειν τι καὶ λέγειν, ἢ καὶ περί τι, κἂν τὸ βραχύτατον, μεριμνᾶν, ὅτι μὴ κεῖσθαι μόνον μιᾶς γωνίας ἐπειλημμένον, καὶ μετέωρον, καὶ μεμεθυσμένον· ταύτῃ τοι καὶ τὸ τέλειον αὐτῷ μέτριον οὐ παρεσχέθη· ἵνα καὶ τῇ ἀδελφῶν προνοίᾳ, καὶ τῇ τοῦ λόγου διακονίᾳ καιρὸν ἔχῃ σχολάζειν.

CAP. XI.

Cum audiendo Sermones de Regno Dei ad pias lacrymas movemur, non acquiescamus iis lacrymis tamquam nostris; neque has imputemus aut auribus nostris, quasi benè audierint, aut oculis, quasi benè viderint, placentes nobis, & sufficere istos sensus ad talia reputantes. Etenim aliæ sunt aures, alij oculi, alij fletus, uti &

ΚΕΦ. ΙΑ.

Ακούοντες; φησὶ τοῦ λόγου τῆς βασιλείας, καὶ πρὸς δάκρυα καταγόμενοι, μὴ τοῖς ἡμετέροις τούτοις ἐναπομείνωμεν δάκρυσι, μηδὲ τῇ ἡμῶν ἀκοῇ ὡς καλῶς ἀκούσαντες, μηδὲ τοῖς ὀφθαλμοῖς ὡς καλῶς ἰδόντες, ἀρκούντως ἔχειν ἑαυτοῖς λογισώμεθα· καὶ γάρ εἰσιν ἕτερα ὦτα καὶ ἕτεροι ὀφθαλμοὶ, καὶ κλαυθμοὶ ἕτεροι, ὡς δὴ καὶ διάνοια καὶ ψυχὴ ἑτέρα· ὅπερ ἐστὶν αὐτὸ θεϊκὸν πνεῦ-

μα καὶ ἐπουράνιον, τὸ ἀκοῦον τε καὶ κλαῖον, εὐχόμενόν τε καὶ γινώσκον, καὶ τὸ τοῦ Θεοῦ θέλημα ἐν ἀληθείᾳ ποιοῦν· ἐπεὶ καὶ τοῖς Ἀποστόλοις ὁ Κύριος τὴν μεγίστην ἐπαγγελλόμενος τοῦ πνεύματος δωρεάν· ὑπάγω, ἔλεγεν, ὁ δὲ παράκλητος τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου ἐκεῖνος ὑμᾶς διδάξει πάντα· καὶ πάλιν· ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν· ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· ἐκεῖνος οὖν προσεύξεται καὶ ἐκεῖνος κλαύσεται· τὸ γὰρ· τί προσευξόμεθα, φησὶν ὁ θεῖος Ἀπόστολος, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. αὐτῷ γὰρ τῷ πνεύματι μόνῳ τὸ τοῦ Θεοῦ θέλημα δῆλόν ἐστι· τὰ γὰρ τοῦ Θεοῦ, φησὶν, οὐδεὶς οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ· ἐπεὶ καὶ κατὰ τὴν ἐπαγγελίαν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς τοῦ παρακλήτου ἐπιφοιτήσαντος, καὶ τῆς δυνάμεως τοῦ ἀγαθοῦ πνεύματος ταῖς ψυχαῖς τῶν Ἀποστόλων ἐνσκηνωσάσης, τὸ μὲν τῆς κακίας κάλυμμα εἰσάπαν αὐτῶν ἀφῃρέθη, τὰ πάθη δὲ κατηργήθη, καὶ τὰ τῆς καρδίας αὐτοῖς ἀπεκαλύφθησαν ὄμματα· καὶ τότε λοιπὸν σοφίας πλησθέντες καὶ τέλειοι καταστάντες ὑπὸ τοῦ πνεύματος, δι' ἐκείνου μὲν καὶ τὸ τοῦ Θεοῦ θέλημα

alia Mens & Anima alia: Divinus nempe ipse ac super cœlestis Spiritus, audiens & flens, orans & cognoscens, voluntatemque in veritate divinam faciens. Quandoquidem Apostolis Dominus maximum promittens Spiritûs donum: *vado*, ait, *at Paracletus Spiritus Sanctus*, *Ioan. xiv. 26.* *quem Pater mittet in nomine meo, ille vos docebit omnia.* Et rursus: *adhuc multa habeo vobis dicere: sed non potestis portare modò. cum autem venerit* *Ioan. xvi. 22.* *ille Spiritus veritatis deducet vos in omnem veritatem.* Ille igitur orabit, ille lacrymabitur. Etenim *quid oremus*, inquit divinus Apostolus, *prout oportet*, *Rom. viij 26.* *nuscimus, sed ipse Spiritus postulat pro nobis gemitibus inenarrabilibus.* Nam ipsi Spiritui Soli Dei voluntas perspecta est. Siquidem, *quæ Dei sunt*, inquit, *1. Cor. ij. 2.* *nemo novit, nisi Spiritus Dei.* Quoniam & quando juxta promissionem, die Pentecostes descendit Paracletus, & virtus boni Spiritus Animabus Apostolorum insedit; velamen quidem illud quo innata Homini pravitas mentem obumbrat, planè ab iis ablatum est: vitiosi verò affectus exstirpati sunt; oculique mentis ipsorum

sunt aperti. Et tunc de cætero sapientiâ repleti, & perfecti constituti à Spiritu, per illum quidem & Dei voluntatem facere decreverunt, per illum & ad omnem veritatem manuducti sunt, gubernantem eos & regnantem in Animabus ipsorum. Quando ergo nobis quoque audientibus verbum Dei, in dulces resolvi lacrymas contigerit, Oremus Christum, fiduciâ omnem dubitationem pellente, ut veniat ad Nos, certò sperantes, quem secum ducet suum Spiritum, auditurum & oraturum in nobis sicut oportet ad perfectè exequendam ipsius voluntatem.

ποιεῖν ἔγνωσαν, δι' ἐκείνου δὲ καὶ πρὸς πᾶσαν ἀλήθειαν ἐχειραγωγήθησαν ἡγεμονεύσαντός τε καὶ βασιλεύσαντος αὐτοῖς τῆς ψυχῆς· ὅταν οὖν καὶ ἡμῖν ἐπακούουσι τοῦ λόγου τοῦ Θεοῦ κλαίειν ὑπάρχῃ, δεηθῶμεν Χριστοῦ, πίστει ἀνενδοιάστῳ ἐλεύσεσθαι πρὸς ἡμᾶς, ἐλπίσαντες ἀληθῶς ἀκοῦον καὶ προσευχόμενον πνεῦμα κατὰ τὸ αὐτοῦ θέλημα.

CAPVT XII.

Rem humanæ in hâc vitâ perfectionis sic se habere puta. incumbit vis quædam supernè obtegens expeditam & alacrem ad volatum Mentem, ut caligo quædam tenuis: ardente nihilominùs semper & lucente, ut dictum est, lampade: sed illi ejus luci quoddam supernè quasi operculum imponitur. unde qui talem experitur statum haud inficias iverit: nequaquam esse se perfectum, nec ex toto liberum à peccato: verùm, ut sic dicam, liberum simul & non liberum. id vero haudquaquam omnino sine numine: sed per sapientissimam dispensationem

ΚΕΦ. ΙΒ.

Τὸ πρᾶγμα οὕτως ἔχειν οἴου φησίν, ἐπίκειταί τις δύναμις ἐπικαλύπτουσα τὸν ἐλαφρὸν νοῦν, ὡς ἀήρ τις λεπτός· καίτοι δὲ τῆς λαμπάδος ἀεὶ ποτε καιομένης καὶ φαινούσης, καθάπερ εἴρηται. ἀλλὰ τῷ φωτὶ ἐκείνῳ ὡς κάλυμμά τι ἐπίκειται· ταύτῃ τοι οὐδὲ ἔξαρνος ἐστιν ὁ τοιοῦτος μὴ εἶναι τέλειος· μηδὲ τὸ ὅλον ἐλεύθερος ἐκ τῆς ἁμαρτίας· ἀλλ' οἷον εἰπεῖν ἐλεύθερός τε καὶ οὐκ ἐλεύθερος· τοῦτο δὲ οὐκ ἀθεεὶ πάντως· ἀλλὰ κατ' οἰκονομίαν γίνεται θείαν· καὶ ποτὲ μὲν διαλύεται καὶ θραύεται ἐκεῖνο τὸ μεσότοιχον τοῦ φραγμοῦ· ποτὲ δὲ τὸ σύμπαν οὐ διαλύεται· οὐδὲ διαπαντὸς ἐπί της τὰ τοιαῦτα τῆς εὐχῆς· ἀλλὰ ἔστι μὲν ὅτε πλέον ἢ

χάρις ἀνάπτεται, καὶ παρακαλεῖ καὶ διαναπαύει· ἔστι δ' ὅτε συγνοτέρα καὶ ὑφειμένη γίνεται, καθὼς αὕτη ἡ χάρις πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ οἰκονομεῖ. ὅμως εἰσῆλθον εἰς τὸ τέλειον μέτρον ἔν τισι καιροῖς, καὶ ἐγευσάμην καὶ πεῖραν ἔσχον ἐκείνου τοῦ αἰῶνος· οὔπω δὲ οὐδένα εἶδον Χριστιανὸν τέλειον ἢ καθάπαξ ἐλεύθερον· ἀλλὰ καὶ διαναπαύεταί τις ἐν τῇ χάριτι, καὶ μυστηρίων καὶ ἀποκαλύψεων κοινωνὸς γίνεται, καὶ εἰς ἡδύτητα πολλὴν τῆς χάριτος εἴσεισι· καὶ ἡ ἁμαρτία πάλιν αὐτῷ σύνεστιν· οἱ δὲ τοιοῦτοι διὰ τὴν ὑπερβάλλουσαν χάριν καὶ τὸ ἐλλάμπειν αὐτοῖς φῶς, κατά γε ἀπειρίαν φημὶ, τέλειοί τε καὶ ἐλεύθεροι ἔδοξαν εἶναι· ἐγὼ δὲ, ὡς εἴρηται, οὔπω οὐδένα εἶδον ἀκριβῶς ἐλεύθερον· ἐπειδὴ κἀμοὶ μερικῶς καιροῖς ἔν τισιν ἐξεγένετο εἰς ἐκεῖνο τὸ μέτρον ὃ λέλεκται εἰσελθεῖν· καὶ οἶδα καταμαθὼν ὁποῖός τις ὁ τέλειος ἄνθρωπός ἐστιν.

divinæ fit Providentiæ. Ac nonnumquam quidem dissolvitur & scinditur ille *medius paries maceriæ*: quandoque omninò non dissolvitur. Neque pari per omnia in his passu procedit Orationis negotium. Sed est quando ampliùs accenditur Gratia, & consolatur, & quietem præbet: est rursus quando hebetior, & remissâ non parùm luce fulget: prout ipsa Gratia accomodatè ad ipsius utilitatem Hominis benevolè providens, variè dispensat. Ingressus tamen sum certis, at raris momentis in perfectam mensuram; gustum percepi & experientiam habui beati illius ævi. Nondum autem quemquam vidi Christianum Perfectum, aut omni ex parte, in tempus omne, liberum. Sed requiescit Aliquis in Gratiâ, & mysteriorum ac revelationum fit particeps: & in multam dulcedinem Gratiæ intrat. & peccatum rursùs nihilominùs inest ipsi. Tales porrò ubi perfusi uberiùs fuerint fontibus Gratiæ, & splendidiùs illustrati radiis divinis, propter hoc, per imprudentissimum errorem, Perfecti esse & liberi videntur sibi: me neutiquam assentiente; qui nondum, uti dixi, vidi ullum Hominem perfectè liberum. Nec inexpertus in his loquor. Nam & quadam ex parte mihi contigit, momentis quibusdam in illam, quatenus dictum est, mensuram ingredi. Et novi, multis edoctus experimentis, qualis demùm sit perfectus Homo.

CAPUT XIII.

Cum audire tibi contigerit de cōmunicatione Sponsi cum Sponsâ, de choris, de cantu, & Festis nihil materiale aut terrenum cogitaveris. Etenim in exemplum duntaxat per condescensionem hæc assumuntur. Quoniam illa quæ his designantur, Spiritualia & oculis carneis incontigua sunt. Animæ vero Sanctæ ac fideli sub comprehensionem veniunt, & ipsa communicatio S. Spiritûs, & Supercœlestes Thesauri, Chori ac Festa Sanctorum Angelorum. Quin ista ei tantùm Homini, etiam sic manifesta fiunt, qui exprimentum eorum ceperit. non introducto autem in hæc adyta, nec qualemcumque talium informare ideam possibile omninò est. Piè igitur & reverenter de hujusmodi rebus audi: quoad tibi contingat credenti dignari fruitione talium. Et tunc scies ipsâ experientiâ oculorum Animæ, qualium bonorum Animæ Christianorum fieri compotes queant. Nam in Resurrectione, corpori quoque continget horum esse participi, videréque illa & quodammodo palpare, quando ipsum Spirituale factum fuerit.

ΚΕΦ. ΙΓ.

Ἐπειδὰν ἀκοῦσαί σοι γένοιτο περὶ κοινωνίας νυμφίου καὶ νύμφης, καὶ χορῶν, καὶ ἑορτῶν, μηδὲν ὑλικὸν μηδὲ πρόσγειον ἐννοήσῃς· καὶ γὰρ εἰς ὑπόδειγμα μόνον συγκαταβατικῶς ταῦτα παραλαμβάνεται· ἐπεὶ ἐκεῖνα ἄρρητά τέ ἐστι καὶ πνευματικά, καὶ ὀφθαλμοῖς τοῖς σαρκικοῖς ἄψαυστα· ψυχῇ δὲ ἁγίᾳ καὶ πιστῇ πρὸς κατάληψιν ἔρχεται αὐτή τε ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, καὶ οἱ ἐπουράνιοι θησαυροί, οἱ χοροί τε καὶ ἑορταὶ τῶν ἁγίων Ἀγγέλων τῷ πεῖραν λαβόντι μόνῳ καταφανῆ γίνονται, ἀμυήτῳ δὲ οὐδὲ ἐννοῆσαι δυνατὸν τὸ παράπαν· εὐλαβῶς οὖν περὶ αὐτῶν ἄκουε μέχρις ἂν καὶ σοὶ γένοιτο πιστεύοντι καταξιωθῆναι τῶν τοιούτων τυχεῖν· καὶ τότε εἴσῃ αὐτῇ πείρᾳ τῶν ὀφθαλμῶν τῆς ψυχῆς οἵων ἀγαθῶν ψυχαί τε Χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται· ἐν γὰρ τῇ ἀναστάσει καὶ αὐτῷ τῷ σώματι τῶν τοιούτων παρέσται τυχεῖν, βλέπειν τε αὐτὰ καὶ οἱονεὶ κρατεῖν, ὁπόταν καὶ αὐτὸ γένηται πνεῦμα.

ΚΕΦ. ΙΔ.

Τὰ ἴδια τῆς ψυχῆς ἢ τὰ κάλλη καὶ οἱ ἀγαθοὶ καρποὶ, ἤτοι εὐχὴ, ἀγάπη, πίστις τε καὶ ἀγρυπνία καὶ νηστεία, καὶ τἄλλα τῶν ἀρετῶν ἐπιτηδεύματα ἐπειδὰν μιχθείη καὶ κοινωνήσοι τῆς τοῦ πνεύματος κοινωνίας, τότε καὶ αὐτὰ καθάπερεὶ θυμίαμα πυρὶ βληθὲν, πλουσίαν ἀποδίδωσι τὴν εὐωδίαν· ἀλλὰ καὶ ἡμῖν γίνεται ῥάδιον ἀκολούθως τῷ θελήματι πολιτεύεσθαι τοῦ Θεοῦ· ὡς ἄνευ πνεύματος τοῦ ἁγίου, καθάπερ ἤδη πρότερον εἴρηται, μηδενὶ δυνατὸν ἐν συνιέναι τὸ τοῦ Θεοῦ θέλημα· ὥσπερ γὰρ ἀνδρὶ πρὸς γάμον συνιοῦσα γυνὴ, πρότερον μὲν ἢ συναφθῆναι, γνώμῃ τῇ ἰδίᾳ στοιχεῖ, καὶ θελήμασι τοῖς ἑαυτῆς κέχρηται· ἐπειδὰν δὲ συνέλθῃ καθ' ἓν, ὑπ' ἐκείνῳ ἡγεμόνι τὸ σύνολον ζῇ, τοῦ πρὸς ἑαυτὴν ὁρᾷν ἀφειμένη· τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχὴ ἔχει μὲν ἴδιόν τι θέλημα, καὶ ἰδίους νόμους, καὶ ἔργα ἴδια· ἐπειδὰν γένηται δὲ ἀξία τῷ ἐπουρανίῳ ἀνδρὶ Χριστῷ συνελθεῖν, ὑποτάσσεται τῷ νόμῳ τοῦ ἀνδρὸς, οὐκ ἔτι τῷ ταύτης θελήματι, ἀλλὰ τῷ ταύτης νυμφίου ἑπομένη Χριστοῦ.

CAPVT XIV.

Propria Animæ noſtræ decora, & boni fructus, videlicet Oratio, Caritas, fideſque & vigilia & jejunium, & alia virtutum officia, ubi mixta & comparticipata fuerint communioni Spiritûs, tunc & ipſa, velut thymiama conjectum in ignem, pretioſam emittunt fragrantiam: Sed & nobis redditur facile converſari conſequenter ad voluntatem Dei: ut pote cum, ſine Spiritu Sancto, quemadmodum jam antea dictum eſt, nemini poſſibile ſit intelligere Dei voluntatem. Vt enim quæ viro nubit mulier, priùs quidem quàm ei conjungatur, proprio vivit arbitrio, & prout ipſi libitum eſt de ſe conſulit: ſimul autem ſub Mariti convenerit manum, eo deinde rerum omnium actionumque ſuarum moderatore utitur atque arbitro; ſe reſpicere ipſam ex eo deſinens: pari modo & Anima priùs habebat volũtatem quamdam propriam, leges uſuſque proprios, opera propria: poſtquam verò digna facta fuerit quæ ſupercœleſti viro jungeretur Chriſto, ſubjicitur legi viri, non ampliùs ſuam, ſed ſponſi ſequens voluntatem.

CAPUT XV.

Nuptialem vestem Spiritûs Gratiam esse puta. quam qui induere dignus non fuerit, Cœlestium nuptiarum Epulique Spiritualis particeps non erit. Ponamus studium in Spirituali & divino bibendo vino, & inebriemur ebrietate sobriâ, ut quemadmodum qui vino pleni sunt loquaciores fiunt, ita & nos Spirituali hoc largè hausto mero, Mysteriorum divinorum eloquamur narrationes. *Et calix tuus* (ait David) *inebrians me quam præclarus est!*

Ps. xxij. 5.

ΚΕΦ. ΙΕ.

Τὸ τοῦ γάμου ἔνδυμα τὴν τοῦ ἁγίου πνεύματος χάριν ἡγοῦ· ἣν ὁ μὴ ἐνδῦναι γεγονὼς ἄξιος, τοῦ ἐπουρανίου γάμου, καὶ τοῦ δείπνου τοῦ πνευματικοῦ κοινωνὸς οὐκ ἔσται· θῶμεν σπουδὴν τοῦ πνευματικοῦ καὶ θείου πιεῖν οἴνου καὶ μεθυσθῆναι μέθην νηφάλιον· ἵν᾽ ὥσπερ οἱ οἴνου διακορεῖς λαλίστεροι γίνονται· οὕτω καὶ ἡμεῖς τοῦ πνευματικοῦ τούτου διάπλεω γεγονότες οἴνου μυστηρίων θείων λαλήσωμεν διηγήματα· καὶ τὸ ποτήριόν σου γάρ φησι Δαβίδ, μεθύσκον με, ὡσεὶ κράτιστον.

CAPUT XVI.

Ipsa est illa pauper Spiritu Anima, quæ cognoscit quidem sua vulnera; cognoscit verò etiam eas, quibus circumambitur, Perturbationum tenebras: & à Domino continuè liberationem quærit. Quæ tolerat quidem labores: de nullo autem eorum quæ super terram sunt bono gaudet. Sed in bono tantum Medico, & in ejus curatione confidit. Quomodo igitur hæc vulnerata Anima decora & formosa erit, & ad vitæ

ΚΕΦ. Ις.

Αὕτη ἐστὶν ἡ πτωχὴ τῷ πνεύματι ψυχή, ἥτις ἐπιγινώσκει μὲν τὰ ἑαυτῆς τραύματα, ἐπιγινώσκει δὲ τὸ περιέχον αὐτὴν τῶν παθῶν σκότος· καὶ τὴν ἀπὸ Κυρίου διαπαντὸς ἐπιζητεῖ λύτρωσιν· ἣ φέρει μὲν πόνους· ἐπ᾽ οὐδενὶ δὲ τῶν ἐπὶ γῆς ἀγαθῶν χαίρει· ἀλλὰ τῷ καλῷ μόνῳ ἰατρῷ, καὶ τῇ αὐτοῦ πέποιθε θεραπείᾳ· πῶς οὖν ἡ τετραυματισμένη αὕτη ψυχὴ καλὴ καὶ εὐπρόσωπος ἔσται, καὶ πρὸς συμβίωσιν ἁρμόζουσα τῷ Χριστῷ; πῶς ἄλλως ἢ κατὰ τὴν ἀρχαίαν αὐτῆς κτίσιν, καὶ τὴν

σαφῆ

σαφῆ τὴν οἰκείων τραυμάτων καὶ τῆς πτωχείας ἐπίγνωσιν· εἰ γὰρ οἷς ἔχει τραύμασί τε καὶ μώλωψι τῶν παθῶν μὴ συνήδεται, μηδὲ συνηγορεῖ τοῖς σφάλμασιν, οὐ λογίζεται αὐτῇ τὴν ἀμορφίαν ὁ Κύριος· ἀλλ' ἐλθὼν ἰᾶται καὶ θεραπεύει, καὶ ἀπαθὲς αὐτῇ καὶ ἄφθορόν τι κάλλος ἀποκαθίστησι· μόνον αὐτὴ προαιρέσει μὴ κοινωνείτω τοῖς πραττομένοις, καθάπερ εἴρηται, μηδὲ τοῖς ἐνεργουμένοις συνευδοκείτω πάθεσιν· ἀλλ' ὅλῃ δυνάμει πρὸς Κύριον ἐκβοάτω, ἵνα διὰ τοῦ ἀγαθοῦ πνεύματος αὐτοῦ τῆς ἐλευθερίας πάντων ἀξιωθῇ τῶν παθῶν· αὕτη μὲν οὖν ἡ ψυχὴ μακαρία, οὐαὶ δὲ τῇ μὴ συναίσθησιν δεχομένῃ τραυμάτων, μηδὲ ἔχειν τι κακίας διὰ πολλὴν καὶ ἄμετρον οἰομένῃ κακίαν· ταύτην γὰρ οὐδὲ ὁ ἀγαθὸς ἐπισκέπτεται ἰατρὸς, οὐδὲ θεραπεύει· ὅτι μηδὲ μέλει αὐτῇ τῶν τραυμάτων, ἅτε καλῶς ἔχειν καὶ ὑγιῶς ἡγουμένῃ· οὐ γὰρ χρείαν ἔχουσί φησιν, οἱ ὑγιαίνοντες ἰατροῦ· ἀλλ' οἱ κακῶς ἔχοντες.

societatem individuam cum Christo ineundam apta? quomodo aliter, quàm perspectam habendo & fatendo antiquam suam ex origine vilitatem; & claram præseferendo propriorum vulnerum & mendicitatis notitiam. Nam si in iis quæ habet vulneribus & cicatricibus Passionum non sibi complacet, nec patrocinatur delictis suis; non imputat ipsi suam deformitatem Dominus; sed veniens medicatur eam & curat; nullique obnoxiam alterationi & immarcessibilem quamdam ei restituit pulchritudinem. Tamtùm ipsa ne libero assensu participet iis quæ in illâ per affectûs rationem prævenientes fiunt; neve consentiendo ea comprobet, quæ inordinatæ perturbationes operantur. Sed tota virtute ad Dominum clamet, ut per bonum ipsius Spiritum liberare se dignetur à cunctis pravis affectibus. Beata profectò talis Anima: væ autem illi quæ sensum intimum non capiet vulnerum suorum; quæque omnis se pravitatis funditùs expertem. per multam & immensam putaverit pravitatem. Talem enim neque bonus curandam suscipit Medicus, nec sanat: quoniam ipsum illa non requirit: nec solicitudine tangitur vulnerum propriorum; ut pote quæ se bene habere, ac plenâ vigere sanitate existimet. *Non enim* (inquit) *egent qui sani sunt* Luc. v. 31.
Medico, sed qui malè habent.

CAPUT XVII.

Beati revera, & invidendi ob vitæ, & exuperantis naturæ modum fruitionis felicitatem, quicumque per ferventem fidem, & vivendi usum ad omnium virtutum normam exactum, supercœlestium Sancti Spiritus mysteriorum sensu & experientiâ notitiam perceperunt; & conversationem in cœlis habent. Tales omnium qui uspiam vivunt Hominum præstantissimi sunt. Id quod demonstrari manifestò potest. Cui enim Potentum, aut Sapientum, aut Prudentum, ascendere in Cœlum contigit interim dum versantur in terrâ; & illic operari opera Spiritualia, & pulcritudines divini Spiritûs intueri? Nunc verò Pauper aliquis in speciem, summè pauper & exinanitus; ac ne vicinis quidem vel minimo sui notus indicio, procidens in faciem suam coràm Domino Deo, ascendit in Cœlum deducente Sancto Spiritu, & summâ jucunditate suæ animæ, mirabilium illic rerum usu visuque delectatur; ibique operatur, ibi diversatur, ibi con-

ΚΕΦ. ΙΖ.

Μακάριοι τῷ ὄντι καὶ ζηλωτοὶ τοῦ βίου καὶ τῆς ὑπερφυοῦς ἀπολαύσεως ὅσοι διὰ θερμῆς καὶ φιλαρέτου διαγωγῆς τῶν ἐπουρανίων τοῦ πνεύματος μυστηρίων πείρᾳ καὶ αἰσθήσει τὴν γνῶσιν εἰλήφασι, καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχουσιν· οὗτοι καὶ συμπάντων κρείττους ἀνθρώπων εἰσί· καὶ φανερὰ ἡ ἀπόδειξις· τίνι γὰρ τῶν δυνατῶν, ἢ σοφῶν, ἢ φρονίμων ἀνελθεῖν εἰς τὸν οὐρανὸν ὑπῆρξεν ἐπιστρεφομένῳ περὶ τὴν γῆν, ἐκεῖ τε ἐργάσασθαι ἔργα πνευματικὰ, καὶ τὰ κάλλη τοῦ πνεύματος κατοπτεῦσαι; νυνὶ δὲ πένης τις τὸ φαινόμενον, πένης ἄκρος καὶ ἐξουδενωμένος καὶ οὐδὲ τοῖς ἐγγειτόνων μικροῦ γνώριμος, περιπίπτων ἐπὶ πρόσωπον αὐτοῦ πρὸ Κυρίου, ἄνεισιν εἰς τὸν οὐρανὸν ὑπὸ πνεύματος ὁδηγούμενος, καὶ ἐν πληροφορίᾳ τῆς ἑαυτοῦ ψυχῆς τῶν ἐκεῖ θαυμασίων κατατρυφᾷ, ἐκεῖ τε ἐργάζεται, ἐκεῖ τὸ πολίτευμα ἔχει, κατὰ τὸν θεῖον Απόστολον· ἡμῶν γὰρ τὸ πολίτευμά φησιν ἐν οὐρανοῖς ὑπάρχει. καὶ πάλιν· ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· εἶτα ἐπάγει· ἡμῖν δὲ ἀπεκάλυψε διὰ τοῦ πνεύματος

αὐτοῦ· οὗτοί εἰσιν οἱ ἐν ἀληθείᾳ σοφοὶ, οἱ δυνατοὶ, οὗτοι καὶ εὐγενεῖς καὶ φρόνιμοι.

versationem habet, juxtà divinum Apostolum dicentem: *Nostra autem conversatio in Cœlis est.* & rursus: *quæ oculus non vidit, & auris non audivit; nec in cor Hominis ascenderunt quæ præparavit Deus iis qui diligunt illum.* Mox subjungit: *Nobis autem revelavit Deus per Spiritum suum.* Hi sunt verè Sapientes & Potentes, hi & Nobiles & Prudentes.

Philip. iij. 20.

1. Cor. ij. 9.

ΚΕΦ. ΙΗ.

Καὶ χωρίς φησι τῶν οὐρανίων ἐκείνων, ἀπὸ τῶν παρόντων κρίνων, τοὺς ἁγίους, οὐκ ἐπιδοιάσεις πάντων ὑψηλοτέρους εἰπών· κρινέσθω δὲ οὕτως. Ναβουχοδονόσορ ὁ Βαβυλῶνος ἄρξας ὁπότε τὰ ἔθνη αὐτοῦ αὐτοῦ πάντα εἰς προσκύνησιν ἧς ἔτυχε κατασκευάσας εἰκόνος ἠθροίζετο· τοῦ δὲ Θεοῦ τοῦτο πανσόφως οἰκονομεῖτο· ἵνα καὶ ἡ τῶν παίδων ἀρετὴ πᾶσι γνώριμος καταστῇ, καὶ μάθωσι πάντες· ὅτι Θεὸς ἀληθὴς εἷς ὃς τοὺς οὐρανοὺς κατοικεῖ. Τρεῖς παῖδες, καὶ αὐτοὶ αἰχμάλωτοι καὶ τὴν ἐλευθερίαν ἀφῃρημένοι ἐπαῤῥησιάσαντο πρὸς αὐτὸν, καὶ πάντων πολλοῦ δέει προσκυνούντων, καὶ μηδ᾽ ὅλως εἰ μὴ πείθεσθαι τολμώντων· ἀλλὰ σχεδὸν ἀφώνων ἴσα καὶ τοῖς κτήσεσιν ἑλκομένων, αὐτοὶ τοσοῦτον ἀπέχοντες τοῦ τὰ ὅμοια τοῖς ἄλλοις παθεῖν, ὡς μηδ᾽ εὐσεβοῦντας ἀγνοεῖσθαι βούλεσθαι, μηδ᾽ ὑπομένειν λαθεῖν, ἀλλ᾽ εἰς ἀκοὴν πάντων λέγειν· Τοὺς Θεούς

CAPUT XVIII.

Quinetiam non habitâ ratione Cœlestium illorum, è solis his quæ in præsentiâ cernuntur, de conditione Sanctorum judicans, non dubitabis, me autore, omnium longè Hominum celsissimos pronunciare. Age rationes subducamus & æquâ lance rem trutinemus in hunc modum. Nabuchodonosor Babylonis Imperator, congregatis quibus præerat Gentibus ad adorationem statuæ quam auro fusam erexerat, tres Pueros liberè id recusantes offendit. Dei hoc ita sapientissimè moderante Providentiâ, ut & puerorum omnibus conspicua virtus fieret, & cuncti docerentur: unum esse unicè adorabilem Deum verum qui in Cœlis habitat. Tres Pueri, iique captivi, ac libertate privati, ausi sunt tanto Regi pa-

làm in os obsistere, & cunctos ad adorandum adigente metu, & ne mutiendo quidem aut hiscendo contra significare ullam quoquam audente rei nefariæ perperàm imperatæ recusationem: sed cunctis mutarum ritu pecudum quò trahebantur sequentibus: Ipsi tantum abfuerunt à simili cæteris vilitate; ut neque ignorari sint passi suam contrariam Regis errori de Religione sententiam: nec (quod facilè poterant) latêre in turbâ Plurimorum statuam adorantium, ipsi non id agentes, inobservati sustinuerũt. Sed coràm Regi cunctis audientibus dixerũt. *Deos tuos non colimus &*
Dan. iij. 18. *statuam auream quam erexisti non adoramus.* Quos cum, quasi præsentem Tyranni jussu mox luituros contumaciæ pœnam, terribilis illa Fornax excepisset; oblita sui ardoris est; atque ipsos velut venerata, custodivit incolumes. Vniversis qui tunc aderant, ac Rege ipso paulò

σου οὐ λατρεύομεν· καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστηκας, οὐ προσκυνοῦμεν· τούτους εἰς τιμωρίας λόγον καὶ ἡ φοβερὰ ἐκείνη παραλαβοῦσα κάμινος ἦν, οὐδὲ τὴν ἑαυτῆς ἐνέργειαν ὑπεδέξατο· ὥσπερ γὰρ καὶ αὐτὴ διδαλαβηθεῖσα τούτους ἀπαθεῖς κακῶν διεφύλαξε· καὶ πάντες καὶ βασιλεὺς αὐτὸς τὸν ἀληθῆ δι' ἐκείνων Θεὸν ἐπέγνωσαν· ἐκείνους οὐχ οἱ ἐν γῇ μόνον, ἀλλὰ καὶ ἐν οὐρανοῖς χοροὶ κατεπλάγησαν· καὶ γὰρ εἰς τὰς τῶν ἁγίων ἀνδραγαθίας οὐδὲ τοὺς ἐν οὐρανοῖς ἀπεῖναι· ἀλλὰ συμφοιτᾶν κἀκείνοις, ὁ θεῖος Ἀπόστολος ὑποφαίνει, θέατρον γάρ φησιν ἐγενήθημεν καὶ ἀγγέλοις καὶ ἀνθρώποις· ἔχεις τοιαῦτα καὶ ἐπὶ Ἠλίαν ὁρᾶν· ὃς εἷς ἄνθρωπος ὢν πρὸς πλείους ἴσχυσε διὰ τὸ τοῦ οὐρανίου πυρὸς καταγωγῆς· ἀλλὰ καὶ Μωυσῆς ὅλης Αἰγύπτου καὶ Φαραὼ τοῦ τυράννου περιεγένετο· τοῦτο καὶ ἐπὶ Δὼτ, τοῦτο καὶ ἐπὶ Νῶε, καὶ ἐπὶ πολλῶν ἴδοις ἑτέρων· οἵτινες τῶν φαινομένων πολλὴν εὐτέλειαν ὑπερχόμενοι, πολλῶν ἐκράτουν ἐπισήμων καὶ δυνατῶν.

priùs furente, per tres illos sic mirabiliter servatos Iuvenes Deum jam verum agnoscentibus. Hos equidem crediderim non Hominum magis terras incolentium, quàm in Cœlis degentium Spirituum admiratione ac plausu celebratos. Nam heroïca facinora Sanctorum haud quaquam esse ignota cælitibus Beatis; sed hos illis accursu & visu testes adesse, divinus innuit Apostolus dum
1. Cor. iv. 9. ait: *Spectaculum facti sumus & Angelis Hominibus.* Potes & hæc

in Eliâ videre qui unus homo cum esset, contra plurimos prævaluit, per devocationem ignis è Cœlo. Sed & Moyses universam Ægyptum & Pharaonem Tyrannum superavit. Idem in iis quæ de Loth, in iis quæ de Noë, quæ de multis aliis narrantur, cernere est, qui cum apparerent contemptibiles & debiles, multis illustribus & potentibus Superiores evaserunt.

ΚΕΦ. ΙΘ.

Ἑκάστῳ τῶν φαινομένων τὸ μὴ καὶ ἑτέρου τις ξένη φύσις πρὸς βοήθειαν ἐπιγένοιτο, τὸ ὅσον καθ' ἑαυτὸ ἀνεργαστόν ἐστι καὶ ἀκόσμητον. Καὶ γὰρ ἡ τοῦ Θεοῦ ἄφραστος σοφία μυστήρια καὶ τύπους διὰ τῶν ὁρωμένων δείκνυσιν, ὅτι περ ἡ ἀνθρωπίνη φύσις καθ' ἑαυτὴν οὖσα τὴν ἐντελῆ τῆς ἀρετῆς διακόσμησιν, καὶ τὴν πνευματικὴν εὐπρέπειαν τῆς ἁγιωσύνης ἐκτὸς εἰ μὴ καὶ τῆς θείας ἀπολαύσοι χειρὸς, ἀδύνατός ἐστιν ἐπιδείξασθαι· οἷον ἡ γῆ καθ' ἑαυτὴν μένουσα εἰ μὴ μετάσχοι τῆς διὰ τῶν γηπόνων ἐπιμελείας· εἶτα καὶ τὴν ἐκ τῶν ὄμβρων καὶ τοῦ ἡλίου καταδέξηται συνεργίαν, ἀνεπιτήδειός ἐστι καὶ ἥκιστα διαρκὴς πρὸς καρπογονίαν· Καὶ οἶκος δὲ πᾶς τοῦ ἡλιακοῦ τοῦδε δεῖται φωτὸς, ὅπερ οὐκ ἔστι τῆς αὐτοῦ ἐκείνου φύσεως· ἐπεὶ σκότους ἂν εἴη πεπληρωμένος καὶ ἄχρηστος· καὶ ἕτερα δὲ τούτοις ὁμοίως ἔχοντα ὄψει· τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἀδυνάτως καθ' ἑαυτὴν ἔχουσα τοὺς καρποὺς τῶν ἀρετῶν τελείους ἀποδι-

CAPVT XIX.

Vnius ferè cujusque quas videmus Rerum ea conditio est; ut ni eis subveniat alienæ naturæ auxilium, cum eo solo quantum in ipsis est ad operandum inutiles, informesque relinquantur. Hæc nobis ineffabilis Dei sapientia velut exempla & signa mystica proponit, ex quibus intelligi à nobis vult: naturam Humanam sibi relictam soli esse insufficientem ad exhibendum in se perfectum virtutum ornatum, & Spiritualem Sanctimoniæ decorem; nisi divinæ subsidio confortetur & vegetetur Manûs: sicuti Terra in suis manens naturalibus, nisi Agricolarum artibus laboribusque præparetur; prætereaque nisi & imbribus & Solis benignis corroboretur influxibus: inepta est & minimè sufficiens ad gignendos fructus. Similiter & domus quælibet ut fiat habitabilis, eget lumine Solari, alienæ utique

ab ipsâ naturæ; quo ſi careat, oppleta tenebris nulli ſit uſui. His ſimilia multa, circumducens quocumque oculos, videbis. Ad hunc igitur modum Humana quoque natura impotens per ſeipſam eſt, ad fructûs virtutum perfectos producendos: indigetque ad id operâ Spiritualis Agricolæ Animarum noſtrarum, qui eſt Spiritus Chriſti, alienæ profectò à noſtrâ naturæ, cum nos creaturæ; ipſe increatus ſit. Ejus autem in conferendo ſuo nobis adjutorio ſcopus eſt: ut excolendis arte ſibi propriâ Fidelium Cordibus; iis, inquam, quæ ſe totâ voluntate Spirituali colono tractanda & gubernanda præbent, efficiat ea feracia perfectorum Spiritûs fructuum: & lumen ejus ſplendeat in obtenebratâ perturbationibus affectuum pravorum Animæ noſtræ Domo.

δοῦναι, δεῖται τοῦ πνευματικοῦ γεωπόνου τὴν ἡμετέραν ψυχὴν, τουτέστι τοῦ πνεύματος τοῦ Χριστοῦ· ὅπερ καὶ αὐτὸ ξένον τῆς ἡμετέρας ἀτεχνῶς φύσεως· κτίσμα γὰρ ἡμεῖς· τὸ δὲ ἄκτιστον· ἵνα καὶ τῇ ἰδίᾳ τέχνῃ γεωργήσαν τῶν πιστῶν φημὶ τὰς καρδίας, τὰς ὅλῳ θελήματι ἑαυτὰς τῷ πνευματικῷ γεωργῷ παραδούσας τελείους τοὺς καρποὺς τοῦ πνεύματος ἀποδοῦναι παρασκευάσῃ, λάμψῃ τε τὸ ἑαυτοῦ φῶς ἐν τῇ ἐσκοτισμένῃ τοῖς πάθεσι τῆς ψυχῆς ἡμῶν οἰκίᾳ.

CAPUT XX.

ΚΕΦ. Κ.

Duplex Chriſtianis indictum bellum eſt: in duplicem hi omnes committuntur luctam. Nam & ea quæ ſe corporis oculis objiciunt, invitant, titillando irritant & provocant Animam, ad ſe affectu complectenda, & oblatis per ipſa voluptatibus fruendum: ultráque hæc, ſpiſſum & operoſum reſtat certamen adverſus acrem inviſibilem Adverſarium, Principem Mundi hujus, ipſique ſubjectos Principatûs & Poteſtates.

Διπλοῦς ἐστι τοῖς χριστιανοῖς ὁ πόλεμος, καὶ διπλῆ ἡ πάλη· πρός τε τὰ ὁρώμενα τῷ ὀφθαλμῷ τούτῳ· ὑπερεθίζει γὰρ ταῦτα καὶ διαγαργαλίζει καὶ παρακαλεῖ τὴν ψυχὴν περιασπάζειν αὐτοῖς καὶ συνήδεσθαι· εἶτα καὶ πρὸς τὰς τοῦ δεινοῦ κοσμοκράτορος ἀρχὰς καὶ ἐξουσίας.

ΚΕΦ. ΚΑ.

Ἡ δόξα Μωσέως ἣν ἐπὶ τοῦ προσώπου εἶχε, τύπος τῆς ἀληθοῦς δόξης τοῦ παναγίου πνεύματος ἦν· ὃν γὰρ τρόπον ἐκεῖ πᾶς ὅστις ἀτενίσαι ἀδύνατος· οὕτω καὶ νῦν ταύτην τὴν δόξαν τῆς ψυχῆς χριστιανῆς ἐπιλάμπουσαν τὸ τῶν παθῶν σκότος οὐχ ὑπομένει· ἀλλ᾽ ὑπὸ τῆς αὐγῆς ταύτης ἀποδιωκόμενον φεύγεται.

CAPUT XXI.

Gloria Mosis quam in facie habuit, typus veræ Gloriæ Sanctissimi Spiritûs erat. quemadmodum enim illic, nemo poterat intendere oculos in Mosis faciem; sic & nunc resplendentem in Animâ Christianâ ejusmodi Gloriam Tenebræ vitiosorum affectuum non sustinent: sed ab illo abactæ fulgor diffugiunt.

Exod. xxxiv. 30. II. Cor. iii. 7.

ΚΕΦ. ΚΒ.

Τῷ φιλαλήθει καὶ φιλοθέῳ καὶ τῆς ἐπουρανίου γλυκύτητος γευσαμένῳ, ἔμφυτόν τε καὶ κεκραμένην ἐν τῇ ψυχῇ κεκτημένῳ τὴν χάριν, καὶ ὅλως ἑαυτὸν τοῖς θελήμασι τῆς χάριτος ἐπιτρέψαντι, πάντα τὰ τοῦ αἰῶνος τοῦδε διὰ μίσους ἐστί· κρείττων γὰρ οὗτος τῶν τοῦ κόσμου καθέστηκε πάντων· κἂν χρυσὸν εἴπῃς, κἂν ἄργυρον, κἂν τιμὰς καὶ δόξας, κἂν μακαρισμοὺς καὶ ἐπαίνους· ὑπ᾽ οὐδενὸς ἁλῶναι τῶν τοιούτων δύναται· καθότι πλούτου ἄλλου καὶ τιμῆς ἄλλης, ἑτέρας δὲ δόξης εἰς πεῖραν ἀφῖκται, καὶ ἡδονῇ ἀφθάρτῳ τρέφεται τὴν ψυχήν, καὶ αἴσθησιν ἔχει καὶ πληροφορίαν πᾶσαν διὰ τῆς κοινωνίας τοῦ πνεύματος.

CAP. XXII.

Ei qui veritatem & Deum amat, quique Cœlestem dulcedim gustavit, & insitam concretamque penitùs Animæ possidet Gratiam, totumque se arbitriis Gratiæ permisit: omnia sæculi hujus exosa sunt. Præstantior quippe hic & superior est quibuscumque Mundi rebus: sive Aurum dixeris, sive argentum; sive honores & dignitates, sive congratulationes & laudes. nullo talium capi potest. quoniam aliarum longè divitiarum, alterius excellentioris, splendidioris multò dignitatis gustum experiendo percepit. & voluptate incorruptibili Anima ejus alitur; sensuque intimo ac possessione beatâ communicatis ab

inhabitante ipsi Spiritu fruitur bonis.

CAP. XXIII.

Hujus tanta est supra vulgares Homines excellentia: quanto ratione præditus Pastor eminet fastigio supra brutas pecudes quas pascit. tantum, inquam, antistat mortalium cæteris sapientiâ, scientiâ, discretione, verè Spiritualis Homo; quippe qui longissimè præcellentis Spiritûs, incomparabiliter perspicacioris Mentis, Prudentiæ ac sapientiæ infinitis partibus supra omnem Mundi sapientiam eminentium participatione sapiat. In talium personâ unus ex iis ait Apostolus:
1. Cor. ij. 6. *Sapientiam loquimur inter Perfectos. sapientiam verò non hujus sæculi: sed loquimur Dei sapientiam in mysterio.* Propter hæc cunctis Hominibus, Mundi Spiritum habentibus, uti dictum est, seu Prudentiæ, seu Sapientiæ comparatione, ille à nobis descriptus immenso intervallo supereminet. Siquidem hic omnes Homines dijudicat, secundùm quod scriptū est.
1. Cor. ij. 15. Spiritualis, inquā, cognoscit unumquēque, discernens, unde loquatur, ubi stet, in quibus versetur.

ΚΕΦ. ΚΓ.

Οὗτος, ὁπόση τῷ λογικῷ ποιμένι διαφορὰ πρὸς τὰ ἄλογα θρέμματα, τοσοῦτον ἐν συνέσει τε καὶ γνώσει καὶ διακρίσει, τῶν ἀνθρώπων διαφέρων ἐστί· καὶ γὰρ ἄλλου πνεύματος, καὶ ἄλλου νοὸς, ἄλλης τε συνέσεως καὶ σοφίας παρὰ τὴν τοῦ κόσμου τούτου μετέχει σοφίαν· σοφίαν γάρ φησι λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου· οὐδὲ τῶν Ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ, μυστηρίῳ· διὰ ταῦτα καὶ πάντων τῶν ἀνθρώπων τὸ τοῦ κόσμου πνεῦμα ἐχόντων, καθάπερ εἴρηται, εἴτε φρονίμων εἴτε σοφῶν, ὁ τοιόσδε τοῖς ὅλοις διενήνοχε· καὶ πάντας μὲν ἀνθρώπους ἀνακρίνει, κατὰ τὸ γεγραμμένον· ὁ τοιοῦτος γινώσκει τε ἕκαστον πόθεν τε λέγει καὶ ποῦ ἕστηκε, ἐν ποίοις ἐστίν· αὐτὸν δὲ οὐδενὶ τῶν ἐχόντων τὸ τοῦ κόσμου πνεῦμα διαγινώσκειν τε καὶ ἀνακρίνειν δύναμις ὅτι μὴ ἐκείνῳ ᾧ τὸ ὁμοιόν ἐστι τῆς θεότητος πνεῦμα· κατὰ τὸν θεῖον Ἀπόστολον· πνευματικοῖς πνευματικὰ συγκρίνοντες· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γάρ ἐστι τούτῳ· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα· αὐτὸς ὑπ' οὐδενὸς ἀνακρίνεται·

ΚΕΦ.

Ipsum autem vicissim dignoscendi aut dijudicandi, nemini Spiritum mundi habentium facultas est. Hæc enim illi Soli reservatur, qui pariter cum eo Divinitatis impertitus Spiritu fuerit, ut ait de talibus loquens divinus Apostolus: *Spiritualibus Spiritualia comparantes. Animalis autem Homo non percipit quæ sunt Spiritus Dei. Stultitia enim est illi. Spiritualis autem judicat omnia: & ipse à nemine judicatur.* 1. Cor. ij. 13.

ΚΕΦ. ΚΔ.

Τοῦ παναγίου δέ φησι τούτου πνεύματος ἀμήχανον ἄλλως τυχεῖν, εἰ μὴ πάντων τις τῶν τοῦ αἰῶνος τούτου ξένος γενόμενος, πρὸς τὴν ζήτησιν τῆς τοῦ Χριστοῦ ἀγάπης ἑαυτὸν ἀποτάξειεν· ἵνα πασῶν τῶν κατὰ τὴν ὕλην μεριμνῶν ἀνεθεὶς ὁ νοῦς, περὶ τὸν ἕνα τοῦτον σκοπὸν ἀπασχολῆται μόνον· καὶ οὕτω καταξιωθείη μετὰ Χριστοῦ εἰς ἓν πνεῦμα γενέσθαι, ὥς φησιν ὁ Ἀπόστολος· ὁ κολλώμενος τῷ Κυρίῳ ἔσται εἰς ἓν πνεῦμα. Ψυχῇ δὲ τῇ ὅλως τινὶ τῶν τοῦ αἰῶνος τούτου συνδεδεμένῃ καὶ πρὸς αὐτὸ ἐχούσῃ, οἷον πλούτῳ ἢ δόξῃ, ἢ φιλίᾳ τῇ κατὰ κόσμον, οὐκ ἔσται δυνατὸν φυγεῖν καὶ διαπεράσαι τὸ σκότος τῶν πονηρῶν δυνάμεων.

CAP. XXIV.

Non aliter cuiquam contingere Sanctissimi hujus Spiritûs participatio potest, quam si tantum ambiens bonum, planè peregrinus factus ab hoc sæculo, totum se addicat ac mancipet inquisitioni caritatis Christi; ita ut omnibus, quæ circa materiam versantur, curis solutus Animus, uni huic intuendo & assequendo scopo vacet. quò sic dignus fiat in unum cum Christo coalescere Spiritum, ut ait Apostolus. *Qui adhæret Domino unus Spiritus est.* 1. Cor. vj. 17. Animæ verò quæ omninò cuipiam rerum hujus sæculi defixa est, aut in eam affectu aliquo propendet; puta divitiis, Gloriæ, aut Amicitiæ mundanæ, non erit possibile fugere, & trajiciendo perrumpere tenebras diabolicarum Potestatum.

ΚΕΦ. ΚΕ.

Αἱ φιλαλήθεις ψυχαὶ καὶ φιλόθεοι οὐδὲ τὴν βραχεῖαν ὕφεσιν τοῦ

CAPUT. XXV.

Veritatis & Dei amantes Animæ, ne brevem quidem ac

momentaneam relaxationem vel intermissionem admittere sustinent amoris quo erga Dominum flagrant : sed totæ ex toto Cruci hujus confixæ, Spiritualem profectum quo indesinenter adolescunt, sensu quodam intimo & arcaná intelligunt experientiâ. Vulneratæ igitur isto desiderio, &, ut sic dicam, famelicæ justitiæ omniumque virtutum, atque illustrationis Boni Spiritùs, etsi Mysteriis dignatæ divinis sint; etsi lætitiæ Cœlestis & Gratiæ factæ participes, non tamen in se confidunt, neque esse se aliquid putant. Sed quantò abundantiùs dignantur Spiritualibus donis, tantò avidiùs inexplebiliter inhiant ulteriori participationi Cœlestium gratiarum; tantóque ad hanc se laboriosiùs & contentiosiùs enitendo disponunt. Rursùs quantò dulciùs sentiunt se proficere in Spiritu, tantò quasi gulosiùs; irritato videlicet inde gustu; appetunt uberiorem perceptionem deliciarum earumdem: & Spiritualiter locupletatæ, sibi quantum in ipsis est, pauperes videntur juxta divinam Scripturam: *qui edunt me adhuc esurient : & qui bibunt me, adhuc sitient.*

Eccl. xxiv. 29.

ἐξ ἀνθρώπων ὕβρεις, καὶ τὰ ὀνείδη, πρὸς δὲ καὶ τὰς ἐκ τῶν ἀοράτων ἐπιβουλὰς εὐψύχως καὶ καρτερικῶς ὑποφέρειν· κατ᾽ οἰκονομίαν γὰρ Θεοῦ τὸ δοκίμιον τῆς ψυχαῖς τῶν διαφόρων παραχωρεῖται θλίψεων· ἵνα φανεραὶ γένοιντο πάντως αἱ γνησίως ἀγαπῶσαι τὸν Κύριον· σημεῖον δὲ τοῖς ἐκ παντὸς αἰῶνος Πατριάρχαις τε καὶ προφήταις, καὶ ἀποστόλοις καὶ μάρτυσι διὰ τῆς στενοπόρου τῶν πειρασμῶν καὶ τῶν θλίψεων διελθεῖν ὑπῆρξε, καὶ οὕτως εὐαρεστῆσαι Θεῷ· τέκνον, γάρ φησιν ἡ γραφή, ἐὰν προσέρχῃ δουλεύειν Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον· καὶ ἀλλαχοῦ δέ· τὰ ἐπιφερόμενά σοι πάντα ὡς ἀγαθὰ πρόσδεξαι· εἰδὼς ὅτι ἄνευ Θεοῦ οὐδὲν γίνεται· τῆς ὑπομονῆς τοίνυν καὶ τῆς ἐλπίδος πρὸ παντὸς ἄλλου ψυχῇ τῇ εὐαρεστῆσαι Θεῷ βουλομένῃ ἀντιληπτέον· μία γὰρ καὶ αὐτὴ τῆς κακίας τέχνη, ἀκηδίαν ἡμῖν ἐμβάλλειν ἐν καιρῷ θλίψεως, ἵνα τῆς πρὸς τὸν Κύριον ἀποστήσῃ ἐλπίδος· οὐδέποτε δὲ Θεὸς ἐπὶ ἐπ᾽ ἐκείνου ἐλπίζουσαν καταπονηθῆναι τοῖς πειρασμοῖς, ὥστε καὶ ἐξαπορηθῆναι· πιστὸς γάρ, ὁ Απόστολός φησιν, ὁ Θεὸς ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε·

ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν· καὶ ὁ πονηρὸς δὲ οὐχ ὅσον ἐκείνῳ θέλησις λυπεῖ τὴν ψυχήν· ἀλλ' ὅσον αὐτῷ ἐφεῖται παρὰ τοῦ Θεοῦ· εἰ γὰρ ἀνθρώποις οὐκ ἄδηλον, πόσον ἂν ἡμιόνῳ βάρος, πόσον δὲ ὄνῳ, πόσον δὲ καμήλῳ, ἀγώγιμον εἴη· ἀλλὰ τὸν φόρητον ἑκάστῳ φόρτον ἐπιτίθησι· καὶ τῷ κεραμεῖ δὲ δῆλον πόσον τῷ πυρὶ χρὴ τὰ σκεύη παραδοῦναι χρόνον, ἵνα μήτε πλέον ἐμμείναντα διαρραγῇ· μήτε πάλιν πρὸ τῆς ἀρκούσης πυρώσεως ἐκβληθέντα ἄχρηστα ᾖ· εἰ τοσαύτη περὶ τὸν ἄνθρωπον σύνεσις, οὐχὶ πολλῷ πλέον καὶ ἀπείρως πλέον, ἡ τοῦ Θεοῦ σύνεσις οἶδε πόσον ἑκάστῃ ψυχῇ τὸν πειρασμὸν δέον ἐπενεχθῆναι· ἵνα δόκιμος γένοιτο καὶ ἐπιτηδεία πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν.

Deus tantùm fatigari tentationibus permittit Animam in ipsum sperantem, ut ad incitas redacta, omnis inops Consilij, æstuet. *Fidelis enim* (ait Apostolus) *Deus est, qui non patietur vos tentari supra id quod potestis: sed faciet etiam cum tentatione proventum ut possitis sustinere.* (1. Cor. x. 13.) Neque verò Diabolus quantum ipsi libitum est affligit Animam: sed quâ mensurâ id agere finitur à Deo. Si enim Hominibus ignotum non est, quantum oneris portare mulus possit, quanto par ferendo sit Asinus, quanto Camelus. unde consentaneum cujusque viribus cuique pondus imponunt: Et si perspectum Figulo est quanto temporis spatio vasa in fornace relinqui debeant, ut & ad eam quam usûs eorum ratio poscit, soliditatem coctione attemperata durentur; nec tamen longius æquo ibi hærentia, ignis vi fracta dissiliant: Si tanta, inquam, in Homine prudentia est, multò, atque adeò infinitis partibus magis, divina Sapientia clarissimè perspicit, Animæ cuique quantum insit inditarum à se virium, ut ad eam proportionem accommodet pondus ipsi exploratissimum Tentationis, quam illi eo animo immittit, ut per eam probetur, & idonea regno Cœlorum fiat.

CAPUT XIV.

Sicut Cannabis mataxa nisi diù tunsionem ferat, non habebit, quem textrinæ ratio requirit, usum attenuationis in fila subtilissima: sed quantò passa tuditem longiùs fuerit, quantò radiis pectinum sulcata crebriùs & acriùs, tantò puriorem operabilioremque fingetur in massam. Et quemadmodum recens formatum ex argillâ vas, udum adhuc, & tactui vel levi cedens, quoad induratum igne fuerit, ineptum est usibus humanis. Denique veluti puer parvulus incapax est functionum vitæ, cum nec ædificare, nec plantare, nec semen in terram jacere ad hoc paratam valeat; aut aliud quid ex usu mundi hujus agere: Sic Animæ plerumque, licet divinæ participes gratiæ, etiamsi per Dei benignitatem indulgentem infantiæ ipsarum, perfusæ fuerint dulcedine Cœlesti, usque ad gustandam Spiritûs requiem: Nondum tamen probationibus exercitæ; nondum exploratæ Malorum Spirituum insultibus variis: quasi in cunis adhuc sunt; aut

ΚΕΦ. ΙΔ.

Ὥσπερ γὰρ τὸ κανάβεως χρῆμα εἰ μὴ ἐπιπολὺ τυπτόμενον διαμείνῃ, οὐκ ἂν γένοιτο χρήσιμον εἰς λεπτοτάτων νημάτων ἐργασίαν· ἀλλ' ὅσῳ περ ἂν τύπτοιτο καὶ ὅσον ξαίνοιτο, τοσοῦτον καθαρώτερόν τε καὶ εὐχρηστότερον γίνεται· καὶ ὃν τρόπον τὸ νεόπλαστον σκεῦος μὴ πυρὶ βληθὲν χρῆσθαι τοῖς ἀνθρώποις ἀνεπιτήδειον· καὶ ὡς τὸ νήπιον ἔτι πρὸς τὰ τοῦ κόσμου ἔργα ἀδόκιμον· οὔτε γὰρ οἰκοδομεῖν, οὐ φυτεύειν, οὐ σπόρον κατατιθέναι, δύναται, οὐχ ἕτερόν τι τῶν τοῦ κόσμου ἔργων ἀνύειν· οὕτω καὶ ψυχαὶ πολλάκις κἂν θείας μετέχωσι χάριτος, καὶ εἶεν ἐμπληροφορούμεναι τῇ γλυκύτητι καὶ τῇ πνεύματος ἀναπαύσει, διὰ τὴν αὐτῶν νηπιότητα τῇ τοῦ Κυρίου χρηστότητι, ἀλλ' οὖν μήπω δοκιμασθεῖσαι, μηδ' ὑπὸ τῶν πονηρῶν πνευμάτων διαφόροις ἐξετασθεῖσαι θλίψεσιν, ἔτι τὸ νηπιότητος ἔχονται, καὶ, ἵν' οὕτως εἴπω, οὐδέπω πρὸς τὴν οὐρανῶν βασιλείαν ἐπιτηδείως ἔχουσιν· εἰ γὰρ χωρίς ἐστε, φησὶν ὁ Θεῖος Ἀπόστολος παιδείας ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί· ὥστε καὶ οἱ πειρασμοὶ καὶ αἱ θλίψεις κατὰ τὸ λυσιτελὲς ἐπάγονται τῷ

ἀνθρώπῳ, δοκιμωτέραν οὕτω καὶ στῤῥοτέραν ἐργαζόμεναι τὴν ψυχήν· καὶ εἴπερ εἰς τέλος ὑπομένοις μετ' ἐλπίδος τῆς πρὸς τὸν κύριον, ἀμήχανον ἀποτυχεῖν αὐτὸν τῆς ἐπαγγελίας τοῦ πνεύματος, καὶ τῆς ἀπολυτρώσεως τῶν κακίας παθῶν.

nihil ultrà puerilem progressæ balbutiem. Vnde ausim eas dicere, necdum aptas regno Dei, vel satis ad id maturasse. Et enim *Si extra disciplinam* (ait divinus Apostolus) *estis, cujus participes facti sunt omnes: ergo adulteri, & non filij estis.* Hebr. xij. 8.
Itaque & tentationes & tribulationes utiliter immittuntur Homini; utique probatiorem & robustiorem ejus animam reddentes quas si ad finem usque pertulerit, cum spe ad Dominum; abesse non poterit quin consequatur promissiones Spiritûs, & liberationem à perturbationibus affectuum pravorum.

ΚΕΦ. ΙΕ.

Ὥσπερ πολλαῖς βασάνοις διωμιληκότες οἱ μάρτυρες, καὶ θανάτου μέχρι τὰ τῆς καρτερίας ἐπιδειξάμενοι, στεφάνων οὕτω τῆς δόξης γεγόνασιν ἄξιοι· καὶ ὅσῳ πλείοσι καὶ χαλεπωτέροις τοῖς ἐπιπόνοις ἐχρήσαντο, πλείονα καὶ τὴν δόξαν καὶ τὴν πρὸς Θεὸν ἐκτήσαντο παῤῥησίαν· κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχαὶ διαφόροις παραδοθεῖσαι θλίψεσιν, ἢ ταῖς φαινομέναις τὰς ἐξ ἀνθρώπων ἐπερχομένοις, ἢ ταῖς νοουμέναις λογισμοῖς ἀτόποις ἐγγινομένοις, ἢ νόσοις σωματικαῖς ἀποπικτομέναις, εἰ μέχρι τέλους τὴν ὑπομονὴν διενέγκωσι, τῶν αὐτῶν τοῖς μάρτυσι στεφάνων, καὶ τῆς αὐτῆς ἐπιτεύξονται παῤῥησίας· ἐπεὶ καὶ τὸ μαρτύριον τῶν θλίψεων, ὅπερ σκεῦοι

CAPVT XV.

Quemadmodum per multa traducti tormenta Martyres, postquam usque ad ipsam etiam perferendam mortem robur invictæ fortitudinis ostenderunt: coronis sic Gloriæ facti sunt digni. ac quantò pluribus & gravioribus perfuncti laboribus sunt, tantò majorem apud Deum mensuram claritatis, gratiæque, ac quasi autoritatis ad impetranda suis clientibus beneficia, sunt adepti: Pariter Animæ diversi generis tribulationibus traditæ, sive iis quarum & effectus & causæ cernuntur palàm; ut pote illatarum ab Hominibus; aut morbis corporeis extantium: sive

latentibus intra mentium arcana; appulsu videlicet molesto cogitationum immundarum, & pravis inde contrà piam voluntatẽ exurgentibus motibus rebellantium affectuum. Quas ærumnas si patienter, perseverando usque ad finem, toleraverint, easdem cum Martyribus coronas, eamdem apud Deum consequentur gratiam: quandoquidem Martyrium tribulationum, quod Martyres ab Hominibus sunt passi; Hi ab impressionibus acerbis infestorum ipsis malignorum Spirituum pertulerunt. ac quantò plures hi quoque gravioresque adversantis insultûs Diaboli perpessi fuerint, tantò abundantiorem Gloriam, non in futurum solùm à Deo recipient: sed & hîc quoque uberiori dignabuntur Spiritûs consolatione.

δι' ἀνθρώπων, οὗτοι διὰ τῶν πονηρίας πνευμάτων ἐκείνοις ἐνεργησάντων ὑπομεμενηκότες εἰσὶ, καὶ ὅσῳ πλείους καὶ οὗτοι τοῦ ἀντικειμένου θλίψεις ὑπήνεγκαν, τοσούτῳ καὶ πλείονα τὴν δόξαν οὐκ εἰς τὸ μέλλον μόνον ἐκ Θεοῦ κομιοῦνται· ἀλλὰ κἀνταῦθα τῆς τοῦ ἀγαθοῦ πνεύματος ἀξιωθήσονται παρακλήσεως.

CAPUT XVI.

ΚΕΦ. ΙϚ.

Quandoquidem in confesso est, arctam & angustam esse viam quæ ducit ad vitam: ideóque paucos esse qui per eam transeunt: omnis Diaboli tentatio propter nobis repositam in Cœlis spem, robustè ac constanter sustinenda est. quantascumque enim tandem tribulationes pertulerimus, quid hæ comparandum habent, aut cum futurâ repromissione: aut cum jam hîc prærogari solitâ consolatione Boni Spiritus; aut cum liberatione à Caligine

Ἐπεὶ τοιαύτη ὡμολόγηται ἡ πρὸς τὴν ζωὴν φέρουσα στενή τε καὶ τεθλιμμένη, καὶ διὰ τοῦτο καὶ ὀλίγους ἔχει τοὺς ταύτην διερχομένους, πᾶσαν τοῦ πονηροῦ πεῖραν διὰ τὴν ἐν οὐρανίοις ἀποκειμένην ἐλπίδα στερρῶς ὑπομενετέον· ὅσας γὰρ ἂν καὶ ὑπενέγκοιμεν θλίψεις, τί ἀντάξιον ἢ πρὸς τὴν μέλλουσαν ἐπαγγελίαν, ἢ πρὸς τὴν ἐντεῦθεν ἐγγινομένην τῆς ψυχῆς ὑπὸ τοῦ ἀγαθοῦ πνεύματος παράκλησιν, ἢ πρὸς τὴν ἀπολύτρωσιν τοῦ σκότους τῶν παθῶν τῆς κακίας, ἢ πρὸς τὸ τῶν χρεῶν πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν, εἰσοίσομεν·

οἴσομεν· οὐ γὰρ ἄξιά φησι τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· πάντα γὰρ, ὡς εἴρηται, καρτερητέον διὰ τὸν Κύριον δεῖ, οἷα γενναίους στρατιώτας τοῦ Βασιλέως ἡμῶν ὑπεραποθνήσκοντας· διὰ τί γὰρ ὅτε τῷ κόσμῳ καὶ τοῖς βιωτικοῖς προσείχομεν πράγμασιν, οὐ λυπηροῖς τοιούτοις περιεπίπτομεν· ἀλλὰ νῦν ἐπεὶ προσήλθομεν δουλεῦσαι Θεῷ, τοὺς πολυτρόπους τούτους πειρασμοὺς ὑπομένομεν; ὁρᾷς ὅτι διὰ τὸν Χριστὸν αἱ θλίψεις, φθονοῦντος ἡμῖν τοῦ ἀντικειμένου τῆς τῶν ἐλπιζομένων ἀνταποδόσεως, χαύνωσίν τε καὶ ῥᾳθυμίαν ἐνθεῖναι ταῖς ἡμετέραις βουλομένου ψυχαῖς· ἵνα μὴ εὐαρέστως ζήσαντες τούτων ἀξιωθῶμεν· πᾶσαι αἱ καθ' ἡμῶν ἐκείνου μηχαναὶ λύονται τῇ τοῦ Χριστοῦ συμμαχίᾳ· καὶ τὸν ὑπερασπιστὴν ἡμῶν καὶ ὑπέρμαχον ἐκεῖνον· ἐνθυμηθῶμεν ὅτι καὶ αὐτὸς τὸν αἰῶνα τοῦτον οὕτω διώδευσεν, ὀνειδιζόμενος, διωκόμενος, ἐμπαιζόμενος· τέλος καὶ ἀτίμῳ θανάτῳ διὰ σταυροῦ τελειούμενος.

pravarum inclinationum ; aut cum multitudine debitorum quibus ob peccata nostra divinæ sumus justitiæ obstricti ? *Non* enim *sunt* (ait) *condignæ passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis.* Omnia ergo, ut dictum est ferre fortiter debemus, propter Dominum ; uti generosi Milites ne mori quidem pro nostro Imperatore dubitantes. Cur enim quando Mundo & sæcularibus attendebamus rebus, molestias eas in quas postea incidimus, non experiebamur : sed nunc cum accessimus ad serviendum Deo, multiplices illas tentationes patimur ? vides propter Christum has in nos immitti tribulationes ab Adversario invidente nobis speratas retributiones, languoremque ac desidiam injicere Animabus nostris studente, ne ad Dei beneplacitum vitâ transactâ, promissis præmiis donemur. Omnes ejus contra nos irritæ fiunt machinæ Christi pro nobis unà cum nobis pugnantis auxilio. Hic enim magnus, hic invictus nobis protector & Propugnator præstò est. Reputemus animo, ipsum quoque quando pertransivit hoc sæculum, paria his & acerbiora subiisse, opprobriis oneratum, impugnatum, irrisum, denique ignominiosâ morte per Crucem consummatum.

CAP. XVII.

Si voluerimus omnem tribulationem & tentationes ſuſtinere facilè, mors propter Chriſtum optetur à nobis, & is ſcopus voti noſtri obverſetur perpetuò mentis noſtræ oculis. Ea quippe eſt ſententia impoſiti nobis à Chriſto præcepti, tollendi Crucem noſtram & ſequendi ipſum: Quod ſignificat, paratos nos eſſe debere ad moriendum ejus causâ. Si ſic affecti præparatique animo fuerimus, omnem, ut dictum eſt, tribulationem internam & apparentem facilitate perferemus magnâ. Mori enim utique pro Chriſto cupiens, quæ tandem ægrè ferre adverſa vel moleſta ſibi supervenientia poterit? ob hoc ipſum enim graves eſſe putamus tribulationes quia nobis non placet pro Chriſto mori, nec ſpes ac rationes noſtras ex eo ducere ſuſpenſas. Cæterùm qui Chriſtum poſſidere, & tam opimam hereditatem deſiderat cernere, ejus quoque imitari atque in ſe repræſentare paſſiones ſimiliter concupiſcat. Quare qui ſe dicunt amare Dominum, in eo demonſtrabunt, an verè id affirment, ſi omnem ipſis ſupervenientem tribulationem non generosè

ΚΕΦ. ΙΖ.

Εἴπερ βουλοίμεθα θλῖψιν ἅπασαν καὶ τοὺς πειρασμοὺς ὑπομένειν ῥαδίως, ὁ διὰ Χριστὸν θάνατος ἐπιθυμητὸς ἡμῖν ἔστω, καὶ πρὸ ὀμμάτων διαπαντός· τοιοῦτον γὰρ ἡμῖν καὶ ἐπίταγμα τὸ σταυρὸν αἴροντας αὐτῷ ἀκολουθεῖν· ὅπερ ἐστὶν εὐπρεπεῖς εἶναι καὶ ἑτοίμους πρὸς τὸ ἀποθανεῖν· ἂν οὕτω διακείμενοι ὦμεν, πᾶσαν, ὡς εἴρηται, θλῖψιν ἀφανῆ τε καὶ δήλην κατὰ πολὺ τὸ ῥᾷον ὑπομενοῦμεν· ὁ γὰρ καὶ ἀποθανεῖν ὑπὲρ Χριστοῦ δι' ἐπιθυμίας ἔχων, σχολῇ γ' ἂν πρὸς τὰ ἐπίπονα καὶ λυπηρὰ δυσχεραίνοι; παρὰ τοῦτο γὰρ καὶ βαρείας εἶναι τὰς θλίψεις ἡγούμεθα, παρὰ τὸ μὴ τὸν ὑπὲρ Χριστοῦ θάνατον καταθύμιον ἔχειν, μηδὲ πάντοτε Χριστῷ τὴν διάνοιαν ἀναρτᾷν· ὁ δὲ ἐκεῖνον κληρονομῆσαι ἐπιθυμῶν, καὶ τὰ αὐτοῦ πάθη ζηλοῦν ὁμοίως ἐπιθυμείτω· ὥστε οἱ τὸν Κύριον ἀγαπᾷν λέγοντες ἐν τούτῳ φανεροὶ γίνονται, ἐν τῷ πᾶσαν θλῖψιν ἐπερχομένην οὐ γενναίως μόνον, ἀλλὰ καὶ περιθύμως διὰ τὴν εἰς αὐτὸν φέρειν ἐλπίδα.

modò, sed libenter etiam & amanter, ob spem in ipso positam, ferant.

ΚΕΦ. ΙΗ.

Χρὴ πρότερον τὸν τῷ Χριστῷ προσεληλυθότα, καὶ πρὸς βίαν πρὸς τὸ ἀγαθὸν ἕλκειν ἑαυτὸν, οὐκ ἐθελούσης ἡμῶν τῆς καρδίας· βιαστὴ γάρ φησιν ὁ ἀψευδὴς Κύριος, ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν· ἀγωνίζεσθαι πάλιν αὐτὸν εἰσελθεῖν διὰ τῆς στενῆς θύρας· χρὴ τοίνυν ὡς εἴρηται, καὶ κατὰ τὸ ἀβούλητον ἑαυτοὺς πρὸς τὴν ἀρετὴν συνωθεῖν, πρὸς ἀγάπην μὴ ἔχοντας ἀγάπην, πρὸς πραότητα ταύτης ὄντας ἐν ἀπορίᾳ, πρὸς τὸ συμπαθὲς καὶ φιλάνθρωπον τὴν καρδίαν ἔχειν, πρὸς τὸ ἀνέχεσθαι ἀτιμίας καὶ παροράσεως, καὶ τοῖς ἐξουθενημένοις ἐγκαρτερεῖν· οὔπω ταύτην ἐσχηκότας τὴν ἕξιν πρὸς εὐχὴν, μήπω πνεύματος εὐχὴν κεκτημένους, ἂν οὕτως ἀγωνιζομένους ὁ Θεὸς ἴδῃ, καὶ ἀναγκαίως ἑαυτοὺς, ἀντιστρατευούσης ὥσπερ ἡμῶν τῆς καρδίας, πρὸς τὸ ἀγαθὸν ἕλκοντας, δίδωσιν εὐχὴν ἀληθινὴν, δίδωσι σπλάγχνα οἰκτιρμῶν, ὑπομονὴν, μακροθυμίαν, καὶ ἁπαξαπλῶς πληροῖ πάντων ἡμᾶς τῶν καρπῶν τοῦ πνεύματος· εἰ δέ τις καὶ τῶν ἄλλων ἀρετῶν ἐπιδεὴς ὢν, πρὸς μὲν εὐχὴν μόνην εἰ τύχοι καὶ

CAPVT XVIII.

Eum qui ad Christum accessit oportet ante omnia, etiam per vim ad bonum trahere se ipsum, quamvis reluctante nostro Corde. *Vim enim patitur* (ait mentiri nescius Dominus) *Regnum Cælorum, & violenti rapiunt illud.* Mat. xj. 12. Opus quoque est eumdem contendere intrare per augustam portam. Oportet igitur, ut dictum est, ipsos vel invitos adigere se ad virtutem; ad Caritatem qui caritate carent; ad mansuetudinem qui hâc indigent; ad habendum cor humanum & miseriis alienis compatiens; forte quin etiam ad sustinendas æquo animo ignominias & despectus, & in pace durandum etiam cum vilipenditur. Quos sic laboriosè certantes Deus viderit, subjugantesque vi multâ rebellantem inutiliter naturam, & frangentes contumaciam cordis trahi ad bonum recusantis, eos etsi nondum Orationi assueverint; nondum in gradum illum mysticæ Orationis eximium, quod pecu-

liare S. Spiritûs donum est, evecti fuerint, miseratus & remunerans heroïcum conatum, gratiis auget Clemens Dominus: dat illis orationem veram, dat viscera misericordiæ, patientiam, longanimitatem, & ut semel dicam, replet nos omnibus fructibus Spiritùs. Si verò quis aliarum quidem egens virtutum sit: ad orationem tamen solam ipsum contingat, vi etiam sibi factâ, incumbere: ita ut donum Orationis aliquod assecutus sit: ad parandam autem mansuetudinem, Humilitatem, Caritatem, & totam illustrem illam Familiam Virtutum; prætereáque ad firmam obtinendam fidem fiduciamque in Christum, remissus sit ac negligens; Tali aliquando datur Oratio illa gratiæ ex parte in gaudio & quiete, juxta illius desiderium à Bono Spiritu: sed aliorum idem expers manet omnium bonorum: eo quòd ad eorum quoque acquisitionem, vim sibi non inferat, ut dictum est, nec à Christo ea postulet. Oportet enim non solùm ad prædicta urgere se ipsum etiam invitum; & à Deò eadem eo usque quoad assequamur, petere. Sed & invi-

παραβιάζοιτο ἑαυτὸν ὥστε ἔχειν εὐχῆς χάρισμα, πρὸς δέ γε πρᾳότητα, πρὸς ταπεινοφροσύνην, τε καὶ ἀγάπην, καὶ πᾶν τὸ εὐγενὲς φῦλον τῆς ἀρετῆς· ἔτι καὶ πρὸς τὸ βέβαιον εἶναι τὴν πίστιν καὶ τὴν πεποίθησιν εἰς τὸν Χριστὸν, ὀλιγώρως ἔχει καὶ ἀμερίμνως· τῷ τοιούτῳ ἐνίοτε μὲν εὐχῆς δίδοται χάρισμα ἐκ μέρους ἐν εὐφροσύνῃ καὶ ἀναπαύσει κατ' ἐκείνου ζήτησιν παρὰ τοῦ ἀγαθοῦ πνεύματος· ἔρημος δὲ τῶν ἄλλων πάντων μένει καλῶν, τῷ μὴ πρὸς τὴν ἐκείνων κτῆσιν ἀποβιάσασθαι ἑαυτὸν, ὥσπερ εἴρηται, μηδὲ δεηθῆναι Χριστοῦ· χρὴ γὰρ μὴ πρὸς τὰ εἰρημένα μόνον ἑαυτὸν καὶ ἄκοντα συνωθεῖν, καὶ παρὰ Θεοῦ αἰτεῖν τοῦ λαβεῖν. ἀλλὰ καὶ πρὸς τὸ τὰ μὴ χρήσιμα τῶν ῥημάτων καὶ ὅλως ἀργὰ, μηδὲ γλώττης ἄξια κρίνειν· διαμελετᾶν δὲ ἀεὶ καὶ στόματι καὶ καρδίᾳ τὰ τοῦ Θεοῦ λόγια· ἔτι πρὸς τὸ μὴ θυμοῦσθαι μηδὲ κραυγῇ χρῆσθαι· πᾶσα γάρ φησι πικρία καὶ ὀργὴ καὶ κραυγὴ ἀρθήτω ἀφ' ἡμῶν· πρὸς τὸ μὴ καταλαλεῖν τινὸς, μὴ κρίνειν, μὴ φυσιοῦσθαι, ἵν' οὕτως ἰδὼν ὁ Κύριος ἑαυτὸν ὡς εἴρηται ἄρχοντα καὶ πρὸς βίαν συνέλκοντα, παράσχῃ πάντως τὸ ἀπονητὶ καὶ ῥᾳδίως ποιεῖν ἃ πρότερον οὐδὲ μετὰ βίας, διὰ τὴν σύνοικον πονηρίαν, ἐνεργεῖν ἐνῆν· καὶ τότε γίνεται αὐτῷ πάντα ταῦτα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα

ὥσπερ φύσις· ἐπεὶ καὶ τὸ λοιπὸν ὁ Κύριος κατὰ τὴν ἐπαγγελίαν ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷ, αὐτὸς ὁμοίως ἐν τῷ Κυρίῳ, αὐτὸς ἐν ἐκείνῳ μετὰ πολλῆς εὐπετείας τὰς ἐντολὰς ἐκπληροῖ.

gilare vitæ puritati, usque ad morosam dijudicationem non utilium aut prorsùs otiosorum verborum: meditari autem semper ore & corde divina oracula; attentione etiam censuræ abundante ad comprimendos inordinatos motus, cavendumque ne irascatur, ne jurgans exclamet. *Omnis enim*, ait, *amaritudo & ira, & clamor tollatur à vobis.* Ephes. iv. 31. Similiter vitet murmurare de quoquam, vitet judicare temerè, vitet inflari despiciendo superbè alios. Sic enim se gerens consequetur ut Dominus ipsum sibi acriter imperantem cernens, ac trahentem se ad bonum multo nisu, vique adhibitâ, tribuat illi omninò gratiam facilè ac sine labore agendi, quæ priùs vix conatu anhelo, ac summâ contentione, propter reluctantem innatam corruptionem, poterat exequi. & tunc redduntur ipsi cuncta hæc officia virtutis, sic prona & suavia factu, quasi ea quæ naturaliter operatur. quoniam de cætero Dominus, juxta promissionem, ingressus in ipsum est, & in eo residet, uti vicissim & ipse in Domino. unde in ipso Dominus intimè habitans, sua ipse intra eum & per eum mandata multâ facilitate implet.

ΚΕΦ. ΙΘ.

Ο εἰς εὐχὴν ἀποβιασάμενος ἑαυτὸν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, πρὸς ταῦτα δὲ πρὸς ταπεινοφροσύνην, πρὸς ἀγάπην, πρὸς πρᾳότητα καὶ τὸν τῶν ἄλλων ἀρετῶν ὁρμαθὸν μὴ ἐκπονῶν ἑαυτὸν μηδὲ βιαζόμενος, τοιούτῳ πέρατι καταντᾷ· ἐνίοτε γὰρ αὐτῷ δεομένῳ καὶ θεία χάρις ἐπιφοιτᾷ· ἐπεὶ καὶ ἀγαθὸς ὢν ὁ Θεὸς ὀρέγει τοῖς αἰτοῦσι φιλανθρωπότερον τὰ αἰτήματα·

CAPUT XIX.

Qui ad Orationem duntaxat vi se adhibitâ cogit, uti priùs exposui; præterea vero ad Humilitatem, ad Caritatem, ad Mansuetudinem, aliarumque virtutum Chorum in se accersendum non elaborat, nec se in id violentiâ salutari adigit; ad hunc tantummodò profectûs terminum potest pertingere; ut interdum ei pos-

centi divina Gratia adveniat. Quoniam pro innatâ sibi bonitate Deus petentibus amanter annuit quæ volunt. Cum autem is non assuefecerit seipsum, nec usu tritum exercitando sese fecerit in praxi cæterarum, quas memoravimus, virtutum; aut excidit gratiâ quam acceperat; & elatus in superbiam labitur: aut in illo quem attigit gradu persistit, non proficiens, nec crescens. Ferè enim sedes ac requies est Boni Spiritûs Humilitas, Caritasque ac Mansuetudo, & quæ continâ serie sequuntur Sanctis Christi mandatis præceptæ laudes. qui ergo voluerit harum complexu concursuque pariter omnium per assiduum augmentum ad perfectionem tandem pertingere, primùm quidem vim inferat sibi, ut dictum est, & contumaciter reluctans ac rebellans cor suum docile & morigerum Deo efficere studeat. Etenim qui sic sibi vim prius intulerit: & quidquid est in Animâ rebelle, totum id, velut cicuratam belluam, patiens jam imperij, & obediens ad nutum rectæ rationi, ac Sanctæ disciplinæ, reddiderit: quique cum adeò

μὴ συνεθίσας δὲ ἑαυτὸν, μηδὲ ἐντριβῆ καὶ γεγυμνασμένον πρὸς τὰς ἀρετὰς ἃς ἔφημεν καταστήσας, ἢ ἐκπίπτει τῆς χάριτος ἧς ἔλαβε, καὶ ὑψηλοφρονήσας πίπτει, ἢ ἐν αὐτῇ ταύτῃ οὐκ ἐπιδίδωσιν, οὐδὲ αὔξει· ὡς γὰρ φάναι, τὸ κατοικητήριόν τε καὶ ἀνάπαυσις τοῦ ἀγαθοῦ πνεύματος, ἡ ταπεινοφροσύνη ἐστὶν, ἥ ἀγάπη τε καὶ πρᾳότης, καὶ ἀκολούθως αἱ ἅγιαι τοῦ Χριστοῦ ἐντολαί· ὁ τοίνυν βουλόμενος διὰ πασῶν τούτων εἰς αὔξησιν, καὶ τελείωσιν προελθεῖν, τὸ μὲν πρότερον βιαζέσθω ἑαυτὸν, ὥσπερ εἴρηται, καὶ φιλονεικοῦσαν ἑαυτοῦ τὴν καρδίαν καὶ ἀντιπείζουσαν ἐνδοτικὴν καὶ πειθήνιον τῷ Θεῷ ποιεῖν σπουδαζέτω· τῷ γὰρ οὕτω βιασαμένῳ πρότερον, καὶ τὸ ἀντιτεῖνον τῆς ψυχῆς ὅλον οἱονεὶ χειρόηθες καταστήσαντι ἔθει τῷ χρηστῷ, κατήκοον ἐκείνῳ ποιησαμένῳ, καὶ μεθ' οὕτως ἰσχύσης ψυχῆς αἰτοῦντι καὶ δεομένῳ, αὔξει καὶ θάλλει ἐν αὐτῷ τὸ δοθὲν ὑπὸ τοῦ πνεύματος τῆς εὐχῆς χάρισμα τῷ μετρίῳ τοῦ φρονήματος ἐπαναπαυόμενον· ὃ πρὸς τῇ ἀγάπῃ, καὶ τῇ ἀγαπητικῇ πρᾳότητι ἐπεζήτησε· καὶ τότε χαρίζεται αὐτῷ ταῦτα τὸ πνεῦμα, ὃ διδάσκει ταπεινοφροσύνην τὴν ἀληθῆ, καὶ ἀγάπην ἀψευδῆ καὶ πρᾳότητα, ἃ καὶ προβιασάμενος ἐπεζήτησε· οὕτως οὖν αὐξήσας καὶ τελειωθεὶς

καὶ Κύριος τῆς βασιλείας ἄξιος ἀποδείκνυται· ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει· ποῦ γὰρ καὶ πεσεῖται ὁ ὑποκάτω πάντων τό γε ἑαυτοῦ, ὤν; ὥστε μεγάλη μὲν ὑψηλοφροσύνη ταπείνωσις. μεγάλη δὲ τ' οὐναντίον ὕψωσις καὶ ἀσφαλὲς ἀξίωμα ἡ ταπεινοφροσύνη.

jam benè se habente Animâ, petierit, & Deum oraverit, ut promoveat quod cepit, obtinebit cumulatè quantum postulat; benignissimo Domino largè illi concessuro, ut crescat & floreat indultum ipsi à Spiritu Orationis Donum: quod in de se modicè sapientibus libenter & permanenter acquiescit. Hoc enim ipsum, ut dignaretur in se Sanctus Spiritus facere; stabile inquam Domicilium in suo corde figere; eóque secum Caritatem & caritatis prolem mansuetudinem ducere ac tenere, supplex expetierat. Et tunc gratificatur hæc illi Spiritus, & docet eum veram Humilitatem, Caritatemque non fictam, quas post illatam sibi vim poposcit. Sic igitur de cætero proficiens & perfectus in Domino, regno dignus declaratur. Humilis quippe numquam cadit. quò enim caderet qui, quantum in ipso est, imo semper loco sub rebus omnibus jacet? quare mirum quoddam superbiæ genus Humilitas est: resque planè contraria isti depressionem indicanti nomini; cum summa verè sit exaltatio, & apex celsissimæ dignitatis, ab omni præcipitij periculo securæ.

ΚΕΦ. Κ.

Οἱ πρὸς ἀλήθειαν τὸν Θεὸν ἀγαπήσαντες, οὔτε διὰ τὴν βασιλείαν αὐτῷ δουλεύειν προείρηνται, καθάπερ ἐμπορίας χάριν καὶ κέρδους· οὔτε μὴν διὰ τὴν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς κόλασιν· ἀλλ' ἅτε Θεὸν μόνον αὐτὸν καὶ δημιουργὸν ἴδιον ἠγαπηκότες, καὶ ἀκολουθίᾳ τάξεως ἐπιγνόντες ὅτι δεσπότῃ καὶ κτίστῃ δούλους εὐαρεστεῖν, ὀφειλό-

CAP. XX.

Qui Deum verè amaverunt, neque ob spem Regni elegerunt ei servire; quasi Mercatores, lucrum; aut Operarij, mercedem captantes: sed neque ob metum præparatæ Peccatoribus pœnæ: verùm in illum uti Deum solum & Creatorem proprium affectu inclinati, ex rectè conclusâ in-

de ratione consequenter agnoscentes, æquum ac justè debitum esse, ut creaturæ conditori, servi Domino, propter ipsam ejus excellentiam, placere ac gratificari studeant; hoc agunt & conantur sincero piæ voluntatis nisu: cui & parem mentis attentionem meritò adjungunt. Etenim ipsis multa est necessaria prudentia, si præcavere, quantum est necesse, velint, ne quotidiana quæ accidunt, impedimenta ipsis sint placendi Deo istâ intentionis puritate. siquidem non egestas solùm & ignominia, sed & opes & Honor tentationes Animæ fiunt. quin & ex parte, ipsa consolatio Spiritûs, ipsa illa beata quies ex inhabitantis dono gratiæ complectens Animam; nisi se illa tantum boni, merâ Dei liberalitate, nullo suo nactam merito, intimè sentiat, & multam insuper adhibeat, cum modicâ sui æstimatione, circumspectionem. Nam sine his, excellens hæc Gratia, valde pronum secum affert periculum præbendi ei quam ornat Animæ occasionem tentationis, & objiciendi profectui ejus obstaculum. Vt pote insidiatore malo Dæmone conari

μένον· οἱ καὶ πολλῇ τῇ συνέσει πρὸς τὰ περιπίπτοντα χρῶνται· πολλὰ γὰρ τὰ ἐμπόδια τῆς πρὸς Θεὸν τυγχάνει εὐαρεστήσεως· ἐπεὶ μηδὲ πενία μόνον καὶ ἀδοξία, ἀλλὰ καὶ πλοῦτος καὶ τιμὴ ὁμοίως πειρασμοὶ καθίστανται τῇ ψυχῇ· ἐν μέρει δέ πως καὶ ἡ παράκλησις αὐτὴ καὶ ἡ ἄνεσις ἐκείνη ἡ ὑπὸ τῆς χάριτος καταλαμβάνουσα τὴν ψυχὴν, εἰ μὴ αἴσθηται ταύτης ἡ καταξιωθεῖσα, καὶ πολλῷ τῷ μετρίῳ καὶ συμμέτρῳ χρήσηται, πολὺ τὸ δύσκολον ἔχει πρὸς τὸ πειρατήριον αὐτῇ μᾶλλον καὶ κώλυμα καταστῆναι· ἅτε κακίας προφάσει τῷ διὰ τῆς χάριτος ὑπολύειν αὐτῇ τὸν τόνον, χαύνωσίν τε καὶ ὀλιγωρίαν ἐνιέναι μηχανωμένης· διὸ καὶ αὐτὴ ἡ χάρις εὐλαβοῦς δεῖται πρὸς μετάληψιν καὶ εὐσυμμέτρου ψυχῆς· ὥστε καὶ τιμῆσαι ταύτην, καὶ ἀξίους τοὺς καρποὺς ἐπιδείξασθαι· κινδυνεύουσι τοίνυν οὐ τὰς θλίψεις μόνον, ἀλλὰ καὶ τὰς ἀνέσεις πειρατήριον γίνεσθαι τῇ ψυχῇ· καὶ δι' ἀμφοτέρων γὰρ αἱ ψυχαὶ τῷ κτίσαντι δοκιμάζονται· ἵνα δῆλοι σαφῶς γένωνται τίνες οἱ μὴ κέρδους αἰτίαν θέμενοι τὴν πρὸς ἐκεῖνον ἀγάπην· ἀλλ' αὐτοῦ μόνου τοῦ πολλῆς τῷ ὄντι καὶ φιλίας καὶ τιμῆς ἀξίου· ὥσπερ δὲ τῷ ἀμελεῖ, καὶ περὶ τὴν πίστιν ἐνδεεῖ, καὶ τῷ φρονήματι νηπιάζοντι, ἐμπόδιον πρὸς τὴν αἰωνίαν ζωὴν ταῦτα γίνεται.

νεῖται· ἤτοι τὰ λυπηρὰ καὶ ἐπίπονα, νόσοι, πενίαι, καὶ ἀδοξίαι· τἀναντία, πλοῦτος, δόξα, καὶ οἱ παρὰ ἀνθρώπων μακαρισμοί· πρὸς δὲ καὶ ὁ ἐν τῷ ἀφανεῖ πλήττων τοῦ πονηροῦ πόλεμος· οὕτω πάλιν ἀντιστρέψαν εὑρήσεις, ὅτι τῷ πιστῷ καὶ συνετῷ καὶ γενναίῳ συνεργὰ μᾶλλον πρὸς τὴν τοῦ Θεοῦ καθίσταται βασιλείαν· Τοῖς γὰρ τὸν Θεὸν ἀγαπῶσι, κατὰ τὸν θεῖον Ἀπόστολον, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν· δείκνυται οὖν ἐντεῦθεν, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα ἐμπόδιον εἶναι νομιζόμενα διαρρήξας καὶ νικήσας καὶ ὑπερβὰς ὁ ἀληθῶς φιλόθεος τῆς θείας μόνης περιέχεται φίλτρου· σχοινία, γὰρ, ἁμαρτωλῶν περιεπλάκησάν μοι, ὁ θεῖός φησι προφήτης, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

solito hujus, quâ videt frui Animam, prætextu & fiduciâ nimiâ gratiæ, sensim relaxare contentionem in ulteriora nitendi, languoremque & neglectum injicere. Atque adeò ipsa gratia, ut securè innoxiéque possideatur, exigit in illo qui eam percipit reverentem quamdam trepidationem, quâ in vigiliam acuatur circumspectandi ac disponendi providenter cuncta; ut & donum tantum quanti valet æstimet: & ne sibi otiosum talentum auferatur, dignos ejus fructus repræsentare studeat. Igitur, ut dicta colligam, non à tribulationibus solùm, sed & à consolationibus periclitatur Anima tentari. Et per ambas istas res à Conditore Animæ probantur: ut his explorationibus manifestò appareat quales sint. Mercenariæ ne nundinatrices caritatis, quæstûs sui causâ Deum amantes: An solùm propter seipsum eum diligant: quod illum, ut est in suâ naturâ propriâ, citrà respectum ad nos, omni dignum amore honoreque sciant. Vt autem negligenti, modicam habenti fidem, & pueriliter adhuc sapienti, impedimento hæc sunt ad æternam vitam: videlicet tam acerbæ ac laboriosæ res, ut morbi, penuriæ, ignominiæ; quàm his contrariæ, divitiæ, Gloria, Laudes & applausus Hominum; prætereàque pungens in occulto Satanæ impugnatio: sic rursus, aliter dispositos, in loco memoratorum modò, ponens, reperies: Fervido in fide, prudenter discreto, & generosè forti, subsidia potiùs & adjumenta res illas easdem esse ad consecutionem Regni Dei *Diligentibus* enim *Deum* (ait divinus Apostolus) *omnia* *Rom. viij. 28.*

cooperantur in bonum. Ex his igitur apparet quis demùm sit verus Dei amator. Is nimirum qui per cuncta quæ in hoc mundo putantur obstare ductum Spiritûs sequentibus, perrupta, victa, calcata, versùs Deum, quem acri & cor penitùs urenti desiderio appetunt, feruntur, irrevocabiliter currentes, & dicentes
Ps. cxviij. 61. cum Prophetâ: *Funes Peccatorum circumplexi sunt me, & legem tuam non sum oblitus.*

CAPUT XXI.

Divinus Apostolus exactiùs & clariùs demonstrare volens, quid verè sit Perfectum Christianismi Mysterium in unaquaque Animâ credente, venire talem Animam in hujus experimentum docet, per divinam operationem. Quæ scilicet operatio, est supercœlestis luminis in revelatione & virtute Spiritûs irradiatio. Ne forte quis, in hoc errans, putet: nihil aliud esse Illuminationem Spiritûs, nisi cognitiones vi humani productas intellectûs; & propter istam ignorantiam, & quæ ex hac facilè oritur, desidiam, periclitetur, à perfecto Gratiæ excidere mysterio. Propterea exemplum circumambientis faciem Mosis Spiritûs Gloriæ, ad cognitionis repræsentationem haud dubiè con-
II. Cor. iij. 7. formem refert. Ait igitur: *Quod si Ministratio mortis literis de-*

ΚΕΦ. ΚΑ.

Ὁ θεῖος Ἀπόστολος Παῦλος ἀκριβέστερόν τε καὶ τηλαυγέστερον τὸ ἐντελὲς τοῦ χριστιανισμοῦ μυστήριον ἑκάστῃ πιστευούσῃ ψυχῇ δεδήλωκε, δι᾽ ἐνεργείας θείας εἰς πεῖραν ἱέναι· ὅπερ ἐστὶν, ἡ ἐπουρανίου φωτὸς ἐν ἀποκαλύψει καὶ δυνάμει τοῦ πνεύματος ἔλλαμψις· ἵνα μή τις τὸν διὰ γνώσεως νοημάτων φωτισμὸν τοῦ πνεύματος μόνον εἶναι νομίσας, κινδυνεύσῃ δι᾽ ἄγνοιάν τε καὶ ῥαθυμίαν τοῦ τελείου τῆς χάριτος ἀποτυχεῖν μυστηρίου· διὰ τοῦτο καὶ τὸ ὑπόδειγμα τῆς τῷ προσώπῳ Μωσέως περικειμένης τοῦ πνεύματος δόξης εἰς παράστασιν ὡμολογημένην τῆς γνώσεως ἤνεγκεν· φησὶ γοῦν· εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίσαι εἰς πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· πόσῳ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; εἰ

γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα· πολλῷ μᾶλλον περισσεύσει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ· καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης· εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ· καταργούμενον εἴρηκε διὰ τὸ θνητῷ σώματι Μωυσέως περικεῖσθαι τὴν τοῦ φωτὸς δόξαν· ἐπάγει· ἔχοντες οὖν ἐλπίδα πολλῇ παῤῥησίᾳ χρώμεθα· καὶ προβὰς μικρὸν. ἔδειξε τὴν ἀθάνατον ἐκείνην τοῦ πνεύματος ἐν ἀποκαλύψει δόξαν, νῦν ἐν τῷ ἀθανάτῳ τοῦ ἔσω ἀνθρώπῳ τοῖς ἀξίοις ἀθανάτως τε καὶ ἀκαταργήτως ἐλλάμπεσθαι· φησὶ γοῦν· ἡμεῖς δὲ πάντες, τουτέστιν, οἱ κατὰ τελείαν πίστιν ἐκ τοῦ πνεύματος γεννηθέντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου ἐνοπτριζόμεθα εἰς τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ Κυρίου πνεύματος· ἀνακεκαλυμμένῳ προσώπῳ τῷ τῆς ψυχῆς δηλαδὴ καὶ ἡνίκα δὲ ἐπιστρέψῃ τις πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι· φανερῶς οὖν διὰ τούτων ἀπέδειξε, κάλυμμα σκότους ἐπιβεβλῆσθαι τῇ ψυχῇ· ὅπερ ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως χώραν ἔσχε εἰς τὴν ἀνθρωπότητα παραδῦναι· νυνὶ δὲ ὑπὸ τῆς τοῦ πνεύματος ἐλλάμψεως

formata in lapidibus, fuit in gloriâ: ita ut non possent intendere Filij Israël in faciem Moysi, propter gloriam vultûs ejus quæ evacuatur: quomodò non magis ministratio Spiritûs erit in gloriâ. Nam nec glorificatum est quod claruit in hac parte propter excellentem Gloriam. Si enim quod evacuatur per gloriam est; multò magis quod manet in gloriâ est. quod evacuatur, dixit: idcirco quod mortali corpori Mosis circumaffulgeret illa lu-
cis gloria. Subjungit: *Haben-* V. 12.
tes igitur talem spem multâ fiduciâ utimur. Et progressus paulùm, ostendit, immortalem illam Spiritûs in Apocalypsi gloriam, nunc in immortali, qui latet intùs, homine, dignis immortaliter & inevacuabiliter
resplendere. Ait ergo: *Nos vero* V. 18.
omnes (hoc est: per fidem perfectam ex Spiritu geniti) *revelatâ facie gloriam Domini speculantes, in eamdem imaginem transformamur à claritate in claritatem, tamquam à Domini Spiritu*, Revelatâ facie, Animæ scilicet. & quando reversus quis fuerit ad Dominum, tolletur velamen. Dominus autem Spiritus est. Manifestè igitur per hæc monstravit, vela-

men tenebrarum superinjectum fuisse Animæ quod ab Adami Trangressione campum habuit Naturam humanam pervadendi. Nunc autem per illustrationem Spiritûs id auferri è fidelibus & verè dignis Animabus. quæ & causa Christi Adventûs fuit. Nam Deo complacuit, ad talem mensuram sanctitatis pertingere eos qui verè in ipsum credunt.

περιαιρεῖσθαι τοῦτο τῶν πιστῶν καὶ ἀξίων τῷ ὄντι ψυχῶν· δι' ἣν αἰτίαν καὶ ἡ ἔλευσις ἡ τοῦ Χριστοῦ γεγένηται· εἰς γὰρ τοιαῦτα μέτρα ἁγιότητος φθάσαι τοὺς ἐπ' ἀληθείας πιστεύοντας ηὐδόκησεν ὁ Θεός.

CAPVT XXII.

ΚΕΦ. ΚΒ.

Ea, de quâ dictum est, *Spiritûs irradiatio*, non solùm intellectualium sensuum revelatio est, & illuminatio Gratiæ: Sed substantialis & subsistentis lucis in Animabus firma & perpetua radiorum ex præsenti fonte luminis emissio. Nam
II. Cor. iv. 6. illud: *Qui dixit de tenebris lumen splendescere, ipse illuxit in cordibus nostris ad illuminationem scientiæ claritatis Dei in*
Ps. xij. 4. *facie Christi Iesu.* Et illud: *Illumina oculos meos ne umquam obdormiam in morte.* Hoc est: ne cum solvetur carne Anima, obtenebretur mortis malitiæ
Ps. cxviij. 18. velo. Illud præterea: *Revela oculos meos, & considerabo mirabilia de lege tuâ.* Illud quo-
Ps. xlij. 3. que: *Emitte lucem tuam & veritatem tuã: ipsa me deducent & adducent in montẽ Sanctũ tuũ & in*

Ἡ τοιαύτη φησὶ τοῦ πνεύματος ἔλλαμψις οὐχ οἷον νοημάτων μόνον ἀποκάλυψίς ἐστι καὶ φωτισμὸς χάριτος, ὥσπερ εἴρηται, ἀλλ' ὑποστατικοῦ φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία καὶ διηνεκὴς ἔλλαμψις· τὸ γάρ· εἰπὼν ἐκ σκότους τὸ φῶς λάμψαι· ὃ ἔλαμψεν ἐν καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ· καὶ τό· φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον· τουτέστιν· ἵνα μὴ λυομένη τῆς σαρκὸς ἡ ψυχὴ ἀποσκοτῆται τῷ τοῦ θανάτου τῆς κακίας καλύμματι· πρὸς δὲ καὶ τό· ἀποκάλυψον τοὺς ὀφθαλμούς μου ἔτι καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου, καὶ τό· ἐξαπόστειλον φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὁδηγήσουσι καὶ ἄξουσιν εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου· ἀλλὰ μὴν καὶ τό· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου· καὶ τὰ λοι-

πά, τὴν αὐτὴν ἀκολουθίαν τοῦ σκοποῦ παρίστησιν.

Tabernacula tua. Sed & illud etiam : *Signatum est super nos* Ps. iv. 7.
lumen vultus tui Domine. Et reliqua in unam eandem quam proposui sententiam conspirant.

ΚΕΦ. ΚΓ.

Καὶ τῷ μακαρίῳ δὲ Παύλῳ φησὶ τὸ ἐκλάμψαν ἐν τῇ ὁδῷ φῶς δι' οὗ καὶ εἰς τρίτον οὐρανὸν ἦρθαι, καὶ μυστηρίων ἀλαλήτων ἀκουστὴς γίνεται, οὐ νοημάτων τις καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως τοῦ ἀγαθοῦ πνεύματος καθ' ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις· οὗ τὴν ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ διενεγκόντες ἀπετυφλώθησαν, δι' οὗ πᾶσά τε γνῶσις ἀποκαλύπτεται, καὶ πρὸς ἀλήθειαν Θεὸς τῇ ἀξίᾳ καὶ φιλουμένῃ ψυχῇ γνωρίζεται.

CAP. XXIII.

Illa item quæ Beato Paulo *circum fulsisse lux* dicitur in viâ, Act. ix. 3.
per quam & in tertium Cœlum elevatus est, & Mysteriorum ineffabilium auditor factus, II. Cor. xj.
non intellectualium sensuum & cognitionis illuminatio erat : sed virtutis Boni Spiritus in substantia & personaliter in Animâ facta irradiatio : cujus excessum splendoris non ferentes Carnis oculi, excæcati sunt : per quam & omnis scientia revelatur, & ad veritatem Deus dignæ & amatæ Animæ innotescit.

ΚΕΦ. ΚΔ.

Πᾶσα ψυχὴ διὰ σπουδῆς καὶ πίστεως τέλειον ἐνδύσασθαι τὸν Χριστὸν ἐντεῦθεν κατὰ δύναμίν τε καὶ πληροφορίαν χάριτος καταξιωθεῖσα, καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἑνωθεῖσα, καὶ νῦν μὲν μυστηρίων οὐρανίων γνῶσιν ἐν ὑποστάσει μυεῖται πάντων· ἐν δέ γε τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι καὶ

CAP. XXIV.

Omnis Anima quæ per studium & fidem perfectam in virtute & plenâ certitudine Gratiæ, digna facta est quæ Christum indueret jam hinc, & supercœlesti incorruptibilis Imaginis luci uniretur : ea nunc quidem cognitione Cœlestium Mysteriorum in substantiâ, & prout sunt, impertitur : in ma-

gnâ verò Resurrectionis die, eâdem illâ supercœlestis Claritatis Imagine Corpus quoque ipsius glorificatum, & à
1. Thess. iv. 16. Spiritu, sicut scriptum est, in Cœlos raptum; & tantâ dignatione honoratum ut confi-
Philipp. iij. 21. guretur Corpori claritatis ejus, Regnum æternum vicissitudine successionum carens, Christo ipsi collega & consors habebit.

τὸ σῶμα ταύτης ἐνδοξασθὲν, καὶ ὑπὸ πνεύματος, κατὰ τὸ γεγραμμένον εἰς οὐρανοὺς ἁρπαγὲν, καὶ σύμμορφον γενέσθαι τῷ σώματι τῆς δόξης αὐτοῦ καταξιωθὲν, καὶ τὴν βασιλείαν αἰώνιόν τε καὶ ἀδιάδοχον καὶ τῷ Χριστῷ σύγκληρον ἕξει.

CAPVT XXV.

Quantum quis proprio studio ad fide, Cœlestis Claritatis Spiritûs Sancti participaverit, Animamque bonis operibus ornaverit: tantò dignius efficiet corpus suum glorificatione quæ illi, ad paritatem claritatis Animæ, ampla & splendida reservatur in illam ultimam Resurrectionis diem. Quod enim quisque intùs condidit, tunc prodibit exteriùs. quemadmodum quæ per hiemem in sinu Arborum latet vis generativa fructuum, vernâ temperie se forâs exerit; frondes & flores extra proferens. ut ergo demonstratum superiùs est, impressa mentibus Sanctorum Deiformis Imago Spiritûs in occulto nunc latet, quasi velo Tabulæ obducto: sed erumpet ex illis la-

ΚΕΦ. ΚΕ.

Ὁπόσον τις ἰδίᾳ σπουδῇ καὶ πίστει πνεύματος ἁγίου δόξης κεκοινώνηκεν οὐρανίου, ἔργοις τε ἀγαθοῖς τὴν ψυχὴν διεκόσμησε· τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἄξιον αὐτοῦ γενήσεται καὶ τὸ σῶμα συνδοξασθῆναι· ὃ γάρ τις ἔνδον ἀπεθησαύρισε νῦν, τοῦτο πρόεισιν ἔξω τότε· καθάπερ ὁ εἴσω τῶν ξύλων ἐν χειμῶνι καρπὸς, ἔξω κατὰ τὸν ἔαρος καιρὸν γίνεται· ὥσπερ δὴ καὶ πρότερον ἐδηλώθη· τῶν μὲν οὖν ἁγίων ἡ θεοειδὴς τοῦ πνεύματος εἰκὼν ἀπὸ τοῦ νῦν ἔνδον ὥσπερ ἐντυπωθεῖσα, καὶ τὸ σῶμα θεοειδὲς ἔξω καὶ οὐράνιον ἀπεργάσεται· τῶν βεβήλων δὲ καὶ ἁμαρτωλῶν τὸ τοῦ κοσμικοῦ πνεύματος κάλυμμα περιβαλὸν τὴν ψυχὴν, καὶ τῇ τῶν παθῶν εἰσδεχθείᾳ σκοτεινὸν οἶμαι τὸ νῦν καὶ ἀσχήμονα καταστῆσαν, σκοτεινὸν ἅμα καὶ τὸ σῶμα, καὶ αἰσχύνης ἔμπλεω πάσης ἔξωθεν ἀποδείξεται.

tebris, & in corporis quoque sui speciosam exornationem prodibit, cœleste illud etiam ac Deiforme reddens. Prophanorum verò ac Scelestorum, quod nunc Mundani Spiritûs velamen circuminvolvit, deformes stigmatibus criminum Animas, Mentesque, heu me! ipsorum, tenebrosas & fœdas reddit: tunc etiam corpora maculosa, & pudendis cicatricibus horrida, in summum palàm dedecus omnium oculis ostendet.

ΚΕΦ. Κϛ.

Ὥσπερ καὶ τὴν παράβασιν τοῦ Ἀδὰμ θάνατον αὐτοῦ καταψηφισαμένης τῆς τοῦ Θεοῦ ἀγαθότητος, τοῦτο πρῶτον μὲν ὑπέστη καὶ ψυχήν, τῶν νοερῶν αὐτῆς αἰσθητηρίων τῇ στερήσει τῆς ἐπουρανίου καὶ πνευματικῆς ἀπολαύσεως ἀπεσβηκότων αὐτῷ, καὶ νεκρῶν ὥσπερ γεγενημένων. ὕστερον δὲ καὶ ὁ τοῦ σώματος θάνατος μετά γε τριάκοντα ἔτη πρὸς τοῖς ἐννεακοσίοις ἐπεγένετο· οὕτω νῦν διὰ σταυροῦ καὶ θανάτου τοῦ Σωτῆρος τῇ ἀνθρωπότητι καταλλαγεὶς ὁ Θεὸς ἀποκαθίστησι τὴν πιστεύσασαν ἐν ἀληθείᾳ ψυχὴν ἔτι ἐν σαρκὶ οὖσαν εἰς τὴν τῶν οὐρανίων φώτων καὶ μυστηρίων ἀπόλαυσιν, καὶ τὰ νοερὰ αὐτῆς αἰσθητήρια τῷ θείῳ πάλιν φωτὶ τῆς χάριτος ὀμματοῖ· ὕστερον δὲ καὶ αὐτῷ τῷ σώματι ἀθάνατόν τε καὶ ἄφθαρτον περιβαλεῖ δόξαν.

CAPUT XXVI.

Quemadmodum post Transgressionem Adami, perlata in eum sententia mortis justo Dei optimi judicio, primum executioni mandata est in ejus Animâ verè per peccatum mortuâ jam tum, intellectualibus ejus sensibus, per privationem Cœlestis & Spiritualis, quâ prius fruebatur, Gratiæ, extinctis, & ad mortuorum similitudinem redactis: posteriùs verò ad corpus quoque Mors pervenit, expletis trahendo mortalem vitam annis triginta supra nongentos: Sic & nunc per Crucem & Mortem Salvatoris Humano Generi reconciliatus Deus, restituit verè credentem Animam adhuc carni devinctam in fruitionem Spiritualium luminum & mysteriorum: & intellectuales ejus sensûs Divinâ luce Gratiæ inoculat: Posteriùs autem ipsum etiam corpus immortali & incorruptibili vestiet claritate.

CAP. XXVII.

Qui se ab hoc mundo procul tenent, Sanctè & ex virtutum præscriptis viventes: adhuc tamen velamento perturbationum inumbrati; cui miseriæ, propter inobedientiam Protoplasti, obnoxij omnes sumus: carnali, inquam, subjecti sensui, quem Apostolus Mortem, meritò appellat: Hi similes sunt Hominibus noctu iter agentibus, ad lucem Astrorum, quæ sunt Dei Præcepta. quandiu enim nondum perfectè liberati à tenebris sunt: clarè omnia perspicere non possunt. Quibus & convenit, labore ac fide, virtuti attendendo, orare Christū Solem Iustitiæ, ut illuminet corda ipsorum, quò possint exactè pervidere cuncta, & Spiritualium Bestiarum incursum in nos varium atque multiplicem: & incorruptibilis Mundi pulchritudines arcanas ineffabilis & decôris & voluptatis. quo scilicet modo valde provectis in virtute, & quorum cordibus lumen intellectuale suos sine nubilo radios immisit, talia omnia manifesta & planè perspecta sunt. Perfecto-

ΚΕΦ. ΚΖ.

Οἱ τοῦ κόσμου τοῦδε μακρὰν γενόμενοι καὶ σεμνῶς μὲν καὶ φιλαρέτως πολιτευόμενοι· ἔτι δὲ καλύμματι τῶν παθῶν ὑποκείμενοι ὡς διὰ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἔνοχοι κατέστημεν πάντες, τὸ σαρκικὸν φημὶ φρόνημα ὃ καὶ τῷ Ἀποστόλῳ θάνατος οἰκείως ἐκλήθη, οὗτοι παραπλήσιοί εἰσιν ἀνθρώποις νυκτὸς μὲν βαδίζουσιν, ὑπὸ δὲ τῶν ἄστρων ἅπερ εἰσὶν αἱ τοῦ Θεοῦ ἐντολαὶ, καταυγαζομένοις· οὔπω γὰρ εἰς τέλος τοῦ σκότους ἀπαλλαγέντες εἰσὶ καλῶς ἅπαντα καθορᾷν αὐτοῖς ἀδύνατον· οἷς καὶ προσῆκόν ἐστι πόνῳ καὶ πίστει πολλῇ τῆς ἀρετῆς ἐπιμελουμένοις δεηθῆναι Χριστοῦ τὸν ἥλιον δικαιοσύνης ἐπιλάμψαι ταῖς καρδίαις αὐτῶν, ὥστε δυνηθῆναι πάντα πρὸς ἀκρίβειαν ἐπιδεῖν, τήν τε τῶν νοητῶν θηρίων καθ' ἡμῶν ἐπίθεσιν ποικίλην καὶ παντοδαπὴν οὖσαν, καὶ τὰ τοῦ ἀφθάρτου κόσμου ἄρρητα τὴν ὄψιν, καὶ τὴν ἡδονὴν ἀπόρρητα κάλλη ὅν γε δὴ τρόπον καὶ τοῖς ἄκροις τῆς ἀρετῆς, καὶ ὧν ἐνεργῶν ἐν ταῖς καρδίαις νοερὸν φῶς ἔλαμψεν, ἐπίδηλα ταῦτα καὶ καταφανῆ γίνεται· τελείων γάρ, ὡς ὁ μακάριός φησι Παῦλος, ἡ στερεὰ τροφή· τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένων πρὸς

τὴν τοῦ

τῶν τοῦ καλοῦ καὶ κακοῦ διάκρισιν· ἀλλὰ καὶ ὁ θεῖος Πέτρος φησίν· καὶ ὑμεῖς ἔχοντες τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν· οἱ δὲ πολλοὶ, οὐδὲν ὅλως διενηνόχασιν ἐκείνων τῶν ἐν νυκτὶ φωτὸς παντάπασιν ἀπόρων περιπατούντων, καὶ μηδὲ βραχείας ἀπολαυόντων αὐγῆς· ὅπερ ἐστὶ θεῖος λόγος τὰς ψυχὰς αὐτῶν ἐπιλάμπειν δυνάμενος, ὡς σχεδὸν μὴ ἀνομοίους εἶναι τυφλοῖς· οὗτοι εἰσιν οἱ ταῖς ὑλικαῖς τὸ ὅλον περιπλοκαῖς καὶ τοῖς βιωτικοῖς ἅμμασι καταδεδεμένοι, καὶ μήτε θείῳ φόβῳ διακρατούμενοι, μήτε τινὰς τῶν ἀγαθοεργιῶν μετερχόμενοι· καὶ γὰρ ὅσοι τῶν βιωτικῶν ἀνδρῶν, ὥσπερ λέλεκται, ὑπὸ ἐντολῶν ἁγίων ὡς ὑπὸ ἄστρων τινῶν διαυγάζονται, πίστει καὶ φόβῳ τῷ τοῦ Θεοῦ προσέχοντες· οὗτοι οὐχὶ καθάπαξ τῷ σκότει περιλαμβάνονται· παρ' ὃ καὶ ἐλπίδα σωτηρίας ἔχειν δύνανται.

rum enim est, ut Beatus ait Paulus, solidus cibus, eorum nempe qui bonis habitibus exercitatos habent sensus, ad discretionem boni & mali. Sed & Divinus Petrus ait: *Et vos habentes propheticum sermonem, cui benefacitis attendentes, sicut lucernæ lucenti in caliginoso loco, donec dies elucescat & Lucifer oriatur in cordibus vestris.* Vulgi autem Homines nihil planè differunt ab illis qui per noctem omni carentem, etiam stellarum, lumine ambulant. Quos ne minimus quidem radius attingit lucis Divinæ, hoc est Verbi Dei, Animas eorum illuminare, si sinerent, valentis: ut ferè non dissimiles cæcis sint. Hujusmodi Homines sunt materialibus implicati curis, & sæcularium nexibus negotiorum vincti, & neque divino timore firmati, nec ullum curantes exercere beneficentiæ aut virtutis cujuslibet opus. Etenim quotquot sæcularem utcumque degentes vitam, tamen, uti dictum est, à mandatis sanctis, velut à quibusdam illuminantur stellis, Fidei & Dei timori attendentes: Hi sanè non prorsùs comprehensi sunt tenebris. unde & spem salutis habere possunt.

II. Petr. j. 19.

CAPVT XXVIII.

Vt multum inter ſe differentes viæ ac rationes ſunt, quibus Homines ad eas congerendas coacervandaſque divitias, quæ apud mundum ſunt in pretio, variè nituntur: utique cum Alij ex functionibus publicorum Magiſtratuum Opes parent: Alij Mercimoniorum negotiatione rem augeant: Alios in opere ſtrenuos, fructus induſtriæ, aut proventus Agrorum diligenter exultorum ditet: parem mihi tu quoque puta obſervari poſſe diverſitatem modorum quibus Homines Deo deditii Spirituales ſibi Theſauros accumulant. Ex his Aliqui locupletantur uſu exercitioque concreditorum Chariſmatum variorum, ut ſignificat Apoſtolus verbis illis:
Rom. xij. 6. *Habentes donationes ſecundum Gratiam quæ data eſt nobis, differentes.* Alij multiplici exercitatione religioſorum varij generis operum, praxique virtutum ac frequentatione laudabilium in diverſâ ſpecie Officiorum, Dei cauſâ unius obitorum, cæleſtes ingenti copiâ congerunt Opes. Ne ij quidem in hâc parte non

ΚΕΦ. ΚΗ.

Ὥσπερ ἐκ διαφόρων ἀφορμῶν τε καὶ ἐπιτηδευμάτων ὁ ἐν τῷ κόσμῳ τοῖς ἀνθρώποις συλλέγεται πλοῦτος· ὁ μὲν ἐξ ἀρχοντικῶν ἀξιωμάτων, ὁ δὲ ἐξ ἐμπορείας, ὁ δὲ ἐκ φιλοπονίας δήπου καὶ γεωργίας, καὶ ἄλλος ἄλλως· τὴν αὐτὴν οἶμαι καὶ τοῖς πνευματικοῖς εἶναι διάταξιν· οἱ μὲν γὰρ ἐκ διαφόρων χαρισμάτων, ὡς τὸ τοῦ Ἀποστόλου δηλοῖ· ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ὑμῖν διάφορα, οἱ δὲ ἐκ διαφόρων ἀσκήσεων, διαφόρων τε δικαιωμάτων καὶ ἀρετῶν διὰ μόνον Θεὸν γινομένων, τὸν ἐπουράνιον ἀθροίζουσι πλοῦτον· πλὴν ἀλλ᾽ οὐκ ἄδηλοι καὶ οἱ τὸν χρυσὸν ἀνορύττοντες· οἱ διὰ μακροθυμίας καὶ ὑπομονῆς δηλαδὴ ἐξέχοντες, καὶ κατὰ μέρος πλουτοῦν τέως τῆς ἀγαθῆς ἐλπίδος ὑποτιθηνούσης· οὐκ ἄδηλοι δὲ καὶ οἱ καθαπερεὶ μίσθιοι, βλᾶκες ὄντες καὶ νωχελεῖς· οἱ εὐθέως τὸν ἐμπίπλον ὥσπερ ἐσθίοντες, καὶ μὴ μεθ᾽ ὑπομονῆς τὰ μετὰ χεῖρας ἀνύοντες, ἀεὶ γυμνοί τε καὶ πένητες περιέρχονται· οὗτοι γὰρ οὔτοι πρὸς μὲν τὸ λαβεῖν τὴν χάριν ἑτοίμως ἄγαν καὶ θερμῶς ἔχοντες, εὐμετάβλητοι καὶ ἅμα τοῦ ἅψασθαι κορεννύμενοι, ἀψίκοροι δὲ ναρκώδως περὶ τὸ πονεῖν γνωριζόμενοι, καὶ ἧς ἔτυχον

ἀξιωθέντες χάριτος ἀφαιροῦνται· μέποτε γὰρ ἡ νωθεία, καὶ ἀμέλεια, καὶ ἡμελημένη προαίρεσις, ἀσύμφωνος ἐν χάριτι, ἔρημος δὲ ἀγαθῶν πράξεων, ἀδόκιμος δὲ παρὰ Θεῷ καὶ ἄδοξος καὶ νῦν ἐγνῶσαι καὶ ἐν ἐκείνῳ τῷ αἰῶνι εὑρεθήσεται.

insignes sunt, qui aurum infodiunt, opes videlicet Spirituales abdunt, ut securiùs possideāt, longanimitate videlicet & patientiâ lentè festinantes in singulis lucri particulis captandis, ex quibus magni olim conflandi cumuli spe interim bonâ gaudent. Nos haud latet aliud non probum genus lucris Spiritûs inhiantium. Nonnulli quasi mercenarij & sordide quæstuosi, molles iidem ignavique cum sint, statim veluti devorant quodcumque bonum ipsis in manus incidit, in fructum præsentem aviditate improvidâ consumentes cuncta, cum multa ex his deberent in usum secuturi temporis, solerti, cum patientiâ, tractatione maturare. hinc fit ut nudi semper egentesque circumeant. Etenim tales ad capiendam quidem indultam Gratiam non parati solùm, sed nimis etiam ardenter sunt cupidi; mox tamen facilè mutabiles, & à primo statim gustatu saturi, fastidientes in desidiam solvuntur: pigritiæque comperti, ac fugæ laboris, qui debebat adhiberi, exercendo quod acceperunt dono, eo meritò privantur, ablatâ ipsis, quâ fuerant dignati, Gratiâ. Numquam enim non Socordia, Oscitantia, hebes tarditas supinè securi Propositi, dissonæ res & inconsentaneæ Gratiæ fuerunt. Quare qui scatet hisce vitiis, expers operum bonorum: apud Deum reprobus & inglorius, uti jam nunc agnoscitur, sic & in futuro sæculo reperietur.

ΚΕΦ. ΚΘ.

Παραβάντι τῷ ἀνθρώπῳ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ τῆς τοῦ παραδείσου διαγωγῆς ἐκπεσόντι, δυοῖν ὥσπερ ἁλύσεσι διδίδως συνηκολούθησε· μιᾷ δὲ τῶν βιωτικῶν πραγμάτων, καὶ σαρκικῶν ἡδονῶν,

CAPVT XXIX.

Transgresso Dei mandatum Homini, & ex beatâ Paradisi dejecto statione; duabus ex hoc contigit quasi Catenis ligari. Prior est quâ devincitur nexu sensibili cum negotiis sæ-

cularibus, carnalibus voluptatibus, Divitiis, Existimatione, Amicitiâ Uxore, Liberis, Cognatione Patriâ, Possessionibus, &, ut uno cuncta complectar verbo, cum omnibus quæ hîc cernuntur; à quibus Dei sermo Nos juxtà propriam professionem abjungi præcipit. Altera est Catena in arcano adstringens, nec cadens sub aspectum. Etenim vinculo quodam tenebrarum Anima ligatur ab ipsis Spiritibus nequitiæ: quo fit ut non sit ipsi possibile, neque amare Deum, nec credere, nec oratione uti, quemadmodum vellet. Omninò enim hæc quam experimur Adversantium oppositio, tam in palàm apparentibus, quàm in intùs abstrusis, ex Transgressione primi Hominis in nos omnes transiit. Quando igitur quis obedientem aurem Verbo Dei præbens, abjunxerit quidem se à sæcularibus negotiis: renuntiaverit autem cunctis carnalibus voluptatibus; tunc ille Deo adhærens, & per otium cum eo conversans, virtutem accipit ad discendum: latêre in Adytis Cordis aliam luctam, & aliud Cogitationum bellum. & sic permanens, ac Christi misera-

πλούτου, δόξης, φιλίας, γυναικὸς, τέκνων, συγγενείας πατρίδος, κτημάτων, καὶ ἁπλῶς πάντων τῶν φαινομένων, ἀφ' ὧν ὁ τοῦ Θεοῦ λόγος κατ' οἰκείαν ἡμᾶς προαίρεσιν ἀπολύεσθαι κελεύει· ἑτέρα δὲ ἀδήλω· καὶ γὰρ δέδεταί τινι δεσμῷ σκότους ἡ ψυχὴ πρὸς τῶν τῆς πονηρίας πνευμάτων αὐτῶν, παρ' ὃ μηδὲ δύναται αὐτῇ μήτ' ἀγαπῆσαι Θεὸν, μήτε πιστεῦσαι, μήτε προσευχῇ χρήσασθαι καθάπερ ἔχει θελήματος· πάντων γὰρ ἡ ἐναντιότης ἔν τε τοῖς φανεροῖς ἔν τε τοῖς ἀδήλοις, ἀπὸ τῆς παραβάσεως τοῦ πρώτου ἀνθρώπου πάντας ἡμᾶς μέτεισι· ἐπειδὰν οὖν τις ὑπήκοον οὖς τῷ λόγῳ τοῦ Θεοῦ παρεχόμενος, ἀποστῇ μὲν τῶν βιωτικῶν πραγμάτων, ἀποτάξεται δὲ πάσαις ταῖς σαρκικαῖς ἡδοναῖς· τότε δὴ τῷ Θεῷ προσεδρεύων, καὶ κατὰ σχολὴν αὐτῷ συγγινόμενος, δύναμιν λαμβάνει πρὸς τὸ μαθεῖν· ὅτι κέκρυπταί τις ἐν ἀδύτοις καρδίας ἄλλη πάλη καὶ ἄλλος λογισμῶν πόλεμος· καὶ οὕτω παραμένων καὶ τῶν τοῦ Χριστοῦ δεόμενος οἰκτιρμῶν, πίστεως αὐτῷ πολλῆς μετά γε τοῦ ὑπομένειν συνεπομένης· οὐ μὴν ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ ῥοπῆς συνεφαπτομένης, δύναται τῶν ἔνδον ἀπαλλαγῆναι δεσμῶν τε καὶ φραγμῶν ἐκείνων, καὶ τοῦ σκότους τῶν πνευμάτων τῆς πονηρίας ὥσπερ εἰσὶν αἱ τῶν κεκρυμμέ-

νων παθῶν ἐνέργειαι· τοῦτον δὲ τὸν πόλεμον διὰ μὲν χάριτος Χριστοῦ καὶ δυνάμεως δυνατοὶ γινόμεθα καταργεῖν· ἄθεει δὲ καὶ δι᾽ ἑαυτοῦ ῥύσασθαί τινα ἑαυτὸν μέχρι τοῦ καὶ τῆς ἐν τῶν λογισμῶν ἀπαλλάξασθαι πάλης, ἀδύνατον· τὸ δὲ ἀντιλέγειν καὶ μὴ συνήδεσθαι, δυνατόν.

tiones implorans, fide ipsum multâ, post quam sustinuerit, sequente, quin & Dei impulsu cooperante, potest interioribus liberari vinculis, & maceriâ illâ tenebrarum quam obmoliuntur ipsi Spiritûs nequitiæ Quæ sunt, occultè rebellantium in nobis Appetituum motûs & conatûs. Hoc autem bellum, per gratiam Christi & virtutem, possumus vincendo finire. Sine Deo verò adjuvante, & per seipsum, liberare se quemquam, quoad luctâ quæ ipsi est cum cogitationibus expeditus fuerit, est impossibile. renuere tamen & non condelectari, possibile.

vide hujus loci expositionem in Præfatione. nu. viij.

ΚΕΦ. Λ.

Εἶπε γέρων· ὅτι δεῖ πάντα τὸν ἄνθρωπον ἔχειν ἐντὸς ἑαυτοῦ ἐργασίαν· καὶ ἐὰν μὲν εἰς ἐργασίαν Θεοῦ σχολάζῃ, παραβάλλει αὐτῷ ὁ ἐχθρὸς μίαν· ἀλλ' οὐχ εὑρίσκει τόπον τοῦ μεῖναι· ἐὰν δὲ πάλιν κυριευθῇ ὑπὸ τῆς αἰχμαλωσίας τοῦ ἐχθροῦ, παραβάλλει αὐτῷ τὸ πνεῦμα τὸ ἅγιον πυκνάς· ἀλλ' οὐκ ἀφίομεν αὐτῷ τόπον· καὶ διὰ τὴν κακίαν ἡμῶν ἀναχωρεῖ.

Dixit Senex: si convenient te aliqui; & eos adventantes procul cernes; stans in Oratione dic: Domine Jesu Christe præserva nos à murmuratione: & cum pace dimitte illos ab hoc loco tuo.

Εἶπε γέρων· ἐὰν παραβάλλωσί σοί τινες· καὶ ἴδοις αὐτοὺς ἀπομακρόθεν· στὰς εἰς εὐχὴν εἰπέ· Κύριε Ἰησοῦ Χριστὲ ῥῦσαι ἡμᾶς ἀπὸ τῆς καταλαλιᾶς, καὶ μετ' εἰρήνης ἀπόλυσον αὐτοὺς ἀπὸ τοῦ τόπου σου.

Dixit Senex: Ne dixeris: Peccator sum: & me orantem non exaudit Deus. Modò enim non desperaveris, ait: *Etiamsi non Dabit ei eo quod amicus*

Luc. xj. 8.

Εἶπε γέρων· μὴ εἴπῃς· ὅτι ἁμαρτωλός εἰμι, καὶ οὐκ ἐπακούει ὁ Θεὸς προσευχομένου· ἵνα γὰρ μὴ ἀπογινώσκῃς, φησίν· εἰ διὰ τὸ φίλον μὴ εἶναι οὐ δώσει αὐτῷ· ἀλλά

γε διὰ τὴν ἀναίδειαν αὐτοῦ, ἀναστὰς δώσει αὐτῷ ὅσον χρήζει· κἂν οὖν ἐνιαυτὸς παρέλθοι, κἂν τριετία, κἂν τετραετία, κἂν πλείονα ἔτη, μὴ ἀναχωρήσῃς ἕως ἂν λάβῃς, ἀλλὰ διὰ πίστεως ζήτει, τὸ ἀγαθὸν διὰ παντὸς ἐργαζόμενος.

ejus sit : propter improbitatem tamen ejus surgens Dabit ei omne id quo indiget. Etsi ergo prætereat annus, nondum exaudito te; etsi triennium, quadriennium, & anni plures re infectâ tibi effluant: ne cesses tamen aut absistas donec acceperis: sed cum fide quære, bonum perseveranter operans.

Εἶπέ τις τῶν ἁγίων πατέρων· ὁ θέλων βοηθεῖσθαι ἀπὸ τοῦ Θεοῦ τὸ πρέπον μὴ προδιδοὺς, οὐ προδίδοται ποτὲ ὑπὸ τῆς θείας προνοίας· χρὴ τοίνυν ἐν μηδενὶ καταγινώσκεσθαι ὑπὸ τῆς οἰκείας συνειδήσεως ὡς καταφρονῶν· καὶ ἐν μετεωρισμῷ στήκων εἰς εὐχὴν, δυνάμενος ἀμετεωρίστως στῆναι, μὴ τολμήσῃς στῆναι ἐνώπιον τοῦ Θεοῦ, ἵνα μὴ λογισθείη ἡ προσευχή σου εἰς ἁμαρτίαν· εἰ δὲ ἀσθενήσας ὑπὸ τῆς ἁμαρτίας, καὶ οὐ δύνασαι μὴ ἀπερισπάστως εὔχεσθαι, βίαζε ἑαυτὸν τοῦ στῆναι ἐνώπιον τοῦ Θεοῦ τὸν νοῦν πρὸς σεαυτὸν ἔχων, καὶ συνάγων αὐτὸν πρὸς τὸν Θεόν· καὶ ὁ Θεὸς συγγνώμην ποιεῖ· ὅτι οὐκ ἀπὸ καταφρονήσεως, ἀλλ᾽ ἀπὸ ἀσθενείας οὐκ ἰσχύεις στήκειν ἐνώπιον τοῦ Θεοῦ ἀμετεωρίστως· ἐὰν οὕτω ἐβιάζῃς σεαυτὸν εἰς πᾶν ἀγαθὸν, μὴ ἀποστῇς ἕως ἂν λάβῃς τὸ αἴτημά σου· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται· ἐκμιμοῦ τὴν πίστιν τοῦ Ἀβραάμ·

Dixit aliquis SS. Patrum: qui vult adjuvari à Deo, quod ipsum decet non prodens: non prodetur umquam à Divinâ Providentiâ. *Psal. 36, 7.* Oportet igitur in nullo condemnari à propriâ conscientiâ, convincique contemptûs. Ac tu minime audeas, stare in Oratione mente distractâ, valens, si annitaris, citrà distractionem stare coràm Deo: Ne tibi imputetur in peccatum oratio tua. quod si ob infirmitatem ex peccato contractam non potes sine distractione orare : conare quantum potes in colligendâ componendâque in Dei conspectu mente: Et Deus ignoscet tibi: quoniam non ex negligentiâ vel contemptu, sed ex infirmitate, non vales stare coràm Deo citrà evagationem. Ubi porrò te ipsum isto modo coëgeris ad omne bonum, ne desistas quoad acceperis quod

Luc. xj. 10. petis. *Omnis enim qui petit, accipit; & qui quærit invenit: & pulsanti aperietur.* Imitare fidem Abraæ. Is enim cum infirma erat natura, & motus carnis emarcuerant: vixit & viguit promissione Dei.

ὅτι ὅτε ἠσθένησεν ἡ φύσις καὶ ἐνεκρώθησαν τὰ κινήματα τῆς σαρκὸς, τότε ἔζησε τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ.

Dixit Senex: si vis verè orare, curam gere laboris manuum, ut inde habeas sustentando corpori necessaria. Scriptum est enim. *In sudore vul-*
Gen. iij. 19. *tus tui vesceris pane tuo.*

Εἶπε γέρων· εἰ θέλεις ἀληθῶς προσεύξασθαι, φρόντισον τοῦ ἐργοχείρου, ἵνα ἐξ αὐτοῦ τὴν χρείαν τοῦ σώματος ἔχῃς· γέγραπται γάρ· ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτόν σου.

Dixit rursus: Si Alij te alentes subministrent quæ necessaria sunt corpori; tu quo potes modo alieni dispendij participem te fac, reponens iis pro cibo corruptibili quem suggerunt, incorruptum alimentum immaterialis orationis. Au-
Luc. x. 7. disti enim Dominum dicentem: *Dignus est operarius mercede suâ.*

Εἶπε πάλιν· εἰ ἂν ἄλλοι τὴν χρείαν τοῦ σώματος πορίζωσί σοι σωματικῶς φέροντες, σὺ τῆς ζημίας γίνῃ μέτοχος, λαμβάνων βρώματα φθαρτὰ, καὶ διδοὺς ἄφθαρτα, ἄϋλον προσευχήν· ἤκουσας γὰρ τοῦ Κυρίου λέγοντος· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.

Ecclef. iv. 36. Dixit rursus: *Ne sis, ad accipiendum quidem extendens manum: ad dandum verò contrahens.* Ne in extremo Spiritu, quando Anima tua separabitur à corpore, inutiliter gemas videns eos qui rationes tecum ponent, proferentes omnia quæ accepisti: Angelo tuo non valente æqualia iis rependere ex penu virtutum tuarum. ac ne prætereà ex corporis infirmitate decumbens doleas, gra-

Εἶπε πάλιν· μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὴν χεῖρα· πρὸς δὲ τὸ δοῦναι συστέλλων· ἵνα μὴ ἐν τῇ ἐσχάτῃ σου ἀναπνοῇ ὅτε ἡ ψυχή σου ἀπὸ τοῦ σώματος χωρίζεται, ἀνόητα στενάξῃς θεωρῶν τοὺς λογοθετοῦντάς σε προσφέροντας πάντα ὅσα ἐδέξω· τὸν δὲ ἄγγελόν σου οὐκ ἀνταποδιδόντα ἰσόῤῥοπα ἐκ τῶν ἀρετῶν σου· μὴ δ᾽ αὖ πάλιν ἐν ἀῤῥωστίᾳ σώματος κατακείμενος λύπου δεχόμενος τὴν χρείαν αὐτοῦ σώματος· ὅρα δὲ πά-

λιν ἐν ὀδύνῃ σώματος ὑπάρχων μὴ δέξῃ χρυσίον ἢ ἀργύριον παρά τινος ὃν ἐπίστασαι ὅτι οὐκ ὀρθοποδεῖ πρὸς τὸ τῆς ἀληθείας κήρυγμα· ἵνα μὴ ἰδίαις χερσὶ θερίσῃς ἀλλοτρίας ἀκάνθας· ἤκουσας τοῦ προφήτου φάσκοντος· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου· βέλτιον γάρ ἐστι τεθνάναι, ἢ ἀπὸ ἀσεβοῦς καὶ ἁμαρτωλοῦ τραφῆναι· αὐτοὶ γὰρ ἀπὸ ἀδικίας, καὶ ὅρκων, καὶ ῥᾳδιουργίας τὸν πλοῦτον θησαυρίζουσιν· ἡμεῖς δὲ παρ' αὐτῶν τι δεχόμενοι συμμέτοχοι τούτων γινόμεθα.

tis immerenti suppeditari tibi quæ corpori erunt necessaria. Vide etiam ne in dolore corporis positus aurum aut argentum accipias à quopiam, quem scias non recto pede incedere in prædicatione veritatis : ut non propriis manibus spinas alienas metas. Audisti enim Prophetam dicentem : *Oleum* Psal. cxl. 5.
peccatoris non impinguet caput meum. Melius est enim mori, quàm ab Impio & peccatore nutriri. Tales enim injustitiâ, perjuriis, & cæterâ improbitate vitæ sceleratæ, eas sibi quas in Thesauris habent, opes congesserunt. Nos autem aliquid ab ipsis accipientes participes horum efficimur.

Εἶπε γέρων· ἀγωνίζου ὅπως ὁ νοῦς σου φροντισθείη παρὰ Θεοῦ, καθαρθείη δὲ ἡ ψυχή, καὶ τὸ σῶμα καθαγνισθείη· καὶ τέλος ἁπλοῦν γένηται διὰ τῆς ἁπλουστάτης τῆς τριάδος ἕνωσιν· καὶ γένηται ὁ ἄνθρωπος οὐ σαρκικός, ἀλλὰ τὸ ὅλον πνευματικός· μεταστοιχειωθέντων τῶν δύο γνωμικῇ προαιρέσει, εἰς τὸ τρίτον καὶ πρῶτον, λέγω δὴ τὸν νοῦν.

Dixit Senex : Contende ut tua mens erudiatur à Deo: purgetur verò Anima, corpus quoque castum reddatur : ac demùm simplex fiat per simplicissimam Trinitatis unitatem. Evadatque sic Homo, non carnalis, neque animalis, sed totus Spiritualis: duobus, hoc est, corpore & animâ, transelementatis intellectuali Proposito, in tertium & Princeps, dico autem, mentem.

Εἶπέ τις τῶν Πατέρων· ἐφ' ὅσον ὁ νοῦς ἡμῶν ὑπὸ τῆς ἁμαρτίας ὀχλεῖται, οὔπω τῆς συγχωρήσεως αὐτῆς ἐτύχομεν· οὐδέπω γὰρ καρποὺς ἀξίους πεποιήκαμεν τῆς μετανοίας·

Dixit aliquis Patrum: quoad mens nostra impugnatione peccati turbatur : nondum plenum ejus in bonum obtinuimus assensum. Nondum enim

fructus dignos pœnitentiæ, fecimus. Fructus quippe Pœnitentiæ, est Animæ à malâ passione liberatio perfecta. Nam à peccato quod ausi sumus post baptisma consciscere, per veram pœnitentiam liberamur.

καρπὸς δὲ τῆς μετανοίας ἐστὶν ἀπάθεια ψυχῆς· τῆς γὰρ μετὰ τὸ βάπτισμα τολμηθείσης ἁμαρτίας, διὰ τῆς γνησίας μετανοίας ἐλευθερούμεθα.

Dixit rursus: Ad tres quasi scopulos impingit intellectus errans. Ad malos in vitâ mores: ad exercitia pravæ cupiditatis; & ad naturalia corporis. Hæc igitur sola potest corrigere cognitio veritatis.

Εἶπε πάλιν· πρὸς τρία ὁ λογισμὸς ἔχει τὴν πλάνην· πρὸς τὰ ἐν τῷ βίῳ κακὰ ἔθη, καὶ πρὸς τὰς ἐνεργείας τῆς ἀτόπου ἐπιθυμίας, καὶ πρὸς τὰ φυσικὰ τοῦ σώματος· ταῦτα οὖν μόνη διορθῶσαι δύναται ἀληθείας ἐπίγνωσις.

Dixit rursus: Ob quinque rationes saturitatem oportet aversari. Ne gravetur mens: ne insurgant Passiones: Ne vacemus iis agendis quæ non conveniunt: ad fugiendam crudelitatem. Crudeles enim sumus, si cum alij necessario alimento carentes cruciantur, nos luxuriabimur superfluis absumendis. Denique ne occasionem & irritamentum peccati, escam habeamus. Plerumque enim ob cibum furamur, mentimur, juramus, simulamus.

Εἶπε πάλιν· διὰ πέντε αἰτίας τὸν κόρον χρὴ ἀποστρέφεσθαι· διὰ τὸ μὴ βαρεῖσθαι τὸν νοῦν· διὰ τὸ μὴ ἐπανίστασθαι τὰ πάθη· διὰ τὸ ἀσχοληθῆναι εἰς ἃ μὴ δεῖ· διὰ τὸ φεύγειν τὴν ὠμότητα· ἐὰν γὰρ ἄλλων κακουμένων ἡμεῖς τρυφῶμεν, ὠμότητα ἔχομεν· καὶ διὰ τὸ μὴ γίνεσθαι πρόφασιν ἁμαρτίας τὴν τροφήν· πολλάκις γὰρ διὰ τροφὴν κλέπτομεν, καὶ ψευδόμεθα, καὶ ὀμνύομεν, καὶ ὑποκρινόμεθα.

Dixit Senex: nullâ re sic conciliatur Deus, ut austeritate vitæ, & ultrò susceptâ tolerantiâ malorum. Ita ut constitutum sit æquum pretium parandæ Dei in hominem benevolentiæ, Lacrimæ.

Εἶπε γέρων· οὐδενὶ τῶν ἁπάντων ὡς κακοπαθείᾳ Θεὸς θεραπεύεται, καὶ δάκρυσι τὸ φιλάνθρωπον ἀντιδίδοται.

ΠΑΥΛΟΥ ΤΟΥ ΕΝ ΤΩΙ Λάτρῳ.

Ὁρῶν ὁ κλεινὸς Συμεών, μαθητὴς ὢν τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ, ποτὲ μὲν χαρίεντα τὴν ὄψιν αὐτοῦ ὑπὲρ ἄρα καὶ ἦν· ποτὲ δὲ σκυθρωπὸν καὶ τοῦ συνήθους ἐξηλλαγμένην· καιροῦ τυχόντος ἐκείνῳ ἐπιτηδείου, ἐζήτησε τὴν αἰτίαν· ὁ δὲ αὐτὸς ὅπως εἶχεν ἐξήγγειλεν· ἐφίλει γὰρ ἐκεῖνον καὶ τὴν ἀλήθειαν· ἡνίκα, φησί, μηδεὶς παρελθὼν ἐμποδίσῃ μοι, καὶ τὸ τῆς ἡσυχίας ἐπιταράξῃ καλόν· ὁρῶ κύκλῳ περὶ ἐμὲ φῶς ἥδιστόν τε καὶ χαριέστατον· καὶ τούτου κατατρυφῶν ἐγὼ καὶ καθαρῶς ἐνηδόμενος, εἰς λήθην ἔρχομαι οὐ τροφῆς καὶ ποτοῦ μόνον, ἀλλὰ καὶ τοῦ κόσμου παντός· ἱλαρὸς ὅλος καὶ εὔθυμος γίνομαι· καὶ τοῖς ἐρχομένοις κατὰ τὸν καιρὸν τοῦτον ὁρῶμαι περιχαρής· ὅταν δέ τις παραβαλὼν τὴν ἡδίστην μοι διατριβὴν περικόψῃ, καὶ πρός τινας ἑλκύσῃ με λόγους, εὐθὺς ἀπολείπεται τὸ γλυκὺ τοῦτο πάγκαλον φῶς, καὶ παρὰ τοῦτο σκυθρωπὸς γίνομαι· καὶ τῶν συνήθως μοι προσιόντων τὴν ὁμιλίαν ἀπέστραμμαι. Πρὸς ταῦτα ὁ Συμεών· ἀλλ' ὅρα Πάτερ· (καὶ μὴ θράσους νομίσῃς τὸ ἐρώτημα· ψυχῆς δὲ μᾶλλον τῆς σῆς μεγαλειότητος περικαιομένης) μήπο-

PAULI IN LATRO habitantis.

Videns inclitus Symeon Discipulus Sancti Pauli in Latro habitantis, Magistrum suum renidentem interdum, & læto super solitum vultu: aliàs mœstum, & è consuetâ tranquillitate in tristitiam notabilem mutatum, captato idoneo tempore, causam ejus diversitatis quæsivit. Et ille fassus est quod erat. Illum enim pariter & veritatem amabat. Quando, ait, nemo adveniens impedit me, beatæ meæ quietis obturbans Paci, video circa me lucem suavissimam & gratissimam, quâ fruens ego & purè in sinu gaudens, in oblivionem venio non cibi solùm ac potús, sed & mundi totius. fioque totus hilaris ac plenus gaudij. quod qui me tunc adeunt facilè observant, florem quemdam sese Lætitiæ prodentis in oculis & facie notantes. Ubi vero quispiam interveniens molestus arbiter, suavem illum mihi statum abruperit, ad confabulationes inanes abducens, statim me deserit dulcis illa & præclara lux; propterea que mœ-


stus fio, & Familiarium me adeuntium conversationem aversor. Ad ea Symeon: At vide, Pater, (ne quæso, quod dicam audaciæ imputes: cum sit potiùs libertas Animæ zelo tuæ gloriæ flagrantis) vide, inquam, ne forte lux ista lux divina non sit; sed ludibrium adversariæ potestatis. Cui Sanctus: Nihil in hoc turberis, reposuit: Expertus enim luces ambas, Divinam & Diabolicam, unam ab aliâ facilè discerno. Et si vis breviter de his differens, utriusque discrimina exponam. Adversariæ quidem potestatis lux, ignea quædam ac fumosa, sensibilis flammæ simile quiddam est. ac cum illam perturbationes habens mediocriter pacatas, & satis purgata viderit Anima, insuave quiddam patiens, ultrò abominatur. Lux vero boni Dei, bona, jucunda & sincera est, accessu tranquillo mentem intimè sanctificans; splendore, gaudio, hilaritate animam replens; ipsamque mitem, & benignam in quosvis reddens. Hanc talem, heu; abigunt, assensûs ad cogitationes malas, captivitas mentis, & mundanæ conversationes.

τι τὸ φῶς τοῦτο οὐ φῶς ἐστι θεῖον· ἀλλὰ καὶ τῆς ἀντικειμένης δυνάμεως. Καὶ ὁ ὅσιος· μηδὲν ἐν τούτῳ ταραχθῇς, φησί· πεπείραμαι ἀμφοτέρων, τοῦ θείου λέγω, καὶ τοῦ δαιμονιώδους· καὶ, εἰ βούλει, ἐρῶ σοι μικρὸν περὶ τούτων. Τὸ μὲν τῆς ἀντικειμένης δυνάμεως φῶς πυροειδές ἐστι καὶ καπνῶδες καὶ τοῦ αἰσθητοῦ τούτου πυρὸς ὅμοιον· καὶ ἐπειδὰν αὐτὸ μετριοπαθὴς ψυχὴ καὶ κεκαθαρμένη θεάσηται, ἀηδῶς ἔχει πρὸς αὐτὸ καὶ βδελύττεται· τὸ δὲ τοῦ ἀγαθοῦ Θεοῦ ἀγαθόν ἐστι χαριέστατόν τε καὶ ἀκραιφνὲς, καὶ προσβαλὸν ἁγιάζει· φωτός τε καὶ χαρᾶς καὶ ἱλαρότητος πληροῖ τὴν ψυχὴν, καὶ ἠπίαν αὐτὴν καὶ φιλάνθρωπον ἀπεργάζεται. τοῦτο οὖν, φεῦ, ἀπελαύνουσι λογισμῶν φαύλων συγκαταθέσεις, αἰχμαλωσία νοὸς, καὶ κοσμικαὶ ὁμιλίαι.




OPUSCULUM X.

Τοῦ Ἁγίου	S.
ΑΜΦΙΛΟΧΙΟΥ	AMPHILOCHII
Περὶ τοῦ μὴ ἀπογινώσκειν.	De non desperando.
Λόγος.	Liber.



Δελφός τις ἡττηθεὶς ὑπὸ τῆς πορνείας, καθ' ἡμέραν ηὑρίσκετο τὴν ἁμαρτίαν ἀποτελῶν· καθ' ἑκάστην δὲ δάκρυσι καὶ προσευχαῖς ἐξιλεοῦτο τὸν δεσπότην τὸν ἴδιον· οὕτως δὲ ποιῶν δελεαζόμενος τῇ κακίστῃ συνηθείᾳ, τὴν ἁμαρτίαν ἀπετέλει· ἔπειτα πάλιν μετὰ τὸ τελέσαι τὴν ἁμαρτίαν ἐν τῇ ἐκκλησίᾳ ἀπήρχετο, καὶ βλέπων τὸν τίμιον καὶ σεβάσμιον χαρακτῆρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔρριπτεν ἑαυτὸν ἔμπροσθεν αὐτοῦ, μετὰ πικρῶν δα-



RATER quidam victus Spiritu fornicationis, quotidie id peccatum consummabat: ac statim post pœnitentiâ correptus, lacrymis quovis die & obsecrationibus conabatur propitium sibi Dominum Deum suum reddere. Sic autem faciens Paulò tamen post illectus pessimâ consuetudine in peccatum idem relabebatur. quo facto, solitâ subitò ictus pœ-

nitudine, ibat in Ecclesiam; visoque ibi pretioso ac venerando charactere Domini Nostri Jesu Christi, prosternebat se ante illum cum amaris lacrymis dicens: miserere mei Domine, & tolle à me fraudulentã tentationem hanc quæ me dirè opprimit cædens & vulnerans fœdarum acerbitate voluptatum. Nam præ pudore non audeo Domine oculos intendere ad spectandum Sanctum Characterem tuum, & splendidiorem sole tui vultûs speciem: cupiens tamen eo frui spectaculo, ut cor meum recreatum in te lætetur. Talia locutus simul exiit ab Ecclesiâ, in idipsum lutum recidit. Verum ne tunc quidem desperavit salutem suã, sed rursus à peccato resiliens, conversus reversusque in Ecclesiam ibi paria prioribus clamabat, dicens amanti homines Deo: Te Domine fidejussorem constituo, pollicens & protestans: me numquam ex nunc admissurum id peccatum. Tantum; O bone, ignosce, quæ ab initio usque ad hanc diem deliqui. Hâc tamen infelix terribili obtestatione factâ; nihilominus infame istud flagitium denuò conscivit. ap-

κρύων λέγων· ἐλέησόν με Κύριε, καὶ ἆρον ἀπ' ἐμοῦ τὸν δόλιον πειρασμὸν τοῦτον, ὅτι ὑποπιάζει με δεινῶς, καὶ τιτρώσκει με τῇ πικρίᾳ τῶν ἡδονῶν· οὐ γὰρ ἔχω πρόσωπον δέσποτα ἀτενίσαι καὶ ἰδεῖν τὸν χαρακτῆρα τὸν ἅγιόν σου, καὶ τὴν ὑπὲρ ἥλιον τοῦ προσώπου σου θέαν, ὅπως ἡ καρδία μου ἡδυνθεῖσα εὐφρανθήσεται· ταῦτα λέγων ἐξερχόμενος τῆς ἐκκλησίας εἰς τὸν αὐτὸν βόρβορον ἔπιπτεν· ἀλλ' ὅμως οὔτε πάλιν ἀπεγίνωσκε τῆς ἑαυτοῦ σωτηρίας· ἀλλ' ἐκ τῆς ἁμαρτίας ἀνθυποστρέφων ἐν τῇ ἐκκλησίᾳ τὰ παρόμοια ἐπεφώνει πρὸς τὸν φιλάνθρωπον Θεὸν, λέγων· σὲ Κύριε ἐγγυητὴν τίθημι ἀπὸ τοῦ νῦν, ὅτι οὐκ ἔτι ποιῶ τὴν ἁμαρτίαν ταύτην· μόνον ἀγαθὲ συγχώρησόν μοι ἅπερ ἀπ' ἀρχῆς, καὶ μέχρι τῆς δεῦρο ἥμαρτον· ἡνίκα δὲ τὰς φοβερὰς ταύτας εἶχε ποιῆσαι συνθήκας, πάλιν εἰς τὴν πονηρὰν ταύτην ἁμαρτίαν ηὑρίσκετο· καὶ ἦν ἰδεῖν τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἄπειρον ἀγαθότητα ἀνεχομένην καθεκάστην καὶ ὑπομένουσαν τὴν ἀδιόρθωτον καὶ πονηρὰν παράβασιν καὶ ἀγνωμοσύνην τοῦ ἀδελφοῦ, καὶ ἀπὸ πλήθους ἐλέους ζητοῦσαν αὐτοῦ τὴν μετάνοιαν· οὐ γὰρ χρόνον τοῦτο ἐποίησεν ἢ δύο ἢ τρεῖς· ἀλλ' ἐπὶ δέκα ἔτη καὶ ἐπέκεινα· ὁρᾶτε ἀδελφοὶ τὴν ἀμέτρητον ἀνοχὴν καὶ ἄπειρον φιλανθρωπίαν

θρωπίαν τοῦ δεσπότου πῶς ἑκάστοτε μακροθυμεῖ καὶ χρηστεύεται ὑπομένων τὰ χαλεπὰ ἡμῶν ἀνομήματα· ἐκεῖνο γάρ ἐστι φρίξαι καὶ θαυμάσαι εἰς τοὺς πλουσίους οἰκτιρμοὺς τοῦ Θεοῦ· ὅτι συντασσόμενος καὶ συντιθέμενος τοῦ μὴ ποιήσασθαι ἄλλοτε ἁμαρτίαν, ηὑρίσκετο ψεύστης· ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὡς ταῦτα ἐπράττετο, ἐργασάμενος τὴν ἁμαρτίαν ἔρχεται δρομαῖος ἐν τῇ Ἐκκλησίᾳ θρηνῶν καὶ στένων καὶ ὀλοφυρόμενος, καὶ βιάζων τὰ σπλάγχνα τοῦ ἀγαθοῦ δεσπότου συμπαθῆσαι αὐτῷ, καὶ ἐκφυγεῖν ἐκ τοῦ βορβόρου τῆς ἀσωτείας· καὶ δὴ ὡς παρεκάλει τὸν φιλάνθρωπον Θεὸν, ἰδὼν ὁ ἀρχέκακος φθορεὺς τῶν ψυχῶν ἡμῶν Διάβολος, ὅτι οὐδὲν ὠφελεῖ· ἀλλ' ἅπερ αὐτὸς διὰ τῆς ἁμαρτίας συνέρραπτεν, ὁ ἀδελφὸς διὰ τῆς μετανοίας παρέλυεν, ἀναισχυντήσας φαίνεται αὐτῷ ὀφθαλμοφανῶς, τὸ πρόσωπον αὐτοῦ ἀτενίζων, καὶ λέγων πρὸς τὸν σεβάσμιον χαρακτῆρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὢ τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ Χριστέ· ἡ ἄπειρός σου συμπάθεια νικᾷ καὶ ἐδαφίζει με· διὰ τὸ δέχεσθαί σε τοῦτον τὸν πόρνον, τὸν ἄσωτον, ὃς ψεύδεταί σοι καθ' ἡμέραν καταφρονῶν τοῦ κράτους σου· διατί οὖν οὐ καίεις αὐτὸν, ἀλλὰ μακροθυμεῖς καὶ ἀνέχῃ; σὺ γὰρ μέλλεις κρῖναι τοὺς μοναχοὺς τοὺς πόρνους.

parente mirabiliter immensâ Dei benignitate, & inexhaustâ clementiâ in sustinendo & expectando tam longanimiter incorrigibilem toties iteratam transgressionē ingratissimi Fratris. Dum hujus pœnitentiam infinitâ misericordiæ patientiâ opperiens & quærens, ultimam perire toties meriti damnationem differt. non enim in istâ nequitiâ Frater permansit uno, altero, tertiove, sed ultrà decem annos. Videte Fratres immensam tolerantiam & infinitam benignitatem Domini, ut identidem mirè longanimem exercet patientiam in sustinendis atrocibus nostris sceleribus. Planè hinc convenit cum stupore, nec sine reverenti horrore admirari divitias miserationum Dei erga perfidum sine fine iterantem semper mendaces promissiones non peccandi. Quodam igitur Die post consuetum in nefandam immunditiam relapsum, cucurrit in Ecclesiam: ibique peccatum cum gemitu lacrymisque detestatus, vim faciebat visceribus divinæ misericordiæ, obsecrans bonum Dominum ut veniam peccati concederet, gratiamque ac vires

daret emergendi è luto nequitiæ. Eo sic Deum orante: videns corruptor antiquus animarum nostrarum Diabolus, nihil se cum illo Fratre proficere, frustrà toties à se inducto in peccatum; sed statim per pœnitentiam abrumpente laqueos quibus eum Dæmon irretierat: apparuit sensibili specie, Monachum Pœnitentem rectà intuens; moxque ad venerabilem Domini Nostri Jesu Christi conversus Characterem, dixit: O, quid mihi & tibi Jesu Christe, immensa tua misericordia vincit & prosternit me: dum ad reconciliationem accipis hunc fornicarium luxuriosum, qui mentitur tibi quotidie irridens numen tuum. quare igitur non comburis ipsum, sed longanimiter eum sustines? An non enim ad te spectat judicare Monachos Fornicatores? verè non es æquus Judex: & cum tuo libet arbitrio, absolvis merentem damnari, ad ejus nota scelera connivens. Atqui me ob exiguam transgressionem elationis, olim è Cœlis in infima Mundi dejecisti. Huic vero mendaci, fornicatori, luxurioso indulges & sine fine inge-

ὄντως οὐκ εἶ δίκαιος κριτής· ἀλλ' ὅπου δόξοι τῷ Κράτει σου παρακρίνεις καὶ παραβλέπεις· κἀμὲ διὰ μικρὰν παράβασιν τῆς ἐπάρσεως, ἄνωθεν ἐκ τῶν οὐρανῶν κάτω ἀπέρριψας· καὶ οὗτος ψεύστης ὢν καὶ πόρνος καὶ ἄσωτος, τὴν εὐμένειάν σου χαρίζῃ αὐτῷ· τί οὖν καλοῦσί σε κριτὴν δικαιότατον; ὡς ὁρῶ γὰρ ὅτι καὶ σὺ πρόσωπα δέχῃ ἀπὸ πολλῆς ἀγαθότητος, καὶ τὸ δίκαιον παραβλέπεις· ἔλεγε γὰρ τὰ τοιαῦτα ὁ Διάβολος ἀπὸ πολλῆς πικρίας δριμυσσόμενος, καὶ φλόγα ἠσβολωμένην ἐκφέρων ἐκ τῶν μυκτήρων αὐτοῦ· ταῦτα εἰπὼν ἐσίγησε· καὶ γίνεται φωνὴ ὡς ἐκ τοῦ θυσιαστηρίου λέγουσα· ὦ δράκων παμπόνηρε καὶ ὀλέθριε, οὐκ ἐκορέσθης τῇ πονηρᾷ σου γνώμῃ, ὅτι τὸν κόσμον κατέπιες· ἀλλὰ καὶ προσελθόντα ἀφάτῳ μετὰ τῆς εὐσπλαγχνίας μου σπεύδεις καὶ αὐτὸν ἁρπάσαι καὶ καταπιεῖν· ἔχεις πταίσματα τοσαῦτα ἵνα ἀντισταθμέσοις ὀξέως πρὸς τὸ τίμιον αἷμα ὅπερ ἐπὶ σταυροῦ ἐξέχεα ὑπὲρ αὐτοῦ; ἰδοὺ ἡ σφαγή μου καὶ ὁ θάνατος συνεπαύθησαν αὐτοῦ τὰς ἀνομίας· καὶ σὺ μὲν ὅτι εἰς τὴν ἁμαρτίαν ἔρχεται οὐκ ἀποδιώκεις αὐτόν, ἀλλὰ δέχῃ μετὰ χαρᾶς καὶ οὐκ ἀποστρέφῃ, οὔτε ἐμποδίζεις μετὰ ζῶν αὐτὸν κερδῆσαι· καὶ ἐγὼ ὁ τοιοῦτος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ κελεύ-

σας τῷ κορυφαίῳ μου ἀποστόλῳ Πέτρῳ συγχωρεῖν ἕως ἑβδομηκοντάκις ἑπτὰ τῷ ἁμαρτάνοντι καθημέραν, ἄρα οὐκ ἀφήσω, ἄρα οὐκ ἐλεήσω αὐτόν; ναὶ· καὶ γὰρ ἐπειδὴ προστρέχει μοι, οὐκ ἀποστραφήσομαι αὐτόν, ἕως ἂν κληρονομήσω αὐτόν· διὰ γὰρ τοὺς ἁμαρτωλοὺς ἐγὼ ἐσταυρώθην, καὶ τὰς ἀχράντους παλάμας δι' αὐτοὺς ἐξεπέτασα· ἵνα ὁ βουλόμενος σωθῆναι καταφύγῃ καὶ σώζηται. οὐδένα γὰρ ἀποστρέφομαι οὔτε ἐκδιώκω, κἂν μυριάκις τῆς ἡμέρας πταίσῃ καὶ μυριάκις ἔλθῃ πρός με, οὐ μετεξέλθῃ λυπούμενος· καὶ γὰρ οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν· ὡς δὲ ἐγένετο αὕτη ἡ φωνὴ ἵστατο ὁ Διάβολος τρέμων, καὶ ἀποδρᾶσαι μὴ δυνάμενος· καὶ πάλιν γίνεται φωνὴ λέγουσα· ἄκουσον ἀπατεὼν περὶ οὗ λέγεις· ὅτι ἄδικός εἰμι· ἐγὼ γὰρ εἰς πάντας δίκαιός εἰμι, καὶ ἐν ᾧ εὕρω τινὰ ἐν τούτῳ καὶ κρίνω· ἰδοὺ οὖν τοῦτον εὗρον τέως ἐν μετανοίᾳ, καὶ ἐπιστροφῇ παρὰ ποδῶν μου κείμενον, καὶ νικητὴν σου φαινόμενον· λήψομαι καὶ σώσω τὴν ψυχὴν αὐτοῦ ὡς μὴ ἀπογνόντα τὴν σωτηρίαν αὐτοῦ· σὺ δὲ θέασαι τὴν τιμὴν αὐτοῦ καὶ διαπρίσθητι ἀπὸ τοῦ φθόνου, καὶ καταισχύνθητι· κείμενος οὖν ὁ ἀδελφὸς ἐπὶ πρόσωπον ὀδυρόμενος παρέδωκε τὸ πνεῦμα· καὶ εὐθέως

ris toties ab eo ſpretam tuam gratiam. Quare igitur te vocant Judicem æquiſſimum? Ut video, etiam tu perſonas accipis præ nimiâ lenitate, & jus ac juſtum negligis ſciens videnſque. Talia tâm blaſphema auſus eſt effutire Diabolus, eruptione iræ amariſſimæ in tantũ furorem actus: quem etiam ſpirabat flammâ è naribus ſcintillante. ſilente his dictis Diabolo, audita vox eſt ex altari dicens: O peſſime & pernicioſe Draco: nondum ſatiata eſt tua immanis & rabioſa perdendorum hominum fames, poſt deglutitum mundum, ut adhuc & huic miſero invideas accedenti ad me, & ex meâ ineffabili miſericordiâ proficere ad ſalutem propriam ſtudenti. quin & hunc rapere ac devorare aviditate inexplebili contendis. Age, habes quæ arguas in illo tot & tam gravia delicta, quæ meritis pretioſi cruoris à me pro illo in cruce fuſi ex æquo librata præponderent? En cædes illata mihi & mors quam ſum in ejus utilitatem paſſus óbruunt & abſorbent cunctas ėjus iniquitates. Ac tu quidem quando toties à me abſcedens redibat ad te, recidendo in

peccatum, non repellebas ipsum nec te ab illo avertebas, aut obstabas ne quod volebat ageret: Sed libens & cum gaudio excipiebas, sperans ipsum lucrari. Et æquum censes me, qui tantam præ me fero in homines caritatem ac

ὀργὴ μεγάλη ὡς πῦρ παραφαινομένη ἔπεσε τῷ Σατανᾷ, καὶ κατέσθιεν αὐτόν· ἐντεῦθεν οὖν μανθάνομεν ἀδελφοὶ τὴν ἄμετρον τοῦ Θεοῦ εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν· καὶ οἷον καλὸν ἔχομεν δεσπότην· καὶ μηδέποτε ἀπογνῶμεν, ἢ ἀμελήσωμεν τῆς ἑαυτῶν σωτηρίας.

misericordiam: quique Principi meorum Apostolorum Petro præcepi, ut ignosceret usque septuagies septies peccanti, pœnitenti, utcumque per tantum tempus quotidiè lapso, indulgentiam quam dolens & suplex postulat, negare? non igitur ego illa delicta remittam? certè remittam, dignaborque veniâ: nec aversabor ipsum, aut eum deseram, donec hereditatis beatæ compotem faciam. Propter peccatores enim ego crucifixus sum, & immaculatas meas manus propter ipsos extendi. Ut qui salvus esse voluerit ad me confugiat, & salutem nanciscatur. Neminem enim aversor, neque rejicio; quantumvis decies millies in die ceciderit. Si toties revertatur ad me, numquam abibit à me dolens re infectâ. Veni enim vocare, non justos, sed peccatores ad pœnitentiam. Interim dum intonabat hæc vox, stabat Diabolus tremens, nec valens, uti cupiebat, se subtrahere. Rursus autem insonuit vox dicens: Audi deceptor circa id quod dixisti: injustum esse me. Ego in omnes justus sum. & in quo statu quemque invenero, in eo judicabo. En igitur hunc in pœnitentiâ & conversione ad me reperio, jacentem ad pedes meos, de te victo triumphantem. quidni eum admittam & salvem animam ejus, quæ non desperavit salutem propriam. Tu verò esto spectator honoris quo ipsum afficio, & ringere ac præ invidiâ disrumpere, pudore ignominiâque obrutus. Prostratus igitur frater pœnitens in faciem, flens, intimoque ardens dolore ob peccata quæ memorans & confitens detestabatur, Spiritum Deo reddidit. Et confestim ira magna specie ignis apparens, incidit in Satanam obruitque ipsum intimo urens absorbensque cruciatu. Hinc ergo, Fratres, intelligamus immensam

Dei misericordiam atque in homines caritatem. gratulemurque nobis quod tam bonum habemus Dominum. Nec umquam desperemus, aut salutem nostram, quocumque simus in statu, negligamus.

Γέρων τις τῶν μεγάλων ὑπερβὰς καὶ νικήσας τῶν δαιμόνων τοὺς πειρατμοὺς, οὐκ ἔτι τούτους ἐν συγκρίσει εἶχεν· ἀλλ' ἦν θεωρῶν τοὺς ἀγγέλους· εἷς δὲ τῶν δαιμόνων λέγει ἑτέρῳ δαίμονι· ἀδελφὲ Ζερέφερ, ἆρα ἐὰν μεταμέλῃ τις ἐξ ἡμῶν δέχεται τοῦτον ὁ Θεός; λέγει ὁ Ζερέφερ· ὑπάγω, ἐρωτῶ τόνδε τὸν γέροντα τὸν μὴ φοβούμενον ἡμᾶς· λέγει ἐκεῖνος· ἄπελθε· καὶ ἐπορεύθη ὁ δαίμων μετασχηματισθεὶς εἰς ἄνθρωπον· καὶ ἤρξατο θρηνεῖν ἐνώπιον τοῦ γέροντος· ὁ δὲ γέρων θεασάμενος αὐτὸν θρηνοῦντα (ἀπέκρυψε γὰρ αὐτοῦ ὁ Θεὸς τίς ἐστιν, ὅπως δείξῃ ὡς πάντας δέχεται ἡ αὐτοῦ ἀγαθότης) λέγει πρὸς αὐτόν· τίς εἶ ὦ ἂν σὺ, καὶ πῶς τὰ κατά σε; ὁ δὲ ἔφη Πάτερ ἅγιε· ἐγὼ οὐκ εἰμὶ ἄνθρωπος· ἀλλὰ δαίμων διὰ τὴν ἀνομίαν μου· ὁ δὲ γέρων λέγει· καὶ τί θέλεις ποιήσω σοι; ὁ δαίμων λέγει· θέλω ἵνα δεηθῇς τοῦ Θεοῦ σου καὶ φανερώσῃ σοι, ἂν δέχεται Διάβολον εἰς μετάνοιαν· ὁ γέρων λέγει· ἄπελθε ἐν τῷ οἴκῳ σου, καὶ αὔριον ἐλθέ· ἀπελθόντος οὖν δαίμονος παρεκάλει ὁ γέρων τὸν Θεὸν φανερῶσαι αὐτῷ, εἰ δέχεται ἄν-

Senex quidam ex Magnis, etsi jam superior tentationibus sæpe victis Dæmonum malorum, & visis Angelorum dignari solitus, tamen nondum eam erat Spirituum adeptus discretionem cui non aliquando vafrities illuderet Dæmoniorum, ubi vel propriam dissimulare vel alienam simulare, ipsum alloquendo, personam vellent. Unus ergo quispiam Dæmonum alteri dixit: Frater Zerefer: num putas, si quem nostrum pœniteat scelerum, fore ut conversionem ejus suscipiat Deus & veniâ dignetur? Cui alter: vado, inquit, & consulo de hoc Senem hunc qui nos non timet. Id cum alius probasset, Diabolus Zerefer transformatus in hominem, cepit lugere in conspectu Senis: qui lugentem videns quem existimabat hominem (abscondebat quippe ipsi quis esset, Deus, ut ostenderet, bonitatem suam, quantum est in ipsâ situm, paratam omnes admittere) ait illi: quis es tu? & quomodo se res tuæ habent?

ille autem dixit: non sum homo; sed Dæmon propter iniquitatem meam. Respondit Senex: & quid vis tibi faciam? ait Dæmon: volo ut petas à Deo tuo manifestari tibi: utrum Diaboli pœnitentiam accepturus sit. dicit ei Senex: vade in Domum tuam (adhuc enim putabat esse hunc hominem, qui se Diabolum vocaret ob gravitatem multitudinemque peccatorum) & redi cras hùc ad me. Illo profecto: Senex orabat Deum, ut sibi manifestare dignaretur, an ad pœnitentiam admitteret hominem qui plus quàm ipsi Dæmones peccasset. Et statim Angelus Domini ipsi adstitit, dicens: Hæc dicit Dominus: pro vero Dæmone interrogasti me: quippe ille dolosè tentans te, in formâ hominis apparuit. ait Senex: quomodo autem hoc Dominus abscondit à me? respondit Angelus: ne turberis super hoc: providè siquidem id est factum ut monstraretur ineffabilis Dei misericordia neminem aversantis qui verè ad ipsum convertatur. Quando igitur redierit ad te Diabolus tentator, ne insultes ipsi à principio, sed dic illi: misericors

θρωπον ὑπερβάντα τῶν ἁμαρτίαις καὶ δαίμονας; καὶ εὐθέως ἄγγελος Κυρίου ἐπέστη αὐτῷ λέγων· τάδε λέγει Κύριος· ὅτι ὑπὲρ δαίμονος ἠδεήθης μοι· καί τοι αὐτός γε πειράζων σε ἐν δόλῳ παραγέγονεν· ὁ γέρων λέγει· καὶ πῶς ὁ Κύριος τοῦτο ἀπέκρυψεν ἀπ᾽ ἐμοῦ· ὁ ἄγγελος λέγει· μὴ ταραχθῇς ἐπὶ τούτῳ· οἰκονομία γὰρ γέγονεν ἵνα δειχθῇ ἡ ἄφατος Θεοῦ φιλανθρωπία· ὅτι οὐδένα ἀποστρέφεται ἐὰν ἀληθῶς μετανοήσῃ· ὅταν οὖν ἔλθῃ πρός σε ὁ πειράζων Διάβολος, μὴ θριαμβεύσῃς αὐτὸν ἐκ πρώτης· ἀλλ᾽ εἰπὲ αὐτῷ· ὁ φιλάνθρωπος Θεὸς οὐδένα ἀποστρέφεται τῶν μετανοούντων, καί σε οὖν ἐπηγγείλατο δέξασθαι, ἐὰν τηρήσῃς ὅσα σοι παρ᾽ ἐμοῦ κελευσθήσονται· ὅταν οὖν εἴπῃ σοι· καὶ τίνα εἰσίν; εἰπὲ αὐτῷ· οὕτω σοι Θεὸς ἐνετείλατο· οἶδά σε τίς εἶ καὶ ἀπόθεν ἥκεις πειράζων· σὺ γὰρ εἶ ἀρχαῖον κακὸν, καὶ ἤθισας ἐν τῇ ὑπερηφανίᾳ σου καὶ πῶς δυνήσῃ μετανοῆσαι· ὅμως ἵνα μὴ ἔχῃς πρόφασιν ἀπολογίας, πρόσεχε τοῖς λεγομένοις· εἶπεν Θεός· ποιήσῃς τρία ἔτη ἐν ἑνὶ τόπῳ ἀκίνητος πρὸς ἀνατολὰς διαστρεφόμενος ἐν νυκτὶ καὶ ἡμέρᾳ, καὶ λέγῃς τοῖς τρισὶν ἔτεσιν οὕτως· ὁ Θεὸς, σῶσόν με τὸ βδέλυγμα, ἰσχυρᾷ φωνῇ· καὶ πάλιν· ὁ Θεὸς ἐλέησόν με τὸ ἀρχαῖον κακὸν, ὁ

Θεὸς βοήθησόν με τὴν ἐσκοτισμένην ἀπάτην· ταῦτα δὲ μὴ παύσῃ κράζων· οὐ γάρ εἶ ἄνθρωπος, ἀλλὰ πνεῦμα· ὅταν δὲ τελέσῃς τὰ τοιαῦτα, τότε ἀριθμηθήσῃ τοῖς ἀγγέλοις τοῦ Θεοῦ· ταῦτα εἰρηκὼς ὁ ἄγγελος πρὸς τὸν γέροντα ἀπῆλθεν ἀπ' αὐτοῦ· πρωῒ δὲ παραγενόμενος ὡς ἄνθρωπος θρηνῶν σφοδρῶς, καὶ χαιρετίζων τὸν γέροντα, ὁ γέρων παρὰ μὲν τὴν ἀρχὴν οὐκ ἐθριάμβευσεν αὐτοῦ τὴν ἐπίνοιαν· ἐν δὲ τῇ καρδίᾳ αὐτοῦ ἔλεγε· κακῶς ἦλθες κλέπτα Διάβολε ἀρχαῖον κακόν· εἶτα λέγει πρὸς αὐτὸν· ὁ Θεὸς ἀπεκάλυψέ μοι ὅτι δέχεταί σε ἐὰν ποιήσῃς ἅπερ προσέταξέ σοι· λέγει· καὶ τίνα εἰσὶν ἅπερ μοι προσέταξεν; ὁ γέρων λέγει· προσέταξέ σοι ἵνα ποιήσῃς στᾶσιν ἐν ἑνὶ τόπῳ τρία ἔτη κράζων ἐν νυκτὶ καὶ ἡμέρᾳ· ὁ Θεὸς βοήθησόν μέ ἀρχαῖον κακόν· καὶ πάλιν· ὁ Θεὸς σῶσόν με τὴν ἐσκοτισμένην ἀπάτην· ταῦτα ἰσχυρᾷ φωνῇ κράζων· καὶ ἐὰν ταῦτα ποιήσῃς, δέχεταί σε ὁ Θεός· ὁ δὲ Ζερέφερ μέγα γελάσας ἔφη πρὸς αὐτόν· ὦ σαπρόγηρε, μὴ γένοιτο καλέσαι ἐμαυτὸν ἀρχαῖον κακὸν, καὶ ἐσκοτισμένην ἀπάτην, ὅτι πολλά εἰμι καλὸς, ὅτι πολλὰ εἰμὶ θαυμαστὸς, καὶ ὡς ὅτι πάντες φοβοῦνται καὶ δουλεύουσί μοι· καλέσω οὖν ἐμαυτὸν βδέλυγμα καὶ

Deus neminem aversatur Pœnitentium. Te igitur quoque promisit recepturum, si executus fueris quæcumque à me imperabuntur tibi. ubi vero ille dixerit: quænam ea sunt? dic ipsi: Hæc mandat tibi Deus: scio quis es, & quo animo venias, tentator. Tu enim es antiquum malum: & inveterasti longo usu in superbiâ tuâ: & quomodo poteris veram concipere pœnitentiam? Tamen ne prætextum excusationis habeas, attende his quæ dicam. Jubet Deus stare te immotum uno in loco per triennium, & conversum ad orientem toto illo tempore diù noctuque continuè dicere: Deus salva me abominabilem. Idque pronuncia voce robustâ adjungens rursus: Deus miserere mei qui sum antiquum malum. Deus miserere mei qui sum fraus tenebrosa. Hæc ne cesses clamare assiduè toto triennio. potes enim cum non sis homo sed Spiritus. Postquam id plenè integréque perfeceris, adnumeraberis Angelis Dei. Hæc locutus Seni Angelus abiit ab ipso. cui cum mane postridie, quâ formâ pridiè apparuerat, homo lugens valde venisset &

ave seni dixisset: haud quaquam ipsi occursu primo Senex fraudem exprobravit & vafritiem simulationis. Tantùm in corde suo dixit. malè venisti fur Diabole, principium omnis malitiæ. Deinde ait illi: Deus revelavit mihi, fore ut te ad veniam admittat, si feceris quæ præcipiet tibi. Dixit Diabolus: quænam autem hæc sunt quæ imperat? Ait Senex: præcipit tibi: stare per triennium uno immotum loco clamando per dies continuè noctesque: Deus miserere mei qui sum origo mali omnis. & rursùs: Deus Salvum me fac, qui sum fraus obtenebrata. Hæc si voce valida perseveraveris triennio clamans, numquam intermittendo iterare, recipiet te Deus in gratiam. Talia Seni dicenti Zerefer altè cachinnans reposuit: Heus Senex putride, absit, absit, umquam ut adducar ad vocandum meipsum Originem mali & obtenebratam fraudem. quin contra profiteor & pulcherrimum esse me, & valde mirabilem, ac talem quem meritò cuncti, vereantur cuique omnes serviant. Talis cum sim, vis vocem ego meipsum abominationem & originale malum? non faciam, prave Senex, non faciam. Et his dictis Diabolus confestim ex oculis evanuit. Hæc videns Senex surrexit in Orationem, secum reputando hoc quod & voce expressit: verè dixit qui dixit: Antiquum malum novum bonum non fit. Ex his nos, Fratres, interim discamus infinitam Domini bonitatem, & avertamur ab omni diffidentiâ. Ecce enim vel Diabolum, si præscripta peregisset, admissurus ad veniam Deus fuerat. at ille obstinatus in delicto, Pœnitentiæ remedium respuit, & mansit qualis erat. Nos verò, conditionem pœnitentiæ

ἀρχαῖον κακόν; οὐχὶ κακόγηρε; οὐχί· ταῦτα εἰπὼν ὁ Διάβολος ἀφανὴς ἐγένετο· ὡς δὲ ἐθεάσατο τοῦτο ὁ γέρων ἀνέστη εἰς προσευχήν· φησὶ γάρ· ἐπ' ἀληθείας εἶπεν ὁ εἰπών· ἀρχαῖον κακὸν νέον καλὸν οὐ γίνεται· μάθωμεν ἀδελφοὶ τὴν τοῦ δεσπότου πολλὴν ἀγαθότητα καὶ ἀποστρέψωμεν· καὶ γὰρ εἰ ἐποίει ὁ δαίμων ἃ εἶπεν ὁ γέρων, ἐδέχετο αὐτὸν ὁ Θεός· ἀλλ' ἐκεῖνος οὐ μετενόησε καὶ ἔμεινεν ὅπερ ἦν· ἡμεῖς δὲ μετανοήσωμεν, ἀγαθὸν καὶ φιλάνθρωπον ἔχοντες δεσπότην, ἵνα τῆς ἐφέσεως ἐπιτύχωμεν.

nitentiæ oblatam gratè, gratanterque accipiamus, ut veniæ gratiæque fiamus compotes.

Διηγήσατο ἡμῖν ὁ Ἀββᾶς Παῦλος, ὁ Καππάδοξ· ὅτι ὅτε γέγονεν ἡ τῶν Περσῶν ἔλευσις, ἐφύγομεν ἀπὸ τῆς μονῆς ἡμῶν καὶ διεσκορπίσθημεν· εἰσελθὼν οὖν ἐν Κωνσταντινουπόλει κατὰ συγκυρίαν εὗρον πλοῖον ἀλεξανδρεῖον, καὶ δοὺς τὸν ναῦλον εἰσῆλθον ἐν αὐτῷ, καὶ δι' ὀλίγων ἡμερῶν ἤλθομεν εἰς Ἀλεξάνδρειαν· καὶ ποιήσας ὀλίγας ἡμέρας εὗρον μοναχοὺς ἀπὸ τοῦ ὄρους τῆς Νιτρίας, καὶ συνοδεύσας αὐτοῖς συνῴκησα τινὶ γέροντι, καὶ ποιήσας μετ' αὐτοῦ ἐνιαυτὸν καὶ μῆνας τρεῖς, ἀπῆλθον πρὸς τὸν Ἡγούμενον τοῦ αὐτοῦ ὄρους καὶ λέγω αὐτῷ· ποίησον ἔλεος Ἀββα, καὶ δός μοι κελλίον πρὸς τὸ ἡσυχάσαι· οὐ δύναμαι συζῆσαι τῷ γέροντι, διότι οὐ φυλάττει ἀκολουθίαν μοναχῶν, ἀλλ' οὐδὲ κοσμικῶν· τίς γὰρ οἶδε μοναχοὺς νηστεύοντας ἐν τῇ Κυριακῇ καὶ ἐν τῇ πεντηκοστῇ, καὶ ἐν ταῖς ἐπισήμοις ἑορταῖς; καὶ τὸ χαλεπώτερον, ὅτι οὐκ ἐᾷ με ψάλλειν τὰς ὥρας, καὶ εἰς τὰς ἡμέρας τῆς τεσσαρακοστῆς κωλύει με νηστεῦσαι διπλῶς· τὸ γὰρ μοναστήριον ἐν ταῖς ἁγίαις ἑορταῖς, καὶ ἐν τῇ πεντηκοστῇ, πολλὴν δαψίλειαν βρωμάτων εἶχον οἱ μοναχοί· ἐν δὲ ταῖς ἁγίαις ἡμέραις τῆς τεσσαρακοστῆς οὔτε ἄρτον, οὔτε οἶνον, οὔτε ἔλαιον ἐσθίο-

Referam deinceps quæ audivimus ex Abbate Paulo cappadoce, sic dicente: Quando Incursio Persarum has regiones afflixit; fugimus è nostro Monasterio, & dispersi sumus. Per hanc procellam delatus ego Constantinopolim, forte illic reperi Navem Alexandrinam, in quâ, dato naulo, sumpsi locum. à fune soluto paucis diebus appulimus Alexandriam: ubi ego moratus dies aliquot, inveni Monachos è Monte Nitriæ, quibus me illùc revertentibus adjungens, perveni cum iis ad quemdam Senem: apud quem diversatus annum unum & menses tres, Adij Præsidem illius Montis, & dico ipsi: fac misericordiam, Abba, & da mihi cellulam in quâ religiosè quietus vivam. Non enim libet, aut salvo mihi posse Officio videor, stare cum isto Sene, quia non servat ordinem Monachorum; ac ne sæcularium quidem. quis enim umquam vidit Monachos jejunantes in Dominicâ, etiam in Pentecoste, insignibusque Festis cæteris. Quodque gravius est, non finit me Psallere Ho-

ras; & in diebus quadragesimæ prohibet me dupliciter jejunare. Nam in Monasterio ubi aliás fui, per Festa Sancta, & in Pentecoste, benigna copia ciborum dabatur Monachis: in diebus vero Sanctis Quadragesimæ, nec panem, nec vinum, nec oleum gustabamus. inque tali vitæ ordine pace animi fruebamur summâ. Et dixit mihi Senex: vade frater, habita cum illo ipso de quo quereris Sene, si omninò vis salvus fieri. Qui enim vult Salvus esse: neque in Festo, neque in Pentecoste, neque in Dominicâ debet cessare à glorificatione Dei, & oratione. Nam ut piscis absque aquâ vivere non potest: sic & Monachus nequit secundùm Deum vivere; sine continuâ oratione, obsecratione, gratiarum actione, jejunio, & vigiliâ. Dupliciter autem jejunare, solis Anachoretis convenit. Pane autem abstinere ac fructibus vesci, satanicum, exitiosum, & vanæ gloriæ inductivum est. Quadraginta verò diebus exercere abstinentiam, Principes, & divites, ac mundana sapientes decet. Lavari autem in balneis, infirmis, & Thymelicis accomodatum Mu-

μεν· ἐν πᾶσιν ὑπερφυῶς ἀνεπαυόμεθα. Καὶ λέγει ὁ γέρων· ἄπελθε ἀδελφὲ, συνοίκησον τῷ γέροντι εἰ ὅλως βούλει σωθῆναι· ὁ γὰρ θέλων σωθῆναι, οὔτε ἐν ἑορτῇ, οὔτε ἐν πεντηκοστῇ, οὔτε ἐν Κυριακῇ, ὀφείλει ἀργεῖν ἀπὸ τῆς δοξολογίας τοῦ Θεοῦ καὶ τῆς εὐχῆς· ὥσπερ γὰρ ἰχθὺς ἄνευ ὕδατος ζῆσαι οὐ δύναται, οὕτω καὶ ὁ μοναχὸς ζῆσαι οὐ δύναται κατὰ Θεὸν ἄνευ διηνεκοῦς προσευχῆς καὶ δεήσεως, καὶ εὐχαριστίας, καὶ νηστείας, καὶ ἀγρυπνίας· τὸ δὲ διπλᾶ νηστεύειν, μόνοις τοῖς ἀναχωρηταῖς ἁρμόζει· τὸ δὲ ἄρτου ἀπέχεσθαι καὶ ὀπώρας ἐσθίειν, σατανικὸν καὶ ὀλέθριον καὶ κενοδοξίας πρόξενον· τὸ δὲ τεσσαράκοντα ἡμέρας ἐγκρατεύεσθαι, Αρχουσι, καὶ πλουσίοις, καὶ κοσμόφροσι πρέπει· τὸ δὲ βαλανείοις λούεσθαι, ἀρρώστοις καὶ θυμελικαῖς γυναιξὶν ἁρμόζει· τὸ δὲ τροπάρια καὶ κανόνας εὐήχους μελίζειν, καὶ τὴν καλλιέπειαν τοῦ ᾄσματος συνέχειν, τοῖς ἱερεῦσι κοσμικοῖς πρέπει· δι' αὐτῶν γὰρ καὶ ὁ λαὸς ἐν ταῖς Ἐκκλησίαις ἀθροίζεται· μοναχοῖς δὲ ἀπρεπὲς καὶ ἀνάρμοστον· ὥσπερ γὰρ ἁλιεὺς δι' ἀγκίστρου καὶ σκώληκος ἀγρεύει τὸν ἰχθὺν· οὕτω καὶ ὁ Διάβολος διὰ τῶν τροπαρίων καὶ τοῦ ᾄσματος, εἰς κενοδοξίαν, καὶ ἀνθρωπαρέσκειαν, καὶ γαστριμαργίαν, καὶ ἀσέλγειαν ὑβρίζει τὸν

μοναχὸν καὶ βοθείζει· μακρὰν οὖν ὀφείλει εἶναι τὸ ᾆσμα ἀπὸ τοῦ μοναχοῦ τοῦ θέλοντος σωθῆναι.

lierculis est. Troparia quoque & canonas benè sonoros modulari, & ejusmodi cantûs elegantiam exequi, Sacerdotum sæcularium est proprium. Propter hoc enim Populus in Ecclesiis congregatur. Monachis autem indecens & incongruum est. Etenim ut Piscator per hamum & vermem, piscem capit: sic Diabolus per troparia & cantum, in vanam gloriam & placendi hominibus studium, in excessus gulæ atque in omnem protervæ petulantiæ infamiam abreptum Monachum dejicit ac demergit. Longè igitur oportet abesse cantum à Monacho salutem consequi studente.

Διηγήσατο ἡμῖν ὁ Ἀββᾶς Θεόδωρος ὁ Βιζαντεύς· ὅτι ὄντος μου νεωτέρου εἰκοσαετοῦς, ἐμόνασα ἐν τῇ Κωνσταντινουπόλει· καὶ ποιήσας ἔτη τρία ἐν τῷ Βιζαντίῳ, ἦλθέ μοι λογισμὸς τοῦ ἀπελθεῖν εἰς Ἱεροσόλυμα· καὶ κατὰ συγκυρίαν εὗρον πλοῖον ἀπ' Ἰόππης, καὶ εἰσελθὼν ἐν αὐτῷ ἐπλεύσαμεν ἡμέρας ἕξ· καὶ κατέλαβεν ἡμᾶς ἀνάγκη μεγάλη, καὶ ἐποιήσαμεν πειραζόμενοι ἡμέρας τέσσαρας· καὶ ἔρριψεν ἡμᾶς ὁ ἄνεμος εἰς τὸν αἰγιαλὸν Ἀλεξανδρείας· ἐξελθὼν οὖν ἐγὼ συνεῖδον χειμάσαι ἐν τῇ ἐρήμῳ τῆς Σκήτεως, ἦν Ἰανουάριος μήν· καὶ ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Νεῖλον, καὶ δέδωκέ μοι κελλίον μικρὸν πάνυ. τῆς κέλλης αὐτοῦ πλησίον· καὶ καταλαβούσης τῆς ἁγίας τεσσαρακοστῆς, λέγω αὐτῷ· Ἀββᾶ, δός μοι ἐντολὴν ἵνα ἔχω τὰς ἁγίας ἡμέρας ταύτας· καὶ λέγει μοι ὁ γέρων· καὶ πῶς· ἰδοὺ ἔχεις τοσαύτας ἡμέρας,

Hæc narravit nobis Abbas Theodorus Byzantinus. Adolescens cum essem annorum viginti, Monachus Constantinopoli factus sum. Post triennium in eâ professione Byzantij transactum, incessit me cupido proficiscendi Hierosolymam. ac nactus bonâ sorte navigium à Joppe solvens, in illud ingressus navigavi tranquillè per dies sex: post quos magnâ vexati tempestate, quadriduum in gravi metu & periculo duximus. Tandem ejecit nos ventus in littus Alexandrinum, ubi terrâ potitus, constitui transigere illam hyemem (erat enim Mensis Januarius) in deserto Sceti. Abij ergo illùc ad Abbatem Nilum, qui dedit mihi cellulam valde vicinam cellæ ipsius. Superveniente porrò Sanctâ Qua-

dragesimâ, dico ipsi: Abba, da mihi mandatum, ut abstinentiâ peculiari has Sanctas dies celebrem. & dixit mihi Senex: quorsum vero? En tot transactis apud nos diebus mandatum hujusmodi non quæsisti: cur ergo nunc quæris? quia (inquam ego) Pater, Quadragesima nunc est, in quâ per duritiem extraordinariam victus & cultûs certare Monachos, & vim sibi majorem decet inferre. Hîc ille, dic mihi, ait: quid ergo, reliquæ anni totius dies, præter has quadraginta, ferales, malæ, impuræ quædam sunt? Num hæ solæ habent solem, lunam & astra? Equidem, Fili, scripturam audio dicentem: *Tuus est dies, & tua est nox*: &: *benedicam Dominum in omni tempore*: &: *per singulos dies benedicam tibi.* Et Apostolus ait: *Sine intermissione orate: in omnibus gratias agite.* Si ergo tu habes discrimina dierum: quarum aliæ tibi nefastæ, aliæ Sanctæ sint, aliæ certaminis & laboris, aliæ remissionis & luxûs, beatus es. Ego quidem, Fili, tres Classes Salvandorum novi. Servos, Mercenarios, & Filios. Servus semper utilis est, &

Psal. xxxviij. 16.

1.Thess. v. 17.

καὶ ἐντολὴν οὐκ ἐζήτησας, καὶ ἄρτι ζητεῖς; καὶ λέγω· τεσσαρακοστή ἐστι Πάτερ· καὶ θέλω ἀγωνίσασθαι τὰς ἡμέρας ταύτας· καὶ εἶπέ μοι· τί οὖν, αἱ λοιπαὶ τοῦ ἔτους αὗται ἡμέραι ἄχρειαι καὶ πονηραὶ καὶ ἀκάθαρτοί εἰσιν; μὴ αὗται μόνον ἔχουσιν ἥλιον καὶ σελήνην καὶ ἄστρα; ἐγὼ μὲν τέκνον ἀκούω τῆς γραφῆς λεγούσης· σή ἐστιν ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· καὶ εὐλογήσω Κύριον ἐν παντὶ καιρῷ καὶ, καθεκάστην ἡμέραν εὐλογήσω σε· καὶ Ἀπόστολός φησιν· ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε· εἰ οὖν αὐτὸς ἔχεις ἡμέρας ἀχρείας καὶ ἡμέρας ἁγίας, καὶ ἡμέρας ἀγῶνος καὶ κόπου, καὶ ἡμέρας ἀνέσεως καὶ σπατάλης, μακάριος εἶ· ἐγὼ μὲν τέκνον τρεῖς τάξεις οἶδα τῶν σωζομένων, δούλους, μισθωτούς, καὶ υἱούς· καὶ ὁ μὲν δοῦλος ἀεὶ χρεωστεῖ καὶ δουλεύει τῷ ἰδίῳ δεσπότῃ μετὰ φόβου καὶ πόθου· ὁ δὲ μίσθιος ὀφείλει ἀόκνως καὶ ἀδόλως ἐργάζεσθαι· εἰ ὅλως βούλεται μισθὸν λαβεῖν· καὶ οὐ δίδωσιν ἑαυτῷ ἀνάπαυσιν οὔτε ἐν χειμῶνι, οὔτε ἐν θέρει οὔτε ἐν φθινοπώρῳ· ὁ δὲ υἱός ὡσαύτως ὀφείλει τιμᾶν τὸν Πατέρα ἵνα κληρονομήσῃ τὰ τοῦ Πατρός· οὐ γὰρ ποτὲ μὲν τιμᾷ, ποτὲ δὲ καταφρονεῖ τοῦ Πατρός· τοῦτο οὖν λέγω σοι τέκνον, ὅτι ἀεὶ καὶ πάντοτε ἀπαιτεῖ ὁ Κύριος τοὺς μοναχοὺς ἀγωνίζεσθαι, καὶ κοπιᾶν, καὶ

ἐγκρατεύεσθαι, καὶ ἀναγινώσκειν, καὶ μελετᾷν συνεχῶς καὶ νηφόντως, καὶ ἐν ταῖς ἐπισήμοις ἑορταῖς, καὶ ἐν Πεντηκοστῇ, καὶ ἐν κυριακῇ, καὶ ἐν Σαββάτῳ· δοῦλος γὰρ ὀκνηρὸς οὐκ ἀξιοῦται, καὶ μίσθιος περιοκνήσας τὸν μισθὸν ἀπώλεσε, καὶ ὁ υἱὸς παρήκοος πατέρα οὐ κληρονομήσει· καὶ λέγω αὐτῷ· Ἀββᾶ· ἐὰν οὐ κλείῃς τὴν θύραν ἔρχομαι καὶ ὁμιλῶ σοι· καὶ λέγει πρός με· μὴ γὰρ ἡ ξυλίνη θύρα ἐστὶν ἡ κωλύουσα τοὺς δαίμονας καὶ τὰς ἁμαρτίας, ἢ τὸ μὴ ὁμιλεῖν ὁμοιοπαθέσιν ἀνθρώποις; μὴ γένοιτο· ὅτε οὖν θέλεις, ἔρχου· καὶ ὅτε θέλεις πορεύου· ἐντολὴν δὲ οὐ δέδωκέ μοι ὁ γέρων· ἀπελθὼν οὖν ἐγὼ ἡσύχασα ἐν τῷ κελλίῳ μου ἕως τῶν ἁγίων τεσσαράκοντα· καὶ ἀπῆλθον πρὸς τὸν γέροντα, καὶ γενομένης εὐχῆς ἐκάθισα, καὶ λέγω αὐτῷ· μεγάλη χαρὰ, Ἀββᾶ σήμερον ἐν τῇ τῶν ἁγίων ἑορτῇ, καὶ ἐν τῇ τοῦ εὐαγγελισμοῦ ἐν τῇ μονῇ μου· λυόμεθα εἰς οἶνον καὶ ἔλαιον καὶ ἰχθύας· καὶ λέγει μοι ὁ γέρων· οὐκοῦν ἐὰν ἐν τῇ ἑορτῇ τῶν ἁγίων τεσσαράκοντα, καὶ τῇ τοῦ εὐαγγελισμοῦ, καὶ τῇ ἀναστάσει τοῦ Σωτῆρος οἶνον καὶ ἔλαιον καὶ ἰχθύας ἐσθίετε, τί ἐστιν ὅπερ νηστεύετε; καὶ λέγω αὐτῷ· τὸ Μοναστήριον ἡμῶν Πατὲρ, οὔτε ἄρτον, οὔτε ἔλαιον, οὔτε ἰχθύας ἤσθιε νηστεύομεν δὲ διπλᾶ· Σαββάτῳ δὲ καὶ κυριακῇ ἐσθίομεν ἑψητὰ,

ſervit proprio Domino; Mercenarius ſemper debet impigrè ac ſine fraude laborare, ſi omninò vult mercedem conſequi. neque illi datur remiſſio, vel hieme, vel æſtate, vel autumno. Denique Filius ſimiliter debet honorare Patrem ſi ab eo cupit heres ſcribi. unde periclitetur excidere, ſi aliquandò quidem honoret Patrem, aliquandò rurſus eum contemnat. Hoc ergo tibi dico, Fili; Exigere Deum à Monachis, ut ſemper & ubique certent, contendant, laborent, abſtineant, lectioni ac meditationi vacent, attentè, ſobriè, prudenter, etiam in Solemnioribus Feſtis, in Pentecoſte, in Dominicâ, in Sabbato. ſervo enim pigro negatur venia: Mercenarius ceſſator mercede privatur: & exheredatur filius aliquandò contumax. His auditis Seni dixi: Abba, ſi non clauſeris januam, veniam ad te & loquar tecum. Et dixit mihi: ſane ut hæc porta lignea non obſtruit aditum Dæmonibus, & peccatis: ſic abſit, excludat à me congreſſum ipſis utilem hominum mihi ſimilium. quando ergo voles, veni; quando voles abi. Mandatum porrò quod pe-

tieram victûs ultra quotidianum jejunium austeri, non dedit mihi Senex. Abiens igitur quievi in meâ cellulâ, solitum tenens disciplinæ ordinem, usque ad Festum Sanctorum quadraginta Martyrum. Tunc rursus adij Senem, & post orationem sedens dixi: Abba: in Monasterio meo priori, recurrente hodierno SS. Quadraginta Martyrum Festo; uti & in Solemnitate Annunciationis, relaxatur abstinentiæ consuetæ rigor, usque ad usum vini, olei, & piscium. Dixit Senex: si, ut ais in festo Sanctorum Quadraginta, & Annunciationis & in Resurrectione Salvatoris, vinum oleum & pisces comeditis, quibusnam per jejunij tempus abstinetis? Aio ipsi: Tunc nostrum Monasterium Pater, neque pane, neque oleo, neque Piscibus ad victum utitur. Sicque jejunium duplicat. Sabbato vero & Dominicâ comedimus pisciculos cum nucibus; aliis autem diebus, fructus & olera. Reposuit his Senex: An ergo panis parit peccatum, & fructus aut olera sanctificant! Hoc tibi dico, Fili, qui dupliciter jejunant, tripliciter comedunt, & Qua-

διὰ καρύων· τὰς δὲ λοιπὰς ἡμέρας, ὀπώρας καὶ λάχανα· καὶ λέγει ὁ γέρων· οὐκοῦν ὁ ἄρτος ἐστὶν ὁ τίκτων τὴν ἁμαρτίαν, καὶ ὀπώρα δικαιοῦται; τοῦτο λέγω σοι, τέκνον, οἱ νηστεύοντες διπλᾶ, ἐσθίουσι τριπλᾶ, καὶ κοιμῶνται τετραπλᾶ· καὶ οἱ ὀπώρας ἐσθίοντες καὶ ἄρτου ἀπεχόμενοι τὴν ψυχὴν καὶ τὸ σῶμα κατ' ἀλλήλων ὁπλίζουσι, καὶ ἀλλήλους πτώσκειν ποιοῦσι· καὶ τὸν νοῦν σκοτίζουσι διὰ πολυυμνίας, καὶ τὸν χοῦν καταχωννύουσι, καὶ τὴν συνείδησιν ὁμοῦ· καὶ δοκοῦντες ἐγκρατεύεσθαι, γαστριμαργοῦσι· καὶ νομίζοντες ἀγρυπνεῖν, πολυυπνοῦσι, καὶ θέλοντες τιμᾶν ἁγίους, τὸ σῶμα διὰ πολυφαγίας γαῦρον ἀποτελοῦσι· καὶ οἱ μὲν μάρτυρες τὰς πολυτρόπους τῶν κολάσεων ἰδέας ὑπέμειναν, θηρία, βάραθρα, πυρκαΐας, τὰς τῶν κρυμῶν πήξεις, τὰς τῶν πλευρῶν ἀποσαρκώσεις, τὰς τῶν ὀμμάτων ἀποβολὰς τὰς τῶν μελῶν ἐκκοπὰς, τὰς ἐκ τοῦ λιμοῦ τηκεδόνας· οὗτοι δὲ ἀντὶ τούτων τῶν πολυτρόπων κολάσεων, εἰς ἰχθύας, καὶ τυροὺς καὶ βούτυρον, καὶ οἶνον, καὶ σίκερα ἑαυτοὺς ἐκδιδόασιν· εἰ οὖν βούλει, τέκνον, τιμῆσαι τοὺς ἁγίους, καὶ τὴν κυρίως καὶ ἀληθῶς Θεοτόκον, τίμησον δι' ἐγκρατείας, καὶ προσευχῆς, καὶ ὑπομονῆς, καὶ ἁγνείας, καὶ σω-

φροσύνης καὶ νηστείας, καὶ τὸν παραστῆσαι τῷ Θεῷ τὸν νοῦν νήφοντα, καρδίαν ἄρρυπον ἀπὸ αἰσχρῶν λογισμῶν, συνείδησιν φαιδρὰν ἀπὸ ἐνυπνίων καὶ πονηρῶν λογισμῶν, διάνοιαν ἐγηγερμένην ἀπὸ συγκαταθέσεως φαύλων ἐνθυμημάτων, καὶ ἰδοὺ τὸν Θεὸν ἐχαριστοποιήσαμεν, καὶ τοὺς ἁγίους ἀγγέλους εἰς βοήθειαν ἡμῶν ἐπεσπασάμεθα, καὶ τοὺς ἁγίους μάρτυρας ὑπασπιστὰς ἕξομεν. εἰ δὲ νηστεύομεν διπλᾶ, καὶ τρώγομεν τριπλᾶ, καὶ κοιμώμεθα πενταπλᾶ, καὶ ὁ νοῦς φαντάζεται, καὶ οἱ λογισμοὶ βρύουσι, καὶ αἱ ἔννοιαι ῥέμβονται καὶ ἡ γλῶσσα αὐχεῖται, καὶ ἡ διάνοια παφλάζει, καὶ ἡ καρδία βορβορεῦται, καὶ τότε ὁ Διάβολος τέρπεται, καὶ οἱ δαίμονες χαίρουσι, καὶ ἡμεῖς κενοδοξοῦντες κολαζόμεθα.

drupliciter cubant. Et qui fructus comedunt, pane abstinentes, Animam & corpus invicem committunt, atque in se mutuò armant: efficientes ut se vicissim vulnerent. Siquidem & nimiâ continüatione ac contentione vigilis Psalmodiæ mentes hebetant: & nimiâ per vices remissionum ingestione cibi terrenam portionē obruunt: unde hæc degravata pronè labitur in vitia quæ conscientiam maculent. Ut qui supra modum abstinentes videri volunt; deinde deprehendantur gulæ intemperanter indulgentes. & qui putantur exquisitè vigiles, somno ultrà quàm decet se dedant. quique festivis epulis honorare Sanctos se velle præ se ferunt, corpus per comestionem immoderatam protervum & in lasciviam petulans reddunt. Ac Sancti quidem Martyres multiplicia tormentorum genera pertulerunt, Bestias, barathra, rogos, acutissimorum frigorum punctus, costarum, carne per ferreos extractâ pectines, denudationes, effossiones oculorum, membrorum concisiones, famis intimos usque ad absumptionem morsus: Egregij vero hi cultores ipsorum, ut ipsis quasi vicem tot ærumnarum reddant, effundunt se in voluptates epularum; mensas cumulantes opimis piscibus, caseis, butyro, vino & sicerâ, quibus se ingurgitant. Si vis igitur Fili, honorare Sanctos, ac eam quæ propriè ac verè Dei-mater est; honora per continentiam, orationem, patientiam, castitatem, sobrietatem, jejunium: & offerendo Deo mentem attentè devotam, cor immaculatum, & fœdarum expers cogitationum, conscientiam se-

renam, nullâ obnubilatam caligine turpium somniorum, aut obscœnarum imaginationum: intellectum experrectum, nec torpore quodam diffidentiæ obductum, ex adhæsione consciâ ad pravas cogitationes. En quâ ratione, Deo quidem gratificabimur, Sanctos vero Angelos ad nostrum auxilium trahentes. Sanctos quoque Martyres habere proptectores merebimur. Si autem jejunaverimus dupliciter, manducabimus tripliciter, dormierimus quintupliciter, intellectus in phantasias vanescet: scaturient cogitationes: curæ superfluæ se circumagent, lingua gloriabitur, mens tumultuabitur, cor luto inquinabitur. Et tunc Diabolus lætabitur, Dæmones gaudebunt, Nos vanæ gloriæ pœnas dabimus.

Schol. Ne quis hanc & superiorem narratiunculam ad vituperationem abstinentiæ Quadragesimalis trahat: observetur, de Monachis hîc agi anno toto jejunantibus: sed per Quadragesimam geminantibus jejunium, abdicando insuper usu vini, olei, & piscium. Quod hic Præses Scetensium Monachorum non probat, ut pote à suo instituto alienum: sine ullâ tamen specie vituperandi ritum Ecclesiæ antiquum in Quadragesimali abstinentiâ. In remissionibus quoque Festorum non qualemcumque relaxationem, sed effusionem in cibos & potus nimiam, damnare idem videri debet.

Senex quidam consederat in deserto loco per annos septuaginta, disciplinam arctissimam summæ abstinentiæ ac vigiliæ sectatus: nec tamen tanto tempore ullâ umquam dignatus apparitione Divinâ. Hoc aliquando reputans, veteri tacitus secum cepit: ne non forte, propter occultam quamdam ipsi causam, parum accepta vel etiam ingrata Deo esset vita & operatio ipsius. quare

Γέρων τις ἐκάθητο ἐν ἀναχωρητικῷ τόπῳ χρόνους ἑβδομήκοντα· ὃς ἀκριβεστάτην ἄσκησιν καὶ ἄκραν ἐγκράτειαν καὶ ἀγρυπνίαν μετελθών, ἐν ἅπασι τούτοις θείας τινὸς ἐμφανείας οὐκ ἔτυχεν· ἐν ἑαυτῷ δὲ λογισάμενος· ὡς μήτι ἄρα ἡ ἐργασία μου ἀπρόσδεκτός ἐστι, καὶ μὴ ἀρέσκουσα τῷ Θεῷ, διά τινα αἰτίαν ἣν πολλάκις ἀγνοῶ, ἤρξατο μετὰ δακρύων ἐκτενέστερον προσεύχεσθαι καὶ παρακαλεῖν τὸν Θεὸν, καὶ λέγειν· Κύριε Κύριε·

εἰ

εἰ ἄρα εὐπρόσδεκτός σοι γέγονεν ἡ χρόνιός μου ἐργασία, καὶ τῆς σῶν δούλων οὐχ ὑπάρχω ἀλλότριος, εὐμειρήσω κἀγὼ σταγόνος τῶν σῶν χαρίτων· ὅπως τὴν ἀμφίβολον ἀθυμίαν ἀπ' ἐμαυτοῦ ἀπορριψάμενος χαρίεις καὶ πρόθυμος τὸ λοιπὸν τῆς ζωῆς μου διανύσω.

Gal. v. 24. indicans dicebat: *Qui autem Christi sunt, carnem suam crucifixerunt, cum vitiis & concupiscentiis.* Cum enim passiones mortificaverimus, & concupiscentias extinxerimus; & carnis superbiam subjunxerimus spiritui: tunc tollimus crucem & sequimur Christum. Nam aliud nihil Anachoresis, sive recessio à sæculo, est; nisi mortificatio Passionum, & manifestatio absconditæ in Christo vitæ.

ΙΖ.

Τὴν τέλειαν τῶν παθῶν νέκρωσιν ὁ μέγας Ἀπόστολος δηλῶν ἔλεγεν· οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· ὅταν γὰρ τὰ πάθη νεκρώσωμεν καὶ τὰς ἐπιθυμίας ἀφανίσωμεν, καὶ τὸ τῆς σαρκὸς φρόνημα ὑποτάξωμεν τῷ πνεύματι· ὅτε λαμβάνομεν τὸν σταυρὸν καὶ ἀκολουθοῦμεν τῷ Χριστῷ· οὐδὲν γὰρ ἄλλο ἡ ἀναχώρησις πέφυκεν· ἀλλ' ἡ νέκρωσις τῶν παθῶν, καὶ φανέρωσις τῆς ἐν Χριστῷ κρυπτομένης ζωῆς.

XVIII.

Qui rebellione corporis mortis hujus fatigantur: & tædio afficiuntur detestantes urgens in horas singulas ab eo bellum: non carnem, sed semetipsos culpent. Nisi enim ipsi vires ei subministrarent, curam ejus in concupiscentiam facientes; haud quaquam tantas ab ipsâ

ΙΗ.

Οἱ ἀπὸ τῆς ἐπαναστάσεως τοῦ σώματος τοῦ θανάτου τούτου ταλαιπωρούμενοι, καὶ πρὸς τὸν καθ' ὥραν αὐτοῦ πόλεμον ἀπαγορεύοντες, μὴ τὴν σάρκα· ἀλλ' ἑαυτοὺς καταμεμφέσθωσαν· εἰ μὴ γὰρ αὐτοὶ δεδώκασιν αὐτῇ τὴν ἰσχὺν, πρόνοιαν αὐτῆς εἰς ἐπιθυμίαν ποιούμενοι, οὐκ ἂν τοσοῦτον ὑπ' αὐτῆς τετα-

λιπωρήκασιν· ἢ οὐχ ὁρῶσι τοὺς σταυρώσαντας αὐτὴν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῇ θνητῇ αὐτῶν σαρκὶ περιφέροντας, ὅπως αὐτὴν συνεργὸν μᾶλλον καὶ οὐκ ἀντίπαλον κέκτηνται, ἀλλ' ἥκουσαν καὶ ἀγομένην τῷ τοῦ Θεοῦ νόμῳ; καὶ αὐτοὶ τοίνυν οὕτω ποιείτωσαν, καὶ τῆς ὁμοίας ἀπολαύσουσιν ἀναπαύσεως· δὸς γάρ φησιν αἷμα, καὶ λάβε πνεῦμα.

molestias paterentur. An enim non vident eos qui carnem crucifixerunt cum vitiis & concupiscentiis; quique mortificationem Jesu in mortali ipsorum carne circumferunt; ut ipsâ potiùs cooperatrice in bonum, quàm adversariâ utantur: sed cedentem & duci facilem à lege Dei experiantur? Et ipsi ergo sic faciant, simili per hoc requie fruituri. *Da*, enim inquit, *sanguinem, & accipe Spiritum.*

IΘ.

Τριμερής ἐστι πᾶσα ψυχὴ λογικὴ, κατὰ τὸν Θεολόγον Γρηγόριον· τὴν μὲν οὖν ἐν τῷ λογιστικῷ συνισταμένην ἀρετὴν, φρόνησιν ἐκάλεσε καὶ σύνεσιν καὶ σοφίαν· τὴν δὲ ἐν τῷ ἐπιθυμητικῷ, ἀγάπην, καὶ σωφροσύνην καὶ ἐγκράτειαν· τὴν δὲ ἐν τῷ θυμικῷ ἀνδρείαν καὶ ὑπομονήν· ἡ δὲ δικαιοσύνη πᾶσι τούτοις ἐγκατέσπαρται, ἁρμοδίως ἐνεργεῖν παρασκευάζουσα· διὰ μὲν τῆς φρονήσεως ταῖς ἀντικειμένοις πολεμοῦσα δυνάμεσι, καὶ ὑπερμαχοῦσα τῆς ἀρετῆς· διὰ δὲ τῆς σωφροσύνης, ἀπαθῶς βλέπουσα τὰ πράγματα· διὰ δὲ τῆς ἀγάπης πάντας ἀνθρώπους αὐτὴν φιλεῖν πείθουσα· διὰ δὲ τῆς ἐγκρατείας πᾶσαν ἡδονὴν περικόπτουσα· διὰ δὲ τῆς ἀνδρείας καὶ ὑπομονῆς

XIX.

Tripertita est omnis Anima rationalis, juxta Theologũ Gregoriũ. In suprema quippe Parte rationali constitutã virtutẽ, prudentiam vocavit, scientiam & sapientiam: in concupiscibili verò, Caritatem, Temperantiam & continentiam. In irascibili denique, fortitudinem, patientiam & justitiam: quæ tamen ultima cunctis suprà memoratis inspergitur: apte ac convenienter operari eas docens. Per prudentiam quidem oppositas expugnans potestates; & pro virtutibus decertans: Per temperantiam vero oculos roborans ne oblatis voluptatum speciebus mentem tur-

bent: per continentiam omnes à se illicitas delicias abscindens. Postremò per fortitudinem & patientiam, adversùs invisibilium insultus Hostium animam armando præmuniens: consonâ quadam ejus, ut citharæ benè concordis Harmoniâ.

πρὸς τοὺς ἀοράτους ὁπλίζουσα πολέμους αὐτὴν, ἁρμονία τοῦ εὐήχου τῆς ψυχῆς ὀργάνου.

XX.

Omnis consensus mentis in aliquam prohibitam cupiditatem; puta, gustus voluptuosus, peccatum est Monacho. Prius enim cogitatio venit per excitatam à parte concupiscibili vel irascibili perturbationem mentem obtenebrans: deinde inclinat Anima in delectationem, non stans firma adversus Tentationem contrà luctantem. unde sequitur ille consensus, quem dixi, peccatum esse. Ille dum moratur movet quam vocamus passionem: deinde paulatim pervenit ad actum criminosum. Propterea beatos prædicat Propheta eos qui *allidunt Babylonios Parvulos ad petram.* Clarè hoc experiendo compertum habent Prudentes & sensati.

Psal. cxxxvj. 9.

K.

Πᾶσα συγκατάθεσις λογισμοῦ πρός τινα ἀπηγορευμένην ἐπιθυμίαν, ἤγουν γεῦσις ἡδονῆς, ἁμαρτία ἐστὶ μοναχῷ· πρότερον γὰρ ὁ λογισμὸς ἔρχεται διὰ τοῦ παθητικοῦ μέρους τὸν νοῦν σκοτίζων· ἔπειτα νεύει ἡ ψυχὴ πρὸς τὴν ἡδονὴν, μὴ ἀντέχουσα τῆς πάλης· καὶ λοιπὸν συγκατάθεσις λέγεται· ἥτις, ὡς εἴρηται, ἁμαρτία ἐστί· χρονίζουσα δὲ, κινεῖ τὸ λεγόμενον πάθος· ἔπειτα κατὰ μικρὸν ἔρχεται εἰς τὴν κατ' ἐνέργειαν πρᾶξιν· διὰ τοῦτο μακαρίζει ὁ προφήτης τοὺς τὰ Βαβυλώνια νήπια προσαράσσοντας τῇ πέτρᾳ· δήλη δὲ ἐστιν ἡ ὑπόθεσις ἐν τοῖς συνετοῖς καὶ ἐχέφροσιν.

XXI.

Caritatis quidem & Pacis administri Angeli gaudent de nostrâ salute ac profectu in vir-

KA.

Ἀγάπης μὲν καὶ εἰρήνης οἱ ἄγγελοι θεράποντες ὄντες χαίρουσιν ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ καὶ προ-

κοπῇ πρὸς ἀρετήν· ἐντεῦθεν σπουδάζουσι πνευματικῶν ἡμᾶς ἐμπιπλᾷν θεωρειῶν, καὶ συνεργοῦσι πρὸς πᾶν ἀγαθόν· ἔμπαλιν δὲ οἱ δαίμονες ὀργῆς καὶ κακίας ὄντες δημιουργοὶ, χαίρουσι μειουμένης τῆς ἀρετῆς, καὶ ἔργον τίθενται εἰς αἰσχρὰς φαντασίας τὰς ψυχὰς ἡμῶν ἐκκλίνειν.

tute. Unde ſtudent ſpiritualibus nos implere contemplationibus : & cooperantur in omne bonum. È contrario mali Dæmones, iræ ac malitiæ cum ſint artifices : gaudent evaneſcente virtute : & hoc maximè agunt, ut in turpes imaginationes Animas noſtras declinent.

K B.

Πίστις ἐστὶν ἐνδιάθετον ἀγαθόν· αὕτη δὲ γεννᾷ ἡμῖν τὸν τοῦ Θεοῦ φόβον· ὁ δὲ φόβος τοῦ Θεοῦ διδάσκει τὴν τῶν ἐντολῶν τήρησιν· ἥτις λέγεται πρακτική· ἐκ δὲ τῆς πρακτικῆς βλαστάνει ἡ μακαρία ἀπάθεια· ἀπάθεια δὲ ἔγγονον ἀγάπης· πλήρωμα οὖν πασῶν τῶν ἀρετῶν καὶ πάσας τὰς ἐντολὰς σφίγγουσα καὶ διακρατοῦσα.

XXII.

Fides eſt bonum in mentis conſcientiâ latens. Hæc generat in nobis Dei timorem. Timor autem Dei docet Mandatorum obſervationem, quæ Practica dicitur. è Practicâ verò germinat beata impaſſibilitas. Hæc porrò proles eſt caritatis. quæ complementum jam eſt virtutum omnium cuncta mandata in unum ſtringens & perfectè obtinens.

K Γ.

Ὥσπερ ἡ τοῦ σώματος αἴσθησις ὑγιαίνουσα αἰσθάνεται· τίς ἡ κατέχουσα αὐτὸ ἀῤῥωστία· ὁ δὲ μὴ νοῶν, ἀναισθησίαν νοσεῖ· οὕτω δὴ καὶ ὁ νοῦς ἐφ' ὅσον τὴν οἰκείαν ἐνέργειαν σωζομένην κέκτηται, ἐπιγινώσκει τὰς ἑαυτοῦ δυνάμεις, καὶ οἶδε πόθεν αὐτῷ τὰ πάθη πραι-

XXIII.

Ut corporis ſenſus dum ſanus eſt ſentit, quænam ipſum invaletudo corripiat. qui autem non ſentit, pejore inſenſibilitatis morbo laborat: ſic & mens quamdiù propriam facultatem ſalvam ſanamque obtinet, cognoſcit ſuas ipſius potentias,

& novit unde in ipsam Passiones violentiùs ingruant & contra illum oppugnantium insultum, acri pugnacitate decertat. Grave porro ac periculi plenum est, istos sensu tentationum ipsos impugnantium carentes, consumere dies totos perpetiendis suggestionibus pravis, per noctem pugnantibus similes: ob non explorata consilia Hostium.

νικώτερον ἐπεισέρχεται· καὶ πρὸς ἐκεῖνο τὸ μέρος τῶν ἰσχυρὰν συνίστησι μάχην· χαλεπὸν δὲ εἰ ἀναισθήτων καταναλίσκη τὰς ἡμέρας τῶν νυκτομαχοῦντι ἐοικὼς, καὶ μὴ θεωρῶν τοὺς λογισμοὺς τῶν πολεμίων.

XXIV.

Quando incessanter rationalem nostri Partem contemplatio virtutum promovet, ac concupiscibilem in eamdem solam intendit, atque in ejus datorem Christum. congruéque iis irascibilis in Dæmones armatur: Tunc secundùm naturam etiã inferiores operantur facultates.

ΚΔ.

Ὅταν τὸ λογιστικὸν ἡμῶν ἀνενδότως ἐπιβάλλῃ ἡ θεωρία τῶν ἀρετῶν, καὶ τὸ ἐπιθυμητικὸν πρὸς ταύτην μόνην τείνεται, καὶ τὸν αὐτῆς δοτῆρα Χριστόν· τὸ δὲ θυμικὸν κατὰ τῶν δαιμόνων ὁπλίζηται· τότε κατὰ φύσιν καὶ αἱ δυνάμεις ἐνεργοῦσιν.

XXV.

Cui pudicitia curæ est, beatam adamanti castitatem, quam non erraverit qui impassibilitatem vocet, castiget & servituti subjiciat carnem propriam, cum humili sui despectu divinam invocans gratiam: & consequetur id quod optat. qui autem nutrit carnem intemperanter in deliciis ciborum, viam ad se

ΚΕ.

Ὁ σωφροσύνης ἐπιμελούμενος τῆς μακαρίας ποθῶν ἁγνείας, ἣν οὐκ ἄν τις ἁμάρτοι καλέσας ἀπάθειαν, ὑποπιαζέτω καὶ δουλαγωγείτω τὴν σάρκα, σὺν ταπεινόφρονι λογισμῷ, τὴν θείαν ἐπικαλούμενος χάριν· καὶ τεύξεται τοῦ ποθουμένου· ὁ δὲ ἐκτρέφων τὴν σάρκα ἐν ἀκρασίαις βρωμάτων, πνεύματι πονηρίας ὁδηγηθήσεται· ὃν γὰρ τρόπον ὕδωρ

πολὺ σβέννυσι φλόγα, οὕτω πύρωσιν σαρκὸς ἀφανίζει πεῖνα σὺν ταπεινώσει ψυχῆς.

aperit & locum quà intret monstrat spiritui nequitiæ. quo enim modo aqua copiosa flammam extinguit: inflammationem carnis opprimit fames cum humilitate Animæ.

Κϛ. XXVI.

Τὸ τῆς μνησικακίας πάθος πάντη σοῦ τῆς ψυχῆς ἀπέστω φιλόχριστε· μὴ δώσεις ὅλως τόπον τῇ ἔχθρᾳ· ὡς πῦρ γὰρ κεκρυμμένον ἐν λινοκαλάμῳ, οὕτως μνησικακία, ἐμφωλεύουσα ἐν καρδίᾳ· μᾶλλον δὲ προσεύχου ὑπὲρ τοῦ λελυπηκότος σε θερμῶς, καὶ εὐεργέτει αὐτὸν εἴ τι ἂν σου ἡ χεὶρ εὐπορῇ, ὅπως ῥύσῃ τὴν ψυχήν σου ἐκ θανάτου· καὶ μὴ ἀπαῤῥησίαστος ἔσῃ ἐν καιρῷ προσευχῆς σου.

Vitium simultatis & memoriæ injuriarum à tuâ omninò abesto Animâ, qui Christum amas. Ne ullum des locum inimicitiæ. Quàm enim periculosus noxiusque est ignis absconditus sub fasce calamorum lini: tam est periculosa injuriæ memoria intra cor nidulans. Quin potiùs ardenter ora pro eo qui te læsit. & beneficiis ipsum affice; si quid in manu habes quo ipsi queas prodesse. Sic quippe liberabis animam tuam à morte: & fiduciâ vigebis in tempore orationis tuæ.

ΚΖ. XXVII.

Ἐν ψυχαῖς ταπεινῶν ἀναπαύσεται Κύριος· ἐν καρδίᾳ δὲ ὑπερηφάνων τὰ πάθη τῆς ἀτιμίας· οὐδὲν γὰρ οὕτως ἰσχύει ταῦτα καθ' ἡμῶν, ὡς μεγαλόφρονες λογισμοί· καὶ οὐδὲν ἐκριζοῖ τὰς πονηρὰς δυνάμεις τῆς ψυχῆς, ὡς ἡ μακαρία ταπείνωσις· διὸ καὶ παθοκτόνος εἰκότως κέκληται.

In Animabus Humilium requiescet Dominus: in corde autem superborum Passiones ignominiæ. Nihil enim ista vitia infamia tantum adversùm nos roborat: quantum arrogantes cogitationes: Et nihil tam efficaciter eradicat ex animâ cupiditates malas, quàm Beata Humilitas. ideò pravorum affectuum interfectrix meritò vocata.

XXVIII.

A pravis se cogitationibus puram Anima tua servet, atque optimis sensibus ornet pariter & illuminet se ipsam. in mente semper habens dictum illud: *Voluptatis amans cor carcer & catena est in horâ exitûs; laboris verò studiosum, porta aperta.* Verè siquidem puras Animas egredientes è corpore Angeli recto itinere perducunt ad vitam beatam. Sordidas verò & impœnitentes, mali, heu! Dæmones excipient.

ΚΗ.

Ενθυμήσεων πονηρῶν ἡ ψυχή σου καθαρευέτω, καὶ ἀρίστοις ἐννοίαις καθαρευέτω τε ἅμα καὶ φωταγωγείτω· ἔχων ἐπὶ νοῦν ἀεὶ τὸ εἰρημένον· ὅτι φιλήδονος καρδία, εἱρκτὴ καὶ ἅλυσις ἐν καιρῷ ἐξόδου· ἡ δὲ φιλόπονος, θύρα ἀνεωγμένη· τῷ ὄντι γὰρ ψυχὰς καθαρὰς ἐξερχομένας ἐκ τοῦ σώματος Ἄγγελοι ὁδηγοῦσι πρὸς τὴν μακαρίαν ζωὴν καθοδηγοῦντες· τὰς δὲ ῥερυπωμένας καὶ ἀμετανοήτους δαίμονες, οἴμοι, παραλήψονται.

XXIX.

Formosum quidem caput est Diademate præcinctum lapillis indicis & margaritis scintillante. Formosior tamen incomparabiliter est Animâ pretiosissimam Dei notitiam possidens, & splendentissimis illuminata contemplationibus; habitantem in se habens Sanctissimum Spiritum. Et quis dignè verbis exprimet istius Beatæ animæ pulcritudinem?

ΚΘ.

Ὡραία μὲν κεφαλὴ διαδήματι κεκοσμημένη λίθοις ἰνδικοῖς καὶ μαργάροις ἀποστίλλοντι· ὡραιοτέρα δὲ ἀσυγκρίτως ψυχὴ πλουτοῦσα γνῶσιν Θεοῦ, καὶ φανοτάταις θεωρίαις πεφωτισμένη, ἔνοικον ἔχουσα τὸ πανάγιον πνεῦμα· καὶ τίς διηγήσεται ἀξίως τὸ κάλλος τῆς μακαρίας ἐκείνης ψυχῆς;

XXX.

Indignationem & iram diversari ne sinas apud Te. Vir

Λ.

Θυμὸν καὶ ὀργὴν αὐλίζεσθαι μὴ ἔασον ἐν σοί· ἀνὴρ γὰρ θυμώδης,

οὐκ

οὐκ εὐσχήμων· ἐν καρδίᾳ δὲ πραέων ἀναπαύσεται σοφία. εἰ δὲ τὸ τῆς ὀργῆς πάθος κυριεύσει τῆς ψυχῆς σου, κρείττονές σου εὑρεθήσονται οἱ ἐν κόσμῳ ἀναστρεφόμενοι· καὶ αἰσχυνθήσῃ ἀδόκιμος γινόμενος μοναχός.

enim iracundus haud est rectè compositus. in corde autem Mansuetorum requiescet sapiētia si autem Iræ perturbatio Dominetur Animæ tuæ, meliores Te reperientur conversantes in mundo. & erubesces indignus Monachus apparens.

ΛΑ·

Ἐν παντὶ πειρασμῷ καὶ παντὶ πολέμῳ τὴν προσευχὴν κέκτησο ἀήττητον ὅπλον· καὶ νικήσεις τῇ τοῦ Θεοῦ χάριτι· καθαρὰ δὲ αὕτη ἔστω, καθ' ὡς ὁ διδάσκαλος· βούλομαι γάρ φησι προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας τὰς χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ· ὁ μὲν τοιαύτης ἀμελῶν εὐχῆς, ἔκδοτός ἐστι πειρασμοῖς.

XXXI.

In omni tentatione ac Spirituali bello Tibi orationem adjunge armaturam impenetrabilem, & victoriæ spe subnixam certâ, quam indubitanter reportabis adjuvante Dei gratiâ. At Oratio ista pura sit, oportet. Juxta id quod præcipit Magister gentium: *volo*, inquiens, *viros orare in omni loco, extollentes manus, sine irâ & murmuratione.* Qui talem orationem negligit, facilè vincetur à tentationibus.

Λ Β.

Οἶνον μὲν εὐφραίνειν καρδίαν ἀνθρώπου γέγραπται· σὺ δὲ ὁ πενθεῖν ἀεὶ καὶ κλαίειν ἐπαγγειλάμενος, τὴν τοιαύτην ἔκκλινον εὐφροσύνην, καὶ εὐφρανθήσῃ χαρίσμασι πνευματικοῖς· εὐφραινόμενος δὲ οἴνῳ, αἰσχροῖς συμβιωτεύσεις λογισμοῖς, καὶ πολλαῖς περιπαρήσῃ λύπαις.

XXXII.

Scriptum quidem est: *Vinum* lætificare cor hominis. Tu tamen vitam professus lugere semper & flere promittentem, talem declina lætitiam. & ejus vice recreaberis gratiis spiritualibus. Cum si vino recreareris, omninò futurum foret, ut turpibus obsidereris cogitationibus; & multis transfigereris doloribus.

XXXIII.

Festas solemnitates ne putes celebrandas compotationibus vini: sed renovatione Animi, & mentis puritate. Si ventri autem indulgeas & vinum potes, offendes potiùs irritabisque Præsidem illius solemnitatis.

ΛΓ.

Τὰς ἑορτὰς μὴ οἰνοποσίαις ἐκπλεῖν ἐννόει· ἀλλὰ ἀνακαινίσει ψυχῆς καὶ νοὸς καθαρότητι· γαστριζόμενος δὲ καὶ οἰνοποτῶν, παροργίσεις μᾶλλον τὸν προεξάρχοντα τῆς πανηγύρεως.

XXXIV.

Vigilare in Orationibus & & lectionibus semper: maximè autem in celebritatibus Festorum præscriptum nobis est. Vigil enim Monachus intelligentiam acuit suam in contemplationem spiritualem. Somnus verò multus hebetat mentem. Cæterùm cave ne dum vigilas teipsum dedas narrationibus vanis, aut cogitationibus pravis. Melius est enim dormire, quàm vanis invigilare cogitationibus.

ΛΔ.

Ἀγρυπνεῖν ἐν προσευχαῖς καὶ ἀναγνώσεσι πάντοτε μὲν, ἐν ἑορταῖς δὲ μάλιστα προστετάγμεθα· ἄγρυπνος γὰρ μοναχὸς λεπτύνει διάνοιαν αὐτοῦ πρὸς θεωρίαν πνευματικήν· ὕπνος δὲ πολὺς παχύνει νοῦν· ἀλλ᾽ ὅρα, μὴ δῷς σεαυτὸν ἐν ἀγρυπνίᾳ διηγήμασι κενοῖς, ἢ λογισμοῖς πονηροῖς· κρεῖσσον γὰρ καθεύδειν, ἢ περὶ λογισμῶν ἀγρυπνεῖν ματαίων.

XXXV.

Nutriens Serpentem in sinu, & cogitationem malam in mente fovens, morte afficietur. ille quidem in corpore, punctu venenum immittente: hic verò animo concipiens vene-

ΛΕ.

Τρέφων ὄφιν ἐν κόλπῳ, καὶ λογισμὸν πονηρὸν ἐν καρδίᾳ, θανατωθήσεται· ὁ μὲν τὸ σῶμα πληγεὶς κέντρῳ ἰοβόλῳ· ὁ δὲ τῇ ψυχῇ ἀποθέμενος ἰὸν θανατοφόρον· ἀλλὰ γεννήματα ὄφεων ταχέως ἀποκ-

πίνωμεν, ἵνα μὴ πικρῶς ὀδυνηθῶμεν.

num ipsi lethale. Igitur genimina viperarum maturè interficiamus, ne acerbè postea doleamus.

ΛϚ.

Ψυχὴ καθαρὰ σκεῦος ἐκλογῆς εἰκότως ἀνακληθείη· κῆπος δὲ κεκλεισμένος καὶ πηγὴ ἐσφραγισμένη, καὶ θρόνος αἰσθήσεως· ἡ δὲ λογισμοῖς ἀκαθάρτοις μολυνομένη, βορβόρου καὶ δυσωδίας πεπλήρωται.

XXXVI.

Anima pura vas Electionis meritò dicatur; Hortus quoque conclusus; Fons signatus, & Thronus sensûs. Quæ verò cogitationibus fœdis inquinatur, cœno & fœtore plena est.

ΛΖ.

Καλλωπισμῷ ἱματίων, καὶ πλησμονῇ γαστρὸς, καὶ ἐντεύξεσι βλαβεραῖς, τοὺς πονηροὺς γεννᾶσθαι λογισμοὺς ἐν τῇ ψυχῇ, τῶν ἐμπείρων καὶ πρακτικῶν γερόντων ἀκήκοα.

XXXVII.

Ornatu vano vestium, saturitate ventris, & conversationibus noxiis, pravas gigni cogitationes in animâ, à peritis & experientibus Senibus audivi.

ΛΗ.

Ἐπιθυμία χρημάτων ἐν ψυχαῖς ἀσκητῶν μὴ αὐλιζέσθω· πολυκτήμων γὰρ μοναχὸς ναῦς ἐστιν ὕπαντλος, κύμασι φροντίδων χειμαζομένη, καὶ λύπης βυθοῖς καταδυομένη· πολλῶν γὰρ κακῶν γέννημα ἡ φιλαργυρία, ῥίζα πάντων προσηκόντως κληθέν.

XXXVIII.

Desiderium opum in Animis Ascetarum ne sedem habeat. Dives enim Monachus, navis est perforatam habens carinam, fluctibus jactata curarum, & pondere doloris in profundum depressa. Nam quæ multorum proles vitiorum est Avaritia, radix eadem malorum omnium convenienter vocatur.

XXXIX.

Paupertas & silentium sunt Thesaurus absconditus in Agro vitæ monasticæ. abiens igitur vade, vende quæ habes & da Pauperibus, & hunc eme agrum. effossumque hinc Thesaurum tibi securum à furibus custodi: ut divitiis fruavis numquam auferendis.

ΛΘ.

Ἀκτημοσύνη καὶ σιωπὴ θησαυρός ἐστι κεκρυμμένος ἐν ἀγρῷ τῆς μοναδικῆς πολιτείας· ἀπελθὼν οὖν πώλησον τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ τοῦτον κτῆσαι τὸν ἀγρόν· καὶ τὸν θησαυρὸν ἀνορύξας, ἄσυλον ἑαυτῷ περιφύλαξον· ἵνα πλουτίσῃς πλοῦτον τὸν μὴ κενούμενον.

XL.

Ubi semel in spiritualis contubernium Patris volens poscensque fueris admissus, utilitatemque convictûs istius fructu ex ejus monitis percepto gustaveris, ei tam fortiter adhære, ut nemo te ab ejus divellere caritate ac conversatione queat. Ne ullâ in re ipsum judices: ne in maledicta prorumpas, etiam objurgatus & percussus ab ipso: ne des audientiam ulli hunc accusanti. Ne conniveas ulli huic convicianti. Si secùs faxis, irascetur Dominus in te, & delebit te de libro viventium.

Μ.

Πατρὶ συνοικήσας πνευματικῷ, καὶ ὠφελείας αἰσθανθεὶς παρ' αὐτοῦ, μηδείς σε τῆς αὐτοῦ χωριζέτω ἀγάπης καὶ συναυλίας· μὴ κρίνῃς αὐτὸν ἔν τινι· μὴ κακολογήσῃς ἐλεγχόμενος ἢ τυπτόμενος ὑπ' αὐτοῦ· μὴ δῷς ἀκοήν σου τινὶ κατ' αὐτοῦ λαλοῦντι· μὴ συνδυάσῃς τῷ λοιδοροῦντι τοῦτον· ἵνα μὴ ὀργισθῇ Κύριος ἐπὶ σε, καὶ ἐξαλείψει σε ἐκ βίβλου ζώντων.

XLI.

Subjectionis certamen abjectione, (hoc est rerum propriarum abdicatione) perfici-

ΜΑ.

Τὸ τῆς ὑποταγῆς ἄθλον διὰ τῆς ἀποταγῆς τελειοῦται, καθὼς μεμαθήκαμεν· ὁ δὲ ταύτης ὑπερμαχά-

μένος τοῖς τρισὶ περιφυλαχθήτω ὅπλοις, πίστει φημὶ καὶ ἐλπίδι, καὶ τῇ θείᾳ καὶ πανσέπτῳ ἀγάπῃ· ἵνα δι' αὐτῶν περιτειχισμένος ὢν τὸν καλὸν ἀγῶνα ἀγωνίσηται, καὶ τοὺς τῆς δικαιοσύνης λήψεται στεφάνους.

tur, prout didicimus. qui porrò è tali certamine victor exierit, tribus se quasi amuletis aut armis præmuniat, fide, inquam, spe, ac divinâ venerabilissimâ caritate: ut iis instructus ac protectus, reliquo innoxius agone defungatur: certò sic consecuturus justitiæ coronas.

MB.

Μὴ τῶν ἔργων τοῦ Πατρός σου ἔσῃ δικαστής· ἀλλὰ τῶν ἐντολῶν ἐναπληρωτής· ἔθος γὰρ τοῖς δαίμοσι τὰς αὐτῶν δεικνύναι πράξεις, ἵνα σου τὰ ὦτα κωφώσωσι πρὸς τὰς ῥήσεις· καὶ ἢ τῆς παλαίστρας ὡς ἀναλκῆ σε καὶ δειλὸν ἀποστήσωσι στρατιωτῶν· ἢ μένοντα καταφρονητικῶς ζῆν, καὶ εἰς ἀπιστίας λογισμοὺς ἑλκύσωσιν, καὶ χαῦνον ἀπεργάσωνται πρὸς πᾶσαν ἀρετῆς ἰδέαν.

XLII.

Ne operum Patris tui Judex sis sed mandatorum sedulus omnium & perfectus executor. Consuetudo enim Dæmonum est procurare ut quædam in Præpositis subditus videas minus forte probabilia, quibus tuæ obturentur aures ne recta præcipienti pareas. Id si assequantur, vel sacris Castris vilem te ac ignavum desertorem abducent: vel si nihilominus in iis durare pergas, efficient ut contemnens & contemptibilis ibi vivas: te in consensum ad cogitationes incredulitatis pertrahentes, remissumque ac segnem ad omnem virtutis speciem reddentes.

MΓ.

Ὁ πατρικῶν παρακούων ἐντολῶν, τῶν ἐξαιρέτων τῆς ἐπαγγελίας συνθηκῶν παραβάτης εὑρίσκεται· ὁ δὲ τὴν ὑπακοὴν ἐγκολπωσάμενος, καὶ τὸ ἴδιον θέλημα μα-

XLIII.

Patris sui mandatis negligens aut recusans obedire, Præcipuarum promissionis divinæ conventionum transgressor deprehenditur. qui autem obe-

dientiam in sinu fert, propriâ voluntate gladio Humilitatis obtruncatâ, Hic, quantum in ipso est, adimplevit, quæ coràm multis testibus Christo promiserat.

χαίρᾳ ταπεινοφροσύνης ἀποσφάξας, οὗτος ἐπλήρωσε, τό γ' εἰς αὐτὸν ἧκον, ἅπερ ἐπὶ πολλῶν μαρτύρων Χριστῷ ἐπηγγείλατο.

XLIV.

Admoniti cognovimus & clarè didicimus: eos qui, se planè Patrum jussis in Religiosâ Exercitatione subjiciunt, summâ flagrare invidiâ apud Hostes vitæ nostræ malos Dæmones. qui strident dentibus in ipsos: & toti sunt in excogitandis variis artibus eos perdendi. quid non facientes, aut quid non suggerentes, ut à Patrum ulnis illos abstrahant? Prætextûs ostentant, pulcro verisimilitudinis tectorio decoros. æstus quosdam injiciunt & impetus ægrè cohibibiles iræ bullientis, quibus ad Patris odium vehementer impelluntur. quin & acres in eorum mente, tamquam culpæ manifestæ comperti, Præpositi reprehensiones formant, quas ut foras ejaculentur sagittas acutas, ardentissimè instigant. Hæc Monacho turbato suggerentes: cur qui liber eras, servus es factus: & servus immi-

ΜΔ.

Ἐπιστημηνάμενοι διεγνώκαμεν, καὶ τρανῶς μεμαθήκαμεν· ὅτι τοὺς ἐν ὑποταγῇ Πατέρων ἀσκοῦντας, πάνυ ζηλοῦσιν οἱ ἐχθροὶ τῆς ζωῆς ἡμῶν δαίμονες, τρύζοντες τοὺς ὀδόντας αὐτῶν κατ' αὐτῶν, καὶ παντοίας ἐπινοούμενοι μηχανάς· τί μὲν οὐ ποιοῦντες; τί δ' οὐχ ὑποβάλλοντες, ὥστε χωρίσαι αὐτοὺς τῶν πατρικῶν ἀγκαλῶν; προφάσεις δεικνύουσιν ὡς δῆθεν εὐλόγους, παροξυσμοὺς μεθοδεύουσι, μῖσος πρὸς τὸν πατέρα δεικνύουσι· τοὺς δὲ ἐλέγχους ὡς βέλη ἠκονημένα πηγνύουσι· καὶ τί φησιν ἐλεύθερος ὢν, δοῦλος γέγονας, καὶ δοῦλος ἀπηλεοῦς δεσπότου; ἕως πότε τῷ ζυγῷ τῆς δουλείας ἐκτριβήσῃ, καὶ ἐλεύθερον φῶς θεάσῃ· ἔπειτα ξενοδοχίας, καὶ ἀρρώστων ἐπισκέψεις, καὶ πενήτων ἐπιμελείας ἐπιβάλλουσιν· εἶτα καὶ τῆς ἄκρας ἡσυχίας καὶ μονώσεως τὸ ἆθλον ὑποφαίνουσι, καὶ πᾶν εἶδος πονηρῶν ζιζανίων ἐγκατασπείρουσι τῇ καρδίᾳ τοῦ ἀθλητοῦ καὶ στρατιώτου τῆς εὐσεβείας· ἵνα μόνον τῆς πατρικῆς μάνδρας τοῦτον ἐκβάλλωσι, καὶ τοῦ

ἀκυμάντυ λιμένος ἑλκύσαντες, πρὸς τὸ μαινομένην καὶ ψυχοφθόρον τῶν παθῶν θάλασσαν ἀπορρίψωσιν· ἔπειτα ὡς αἰχμάλωτον εἰς ἰδίαν ἐξουσίαν λαβόντες κατὰ τὰ πονηρὰ αὐτῶν θελήματα, καταχρήσωνται.

sericordis Heri? quousque jugo diræ servitutis attereris? numquamne respirabis in lucem liberam? Adjiciunt his desideria relictarum occasionum exercendæ in Hospites excipiendos, & infirmos curandos caritatis, quas in vita alieno arbitrio subjectâ non habent. Magnoperè insuper ostentant, speciosos scilicet fructus vitæ solitariæ, Magistri supercilio non obnoxiæ: contemplationes nempe sublimes, raptus orationis quietæ, quales, si sui juris essent, statim sibi videntur adepturi. Denique omne genus pravarum zizaniorum cordi Athletæ ac Militis castrorum pietatis vafrè superseminant. in hoc sibi summam ponentes; si quo dolo quave fraude, septo paterni ovilis periturum mox pecus exterminent; aut è tranquillo portu extractam arte maligna ratem in fluctus procellosi maris, hoc est vitiorum animas perimentium horrendas tempestates, inermem & imparem naufragio vitando projiciant animam. Quò videlicet infelicissimum è sacris ita castris abeptum captivum, ubi suam in potestatem illis fallaciis abstraxerint, eo mox pro libito abutantur stultè morigero ad pessima quæcumque suaserint.

ΜΕ.

Σὺ δὲ ὁ ἐν ὑποταγῇ παρεδρεύων ὄντα ὁ τῶν ἐχθρῶν, καὶ πολεμίων δόλος μὴ λαμβανέτω· μὴ δὲ τῆς ἐπαγγελίας σου τῆς πρὸς Θεὸν ὑποσχέσεως ἐπιλανθάνου· μὴ ὕβρισιν ἡττηθῇς· μὴ τοὺς ἐλέγχους καὶ χλευασμοὺς, καὶ μυκτηρισμοὺς δειλιάσῃ· μὴ ταῖς ὑποβολαῖς τῶν πονηρῶν λογισμῶν εἴξῃς· μὴ αὐστηρότητα πατρικὴν ἐκφύγῃς· μὴ

XLV.

Te verò subjectam obedientiæ vitam amplexum Hostium & inimicorum dolus non capiat: neque promissionis tuæ ac Professionis Deo factæ obliviscaris. Ne horum injuriosis contumeliis fractus animo vincaris: ne objurgationes ludibria, irrisiones ignavè metuens turberis: ne suggestionis pra-

vis cedas: Ne austeritatem aversere Patris: ne studio tibi placendi & audacis arrogantiæ superbiâ jugum Humilitatis pro vili & te indigno habeas. Sed illud Domini oraculum cordi gerens insculptum: *Qui perseveraverit usque in finem hic salvus erit*: cum patientiâ curre, per stadium tibi propositi certaminis: intuens in Autorem fidei & consummatorem Jesum.

Mat. x. 22.

αὐταρεσκείας καὶ αὐθαδείας θρασύτητι τὸν τῆς ταπεινώσεως ἀτιμάσῃς ζυγόν· ἀλλὰ τὸ δεσποτικὸν ἐν καρδίᾳ θέμενος λόγιον, ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται, μεθ' ὑπομονῆς τρέχε τὸν προκείμενόν σοι ἀγῶνα· ἀφορῶν εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν.

XLVI. Μϛ.

Aurifex quidem aurum in conflatorium injiciens, purius illud reddit: & juvenis Monachus vitæ Præposito subjectæ officiis & contentionibus se addicens: ac cunctas disciplinæ religiosæ acerbitates augustiasque tolerans: & cum labore ac patientiâ multâ obedientiam plenè ac perfectè discens exercere, excoctis istâ velut fornace ad purum moribus, lætus renidensque redditur; fitque dignus cœlestibus Thesauris, vitâ inculpatâ, & fine beato, eò perveniens unde procul exulat dolor omnis, tristitia & gemitus. ubi autem abundant gaudium, & omnimoda lætitia fœcundè germinans perpetuo quodam vere florenter provenit.

Χρυσοχόος μὲν χρυσὸν ἐν χωνευτηρίῳ βαλὼν, καθαρώτερον ἀπεργάζεται, καὶ νέος μοναχὸς ὑποταγῆς ἄθλοις σεαυτὸν ἐκδοὺς, καὶ πᾶσι τοῖς λυπηροῖς τοῦ κατὰ Θεὸν βίου πονούμενος· μετὰ κόπου δὲ καὶ ὑπομονῆς πολλῆς τὴν ὑπακοὴν ἐκμανθάνων, τὰ ἤθη ἀναχωνευθεὶς, φαιδρὸς ἀποκαθίσταται καὶ ἄξιος γίνεται τῶν οὐρανίων θησαυρῶν, τῆς ἀνωλέθρου διαγωγῆς καὶ μακαρίας λήξεως, ἔνθα ἀπέδρα ὀδύνη πᾶσα λύπη καὶ στεναγμός· εὐφροσύνη δὲ καὶ διηνεκὴς θυμηδία πεφύτευται.

MZ.

Πίστις ὀρθὴ καὶ ἐνδιάθετος γεννᾷ τὸν φόβον τοῦ Θεοῦ· ὁ δὲ φόβος τοῦ Θεοῦ τήρησιν ἐντολῶν αὐτοῦ ἐκδιδάσκει· Θεοῦ γάρ φησι φόβος ἐντολῶν τήρησις· ἐκ δὲ τῆς τῶν ἐντολῶν τηρήσεως συνίσταται ἡ πρακτικὴ ἀρετὴ ἀρχὴ οὖσα, τῆς θεωρικῆς· τούτων καρπὸς ἡ ἀπάθεια· καὶ δι᾽ ἀπαθείας ἐγγίνεται ἡμῖν ἀγάπη· περὶ δὲ τῆς ἀγάπης φησὶν ὁ ἠγαπημένος μαθητὴς, ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ Θεὸς ἐν αὐτῷ.

XLVII.

Fides recta & cordi penitùs insita gignit timorem Dei. Timor autem Dei docet observationem mandatorum ipsius. *Dei enim timor*, ait scriptura, *mandatorum custodia est*. Eccl. ij. 18. Porro è mandatorum observatione conflatur ea quæ dicitur virtus practica, quæ initium contemplativæ est. Harum fructus impassibilitas; per hanc inest nobis caritas de quâ dilectus discipulus ait: *Deus Caritas est*: & *qui manet in caritate, in Deo manet & Deus in eo.* 1. Ioan. iv. 8.

MH.

Ὡς ὡραία ὄντως καὶ καλὴ ἡ τῶν μοναχῶν πολιτεία· ὡραία ὄντως καὶ καλὴ εἴπερ κατὰ τοὺς ὅρους καὶ νόμους οὓς οἱ ἀρχηγοὶ ταύτης καὶ ἡγεμόνες ἐκ τοῦ ἁγίου διδαχθέντες πνεύματος ἔθεντο, γένηται· τὸν γὰρ τοῦ Χριστοῦ στρατιώτην ἄϋλον δεῖ ὑπάρχειν καὶ ἀμέριμνον πάσης ἐννοίας κοσμικῆς, ὥς φησιν ὁ Ἀπόστολος· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· χρὴ τοίνυν τὸν μοναχὸν ἄϋλον εἶναι, ἀπαθῆ, πάσης ἐπιθυμίας πονηρᾶς

XLVIII.

Ut speciosa verè ac pulcra est Monachorum Disciplina! speciosa verè ac pulcra, siquidem juxta definitiones & leges quas institutores ejus primi ac duces à Sancto edocti Spiritu posuerunt, cursum suum teneat. Nam Christi Militem à materiâ segregatum esse oportet, ac sæcularibus curis, mundanisque cujusvis generis cogitationibus vacuum. prout dicit Apostolus: *Nemo militans Deo implicat se negotiis sæcularibus*, II. Tim. ii. 4.

ut duci suo placeat. Necesse igitur est, expertem materiæ Monachum esse, imperturbatum, à pravâ quâvis cupiditate liberum, non luxuriosum, non vinolentum, non amantem voluptatis, non cupidum gloriæ. Nisi enim quis ab his se abstraxerit, haud poterit Angelicæ istius disciplinæ partes omnes ac numeros explere. Iis porrò qui prout convenit Officia illius cuncta exequuntur, est

ἐκτὸς, μὴ ζυφητὴν, μὴ πάροινον, μὴ νωθρὸν καὶ ῥάθυμον, μὴ φιλήδονον, μὴ φιλόδοξον· εἰ μὴ γάρ τις τούτων ἑαυτὸν ἐξάξει, οὐκ ἂν δυνηθείη ἀγγελικὴν πολιτείαν ταύτην κατορθῶσαι· τοῖς δέ γε ἁρμοδίως ταύτην κατορθοῦσιν, ἔστιν ὁ ταύτης ζυγὸς χρηστὸς, καὶ τὸ φορτίον ἐλαφρὸν, τῆς θείας ἐλπίδος ἐπικουφιζούσης πάντα· ἡδὺς ὁ τοιοῦτος βίος, ἡ πρᾶξις τερπνὴ, ἡ ἡμέρα ἀγαθὴ, ἥτις οὐκ ἀφαιρεθήσεται τῆς ταύτην κεκτημένης ψυχῆς.

Mat. xj. 30. ejus, *Iugum suave & onus leve*; spe Divinæ promissionis, quidquid ibi gravare posset elevante. Dulcis ejusmodi vita, operatio jucunda, felix dies, quæ numquam auferetur ab Animâ possessionem ejus perseveranter obtinente.

XLIX.

Qui sæcularibus se abjunxit curis: & ad certamen se Asceticum exuens accinxit: ne cupiat divitias habere, unde Pauperibus largiatur. Nam hæc una est è fraudibus mali Dæmonis specioso prætextu occultum vanæ gloriæ studium operientis: ut sic in solicitudinem multiplicitate agendorum avocantem ab uno necessario, conjiciat animum. Etsi nihil præter panem & aquam habeas, potes ex his lucrari hospitalitatis mercedem. Sin au-

Μ Θ.

Ὁ τῶν βιωτικῶν ἀποστὰς μεριμνῶν, καὶ πρὸς τὸν ἀσκητικὸν ἀποδυσάμενος ἀγῶνα, μὴ ἐπιθυμήσῃς πλοῦτον ἔχειν πρὸς διάδοσιν πενήτων· ἔστι γὰρ καὶ αὕτη ἀπάτη τοῦ πονηροῦ πρὸς κενοδοξίαν περιερχομένη, ἵνα εἰς πολυπραγμοσύνην ἐμβάλλῃ τὸν νοῦν· κἂν ἄρτον μόνον ἔχῃς καὶ ὕδωρ, δύνασαι ἐν τούτοις ποιῆσαι τῆς φιλοξενίας τὸν μισθόν· κἂν μηδὲ ταῦτα ἔχῃς, μόνον δὲ προθέσει ἀγαθῇ ὑποδέξῃ τὸν ξένον, καὶ λόγους παρακλήσεως αὐτῷ δώσεις, δύνασαι καὶ οὕτως τὸν τῆς φιλοξενίας μισθὸν περιποιήσασθαι· ἔχεις τὸν

ἐν τῷ εὐαγγελίῳ ὑπὸ τοῦ Κυρίου μεμαρτυρημένην χήραν εἰς ἀσφάλειαν, δύο μόνων δύο λεπτῶν τὴν τῶν πλουσίων ὑπερβεβηκυῖαν προαίρεσίν τε καὶ δύναμιν· ταῦτα τοῖς ἐν ἡσυχίᾳ καθεζομένοις εἴρηται· οἱ δέ γε ἐν ὑποταγῇ Πατρὸς ὄντες ἓν μόνον ἐχέτωσαν ἐπὶ νοῦν, τὸ ἐν μηδενὶ τῆς πατρικῆς ἐκπίπτειν ἐντολῆς. τοῦτο γὰρ κατορθώσαντες, τὸ πᾶν εἰσὶ κατορθωκότες· ὡς καὶ τὸ ἔμπαλιν, εἰ τοιαύτης ἐκπέσωσι πολιτείας καὶ ἀκριβείας, ἀδόκιμοι κατὰ πᾶσαν ἰδέαν ἀρετῆς καὶ πολιτείας πνευματικῆς ἔσονται.

tem iis quoque careas ; cæterùm benevolo animo excipias hospitem , & humanis eum piisque sermonibus consoleris, continget tibi hoc solo promissum Hospitalitati promereri præmium. Habes hujus mei dicti vadem , laudatam à Domino in Evangelio pauperem Viduam: quæ duorum benevolâ erogatione minutorum, non æquavit modò largas collationes Locupletum , sed etiam devotionis abundantiâ , operisque valore , longè superavit. Hæc solitariam profitentibus quietem dicta sunto. Qui autem sub spiritualis Patris obedientiâ vivunt , unum solum menti propositum teneant, nulla prorsus in re à præscripto Patris excidere. Nam hoc solo effecto cuncta perfecerunt. uti vice versâ , si ab ejus subjectionis exactissimâ diligentiâ vel tantulum remiserint, reprobi ad omne virtutis genus, & spiritualis Disciplinæ reputabuntur.

N.

Δέχοιο καὶ τὴν συμβουλήν μου ταύτην φιλόχριστε· ξενιτείαν ἀγάπα, ἀπαλλαττόμενος τῶν κατὰ τὴν ἰδίαν χώραν περιστάσεων· γονικαῖς μερίμναις ἢ συγγενικαῖς φιλίαις μὴ συναπαχθῇς· τὰς ἐν πόλει διατριβὰς φεῦγε, καὶ ἐν ἐρημίᾳ καρτέρησον· λέγων μετὰ τοῦ προφήτου· ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

L.

Accipe & hoc meum consilium O Christi amator, Habitationem à frequentiâ longinquam & verè *Hospitis & pere-* 1. Pet. ij. 11.
grini adama & sectare , longè te removens ab omni occasione familiarium in tuâ terrenâ Patriâ negotiorum. ne Parentum curæ aut cognationis solicitudines, te abducant. Con-

versationes urbanas fuge : in solitudine perdura. dicens cum Pro-
Psal. liv. 8. pheta : *Ecce elongavi fugiens, & mansi in solitudine.*

LI.

Tibi proprios, à strepitu remotos, & extrà Mundi commercium quàm longissimè sitos elige ad habitandum locos. Et si, ut pronum est in talibus, raritas necessariorum ad usum vitæ, & angustia domicilij, sentiatur illic, tu tamen ne desponde animũ, quamlibet Hostes tui te *Circũdẽt sicut apes*, aut mali fuci, in varia te protrudentes omnis generis bella, & multiformibus importunè te cogitationibus turbantes: ne cõsterneris aut inflecti te sinas ad prębendã ipsis aurẽ facilem : neu fugias à stadio Exercitationis sacræ. Magis autem longanimiter sustine : canens ipsi tibi & dicens : *Expectans expectavi Dominum & attendit mihi, & audivit orationem meam.* Et tunc videbis magnalia Dei. Auxilium ejus, curam tui, & cæteram omnem de tuâ salute providentiam.

Psal. cxvij. 12.

Psal. xxxix.

ΝΑ.

Τοὺς ἰδιάζοντας καὶ ἀπῳκισμένους τοῦ κόσμου δίωκε τόπους· καὶ εἰ σπάνις ἔσται τῶν ἀναγκαίων χρειῶν, καὶ στενοχωρία ἐκεῖθεν, μὴ δειλιάσῃς· ἐὰν κυκλώσουσί σε οἱ ἐχθροὶ καθάπερ μέλισσαι ἢ κακοὶ κηφῆνες εἰς παντοδαποὺς σε προσβάλλοντες πολέμους, καὶ παντοίοις σε διαταράττοντες λογισμοῖς, μὴ πτοηθῇς, μὴ κλίνῃς αὐτοῖς εὐήκοον οὖς, μηδὲ ἀποφύγῃς τὸ τῆς ἀσκήσεως στάδιον· μακροθύμως δὲ μᾶλλον καρτέρησον, κατεπᾴδων ἑαυτῷ καὶ λέγων, Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου· καὶ τότε ὄψει τὰ μεγαλεῖα τοῦ Θεοῦ, τὴν ἀντίληψιν, τὴν κηδεμονίαν, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίᾳ πρόνοιαν.

LII.

Amicos habere te oportet, ô Christi Amator eos qui & possint & velint prodesse tibi, & cooperari ad rectè fungenda instituti à te suscepti officia. Vi-

ΝΒ.

Φίλους ἔχειν σε χρὴ φιλόχριστε τοὺς ὠφελίμους καὶ συμβαλλομένους σοι τῇ πολιτείᾳ. Ἄνδρες γοῦν εἰρηνικοὶ ἔστωσάν σοι φίλοι, ἀδελφοὶ πνευματικοί, πατέρες ἅγιοι· περὶ

ὧν καὶ ὁ Κύριος ἔφη· μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

ri ergo Pacifici Amici tibi sunto, Fratres spirituales, Patres sancti: de qualibus Dominus ait: *Mater mea & fratres mei* Mat.
hi sunt qui faciunt voluntatem Patris mei qui in cœlis est. xij. 48.

ΝΓ.

Μὴ ἔσο ἐπιθυμητὴς βρωμάτων ἐνηλλαγμένων, καὶ πολυτελῶν, καὶ σπαταλῶν θανατηφόρων· ἡ σπαταλῶσα γάρ φησι ζῶσα τέθνηκε ψυχή· καὶ αὐτῶν δὲ τῶν εὐπορίστων εἰ δυνατὸν παραιτοῦ τὸν κόρον· εἴρηται γάρ· μὴ ἀπατάτω σε χορτασία κοιλίας· ἡ ἔξω τοῦ κελλίου σου συνεχὴς διατριβὴ ἔστω σοι παραιτησία εἰ ἡσυχάζειν ᾑρετίσω· ἔστι γὰρ ἐπιζήμιος πάνυ· ἀφαιρεῖται γὰρ τὴν χάριν, σκοτοῖ τὸ φρόνημα, μαραίνει τὸν πόθον· διὰ τοῦτο εἴρηται· ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τοιγαροῦν κόπτε τῶν πολλῶν τὰς σχέσεις, μή σου ὁ νοῦς περισπαστικὸς γένηται, καὶ ταράξῃ τὸ ἡσυχίας τὸ ζόσεν.

LIII.

Ne concupiscas cibos curiosè condîtos, copiosâ varietate sumptuosos; aut talem illum apparatum deliciarum mensæ mortiferarum. Nam de Animâ non minùs quam de dissolutâ viduâ scriptum est: *Quæ in* 1. Tim.
deliciis est vivens mortua est. v. 6.
Parabilium quoque ciborum ubi adfuerit copia, quantum potes saturitatem vita. Dictum est enim *ne decipiat te saturitas ventris*. Mora tibi longior extrà cellam, & evagatio in conversationes crebras quotidiana, ut indecens & noxia respuatur à te, si verè ac seriò Deo quietè vacare in solitudine elegisti. Est enim damnosa maximè: quippe quæ auferat gratiam, obscuret mentem, hebetet desiderium rerum cœlestium. Propterea dictum est: *inconstantia concupiscentiæ transvertit sensum sine ma-* Sap.
litiâ. Abscinde igitur nexûs familiaritatum cum multis: ne in- iv. 12
stabilis in bono tua mens efficiatur, & turbet tranquilitatem sacræ tuæ quietis.

LIV.

Sedens in tuâ cellulâ ne sine ratione & rectâ intentione facias opus tuum, desidiâ plenum languidâ. Nam, ait Scriptura: *Qui nesciens quò tendit ambulat, in vanum fatigabitur.* Sed collige mentem: habe præ oculis ultimam mortis horam. recordare vanitatis mundi. reputa consternationem horrendę redditionis rationum· Ut acerbi Exactores Deo judici repræsentaturi, & accusaturi tunc sint operationes nostras, verba, cogitationes, quas ipsi malas subjecerunt, nobis eas incautè suscipientibus. memorare tormenta Inferni. Quo in statu sint miserrimæ ibi detentæ Animæ. in quanto timore, & dolore, in quàm anxiâ expectatione majorum semper malorum. Memoriâ revolve magnam & horribilem diem illam communis & terribilis, ajo, resurrectionis, ultimæque damnationis irrevocabiliter pronunciatæ à judice qui falli nequit. reputa pudorem quo tunc corripientur peccatores, opprobrium quo obruentur convicti propriæ testimonio conscien-

Eccl. x. 15.

ΝΔ.

Καθεζόμενος ἐν τῷ κελλίῳ σου μὴ ἄλογον ποιήσῃς σου τὸ ἔργον, καὶ ἀργείας πεπληρωμένον· ὁ ἀσκόπως γάρ φησιν ὁδοιπορῶν, ματαιοπονήσει· ἀλλὰ συνάγαγε τὸν νοῦν· ἔχε πρὸ ὀφθαλμῶν σου τὴν τελευταίαν τοῦ θανάτου ὥραν· μνήσθητι τῆς τοῦ κόσμου ματαιότητος· ἐννόει τοῦ φρικτοῦ λογοθεσίου τὴν συμφοράν· ὅπως μέλλουσιν οἱ πικροὶ φορολόγοι παριστᾶν τὰς πράξεις ἡμῶν, τοὺς λόγους, τὰς ἐνθυμήσεις, ἃς αὐτοὶ μὲν ὑπέβαλλον, ἡμᾶς δὲ ὑποδεχομένους εἶχον· μνημόνευε τῶν ἐν τῷ ᾅδῃ κολάσεων, καὶ πῶς ἄρα εἰσὶ αἱ ἐκεῖσε κατακλεισθεῖσαι ψυχαί, ἐν ποίῳ φόβῳ καὶ ὀδύνῃ, καὶ προσδοκίᾳ· μνημόνευε καὶ τῆς μεγάλης καὶ φρικτῆς ἡμέρας, τῆς κοινῆς φημι καὶ φοβερᾶς ἀναστάσεως τῆς τελευταίας τε ἀποφάσεως τοῦ ἀπαραλογίστου κριτοῦ· λογίζου τὴν αἰσχύνην τὴν καταληψομένην τοὺς ἁμαρτωλούς, τὸ ὄνειδος, τὸν ἔλεγχον τῆς συνειδήσεως, τὸ ἐξωσθῆναι ἀπὸ τοῦ Θεοῦ, καὶ ῥιφῆναι εἰς τὸ αἰώνιον πῦρ, εἰς τὸν ἀτελεύτητον σκώληκα, εἰς τὸ σκότος τὸ ἀφεγγές, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, τά τε ἄλλα κολαστήρια πάντα ἀνιστορῶν μὴ διαλίπῃς· καὶ σταλαγμοῖς δακρύων κα-

ταβρέχων σου τὰς παρείας, τὴν ἐσθῆτα, τὸν τόπον, ἔνθα καθέζῃ· ταύταις γὰρ ταῖς ἐννοίαις πολλοὺς ἑώρακα δακρύων πλῆθος κτησαμένους, καὶ πάσας τὰς τῆς ψυχῆς δυνάμεις θαυμαστῶς ἐκκαθάραντας.

tiæ: videntes juſtè ac meritò expelli ſe à Deo, & projici in ignem, verme rodendos æternùm morſuro, in tenebras flammæ luce caſſæ, ubi erit fletus & ſtridor dentium. Aliaſque ſingillatim ejuſmodi ſuppliciorum partes ne ceſſes percenſere memoriter, fluminibus interim lacrymarum madefaciens genas tuas, veſtem, & locum in quo ſedes. Talibus ſiquidem meditationibus multos vidi adeptos gratiam copioſam lacrymarum; idque præterea conſecutos, ut cunctas Animæ potentias mirabiliter expurgarent.

N E.

Ἀλλὰ καὶ τοῖς δικαίοις ἀποκείμενα ἀγαθὰ ἐννόει· τὴν ἐκ δεξιῶν τοῦ Σωτῆρος παράστασιν· τὴν εὐλογημένην φωνὴν τοῦ Δεσπότου· τὴν κληρονομίαν τῆς οὐρανίου βασιλείας· τὰς ὑπὲρ νοῦν δωρεάς· τὸ φῶς ἐκεῖνο τὸ γλυκύτατον· τὴν χαρὰν τὴν ἀτελεύτητον· τὰς μονὰς ἐκείνας τὰς οὐρανίους· τὴν μετ᾽ Ἀγγέλων διαγωγήν· τὰ ἄλλα πάντα τὰ ἐπηγγελμένα τοῖς φοβουμένοις τὸν κύριον· οὗτοι οἱ διαλογισμοὶ συνδιαιτάσθωσάν σοι καὶ συνανιστάσθωσαν· ὅρα μὴ ἐπιλάθῃ τούτων ποτέ· ἀλλ᾽ ὅπουπερ ἂν ᾖς, τῆς τούτων μνήμης μὴ διαγάγῃς σου τὸν νοῦν· ἵνα καὶ οἱ πονηροὶ φύγωσι λογισμοί· καὶ παρακλήσεως θείας πεπληρωμένος ἔσῃ· εἰ δὲ μὴ ταύταις ταῖς ἐννοίαις τετειχισμένος εἴη

L V.

Sed & quæ juſtis repoſita ſint bona, conſidera. Stare ad dexteram Salvatoris, audire à Domino vocem quâ *Benedicti* prædicantur. Hereditatem cernere Cœleſtis Regni. Dona illa mentis humanæ intelligentiam ſuperantia. Lucem illam dulciſſimam, gaudium non defiturum, Manſiones illas Cœleſtes, converſationem cum Angelis, cætera omnia promiſſa timentibus Dominum. Iſtiuſmodi conſiderationes ſimul tecum recumbant, ſimul exurgant. Cave ne horum umquam obliviſcaris. Sed ubicumque fueris, ab horum memoriâ ne abducas animum. ut & pravæ fugiant cogitationes,

& consolatione divinâ plenus sis. Nisi porrò hujusmodi cogitationibus vallatus undique quis fuerit; vitæ solitariæ officium explere haud valebit. Fons enim aquam non habens, immeritò nomen fontis obtinet.

τις, ἡσυχίαν κατορθῶσαι οὐ δύναται· πηγὴ γὰρ ὕδωρ μὴ ἔχουσα, εἰς μάτην τὸ ὄνομα ἐπιφέρεται.

LVI.

Hæc quoque Regula solitariæ amplexis vitæ professionem præscribitur. Jejunium quantum sustinere vires possunt. ad eundem modum, vigilia, Humicubatio, & cætera omnis durities victûs cultûsque; spe futuræ quietis ultrò
Rom. viij 18. adscita. *Non enim sunt condignæ passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis.* Præ cunctis verò pura oratio, ferè dicam, perpetua, & sine intermissione. Hæc murus est impenetrabilis, eadem Portus tranquillus, virtutum tutela, labore attritorum requies, mœrentium consolatio, invisibilium contemplatio, optatorum assecutio, Angelorum conversatio, ad res bonas adhortatio, sperandarũ substantia rerum. Hanc Sacram Reginam virtutum quam potes maximo assume atque arripe conatu, ô Asceta. Ora per diem, per noctem,

Nϛ.

Καὶ αὕτη δὲ ἡ πολιτεία τοῖς ἐν ἡσυχίᾳ κατορθοῦσι προῃρημένοις νενομοθέτηται· νηστεία ὅση δύναμις· ἀγρυπνία τε καὶ χαμευνία· καὶ ἄλλη πᾶσα κακοπάθεια, διὰ τὴν μέλλουσαν ἀνάπαυσιν γινομένη· οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς δόξαν· ἐξαιρέτως δὲ προσευχὴ καθαρὰ, σχεδὸν εἰπεῖν ἄπαυστος καὶ ἀδιάλειπτος· αὕτη τεῖχός ἐστιν ἀσφαλές· αὕτη λιμὴν εὔδιος· ἀρετῶν φυλακτήριον· κεκμηκότων ἀνάπαυλα· πενθούντων παράκλησις· τῶν ἀοράτων θεωρία· τῶν ἐπιθυμουμένων πληροφορία· τῶν Ἀγγέλων διαγωγή· τῶν καλῶν προτροπή· τῶν ἐλπιζομένων ὑπόστασις· ταύτης ἱερᾶς βασιλίδος τῶν ἀρετῶν ἐπιλαβοῦ, Ἀσκητὰ πάσῃ δυνάμει· προσεύχου ἡμέρας καὶ νυκτὸς, ἐν ἀθυμίᾳ καὶ εὐθυμίᾳ· προσεύχου δὲ ἐμφόβως καὶ ἐντρόμως, νηφαλαίῳ τε καὶ ἐγρηγορότι νοῒ ἵνα δεκτὴ Κυρίῳ ἔσοιτο ἡ προσευχή σου· ὀφθαλμοὶ γάρ φησι, Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα

αὐτοῦ

αὐτοῦ εἰς δέησιν αὐτῶν.

ora quando tristis, ora quando lætus es. ora autem cum timore & tremore, sobriâ & vigili mente. ut accepta Deo sit oratio tua. *Oculi* enim, ait David, *Domini super justos, & aures ejus ad precem eorum.* Psal. xxxiij. 16.

NZ.

Εἴρηται τινι τῶν Πατέρων εὐστόχως. ὅτι τῶν ἀντικειμένων ἡμῖν δαιμόνων πρῶτοι κατὰ πόλεμόν εἰσιν οἱ τὰς τῆς γαστριμαργίας ὀρέξεις πεπιστευμένοι, καὶ οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς κενοδοξίαν ἡμᾶς ἐκκαλούμενοι· οἱ δὲ ἄλλοι πάντες κατόπιν τούτων βαδίζοντες, τοὺς ὑπὸ τούτων τιτρωσκομένους διαδέχονται· ἐπισημειούμενοι οὖν ἔγνωμεν· ὅτι οὐκ ἔστιν ἄνθρωπον πεσεῖν ἁμαρτίᾳ ἢ πάθει τινὶ, μὴ πρότερον ὑπό τινος τῶν τριῶν τούτων καταπρωθέντα· διὸ καὶ τοὺς τρεῖς λογισμοὺς ὁ Διάβολος τῷ Σωτῆρι προσέβαλεν· ὧν ὁ Κύριος ἡμῶν κρείττων φανεὶς, εἰς τοὐπίσω χωρεῖν τῷ Διαβόλῳ προσέταττε, διδοὺς ἡμῖν τὴν κατ' αὐτοῦ νίκην, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος δεσπότης, ὁ κατὰ πάντα ὁμοιοπαθὲς ἡμῖν σῶμα περιθέμενος χωρὶς ἁμαρτίας, καὶ δείξας ἡμῖν τὴν τῆς σωτηρίας τρίβον ἀπλανῆ, ἐν ᾗ πορευόμενοι ἀναμορφοῦμεν ἑαυτοὺς εἰς τὸν νέον ἄνθρωπον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ ποιήσαντος αὐτόν.

LVII.

Dixit Quidam Patrum prudenter ac verè, Adversantium nobis Dæmonum primos in acie ordines ducere, eos quibus est cura commissa homines ad gulam & libidinem proritandi: prætereaque illos qui ex officio ad pecuniæ, vanæque gloriæ amorem nos provocant. Alij Dæmones omnes, quasi Acies media, illam priorem sequens, illos excipiunt sæviendo perdendoque, quos à prioribus vulneratos deprehenderint. Hâc persuasi doctrinâ intelligimus: fieri non posse ut homo in peccatum aut crimen cadat, nisi priùs ab aliquo trium istorum antecursorum vulneratus fuerit. Propterea tres easdem has tentationes Diabolus salvatori admovit: quas, ubi superavit Dominus noster, abire retrò Diabolum jussit. Datâ exinde nobis suâ istâ quam post ipsum reportemus victoriâ, pro eâ pietate ac clementiâ, quæ bonum ac bene-

ficentissimum Dominum decet. qui simile nostro passible sibi corpus circumdedit, sine peccato. quique ostendit nobis rectam
Col. iij. 10. & certam ad salutem viam. perquam incedentes *reformamus nos in novum hominem, qui renovatur juxta imaginem ejus à quo ipse conditus est.*

L VIII.

Psal. cxxxviij. 22. Perfecto odio odisse impuros Dæmonas, ut pote nostræ salutis Hostes, Davidicus docet sermo: & est sanè istud ad virtutis operationem necessarium. quis ergo est illos hostes perfecto odiens odio? qui neque opere neque mente peccat. Quoad autem vasa & quasi pignora amicitiæ ipsorum, nimirùm causæ vitiorum, in nobis fuerint, quomodo nostrum in eos odium ad perfectionem pervenisse dici poterit? voluptatis enim amans Monachus eos ex corde odisse haud potest.

NH.

Τέλειον μῖσος μισεῖν τοὺς μιαροὺς δαίμονας, ὡς ἅτε τῆς σωτηρίας ἡμῶν ἐχθρούς, ὁ δαβιτικὸς ἐδίδασκε λόγος· καὶ ἔστι τοῦτο πάνυ πρὸς ἀρετῆς ἐργασίαν ἐπιτήδειον· τίς οὖν ἐστιν ὁ τέλειον μῖσος μισῶν τοὺς ἐχθρούς; ὁ μὴ κατ᾽ ἐνέργειαν ἢ κατὰ διάνοιαν ἁμαρτάνων· ἐν ὅσῳ δὲ τὰ σκεύη τῆς αὐτῶν φιλίας· ἤγουν τὰ αἴτια τῶν παθῶν, ἐν ἡμῖν ὦσι, πῶς τὸ πρὸς αὐτοὺς μῖσος ἐν ἡμῖν κατορθωθήσεται; φιλήδονος γὰρ μοναχὸς τούτους ἀπὸ καρδίας μισεῖν οὐ δύναται.

L IX.

Vestis nuptialis est impassibilitas Animæ rationalis. quæ à mundanis se abjunxit voluptatibus, & omnes abnegavit mundanas cupiditates. Cogitationibus verò Dei amorem excitantibus, & meditationibus purissimarum & lucidissimarum contemplationum illu-

NΘ.

Ἔνδυμα γαμικόν ἐστιν ἀπάθεια ψυχῆς λογικῆς τῶν κοσμικῶν κεχωρισμένης ἡδονῶν καὶ πάσας ἀρνησαμένης τὰς κοσμικὰς ἐπιθυμίας ἐννοίαις δὲ φιλοθέοις, καὶ μελέταις καθαρωτάτων καὶ φανοτάτων θεωριῶν λελαμπρυσμένης· τοῦ δὲ συμπνιγόμενος ὑπὸ τῶν τῆς ἁμαρτίας παθῶν, καὶ τούτοις ἀδολεσχῶν,

τὸν χιτῶνα τῆς εὐφροσύνης ταύτης οὐκ ἐνδύσεται· ῥάκεσι δὲ διερρωγόσι καὶ κατερρυπωμένοις ἠχρείωται· καθὼς καὶ ἐν τοῖς εὐαγγελίοις δηλοῦται· ὅτι ὁ δεσμούμενος ἐκεῖνος χεῖρας καὶ πόδας, καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος ἐκ τοιούτων λογισμῶν καὶ πράξεων εἶχε καθυφασμένον τὸ ἔνδυμα· ὅπερ οὐκ ἄξιον τῶν θείων καὶ ἀφθάρτων γάμων, ὁ λόγος ἀπεφήνατο εἶναι.

ſtrata reſpeldet. Mens verò quæ ſuffocatur paſſionibus ad peccatum urgentibus, iiſque adhæſione quadam immorans, haud ſanè adhuc induiſſe videri poteſt iſtam ſpiritualis lætitiæ tunicam: quippe quæ centonibus potiùs laceris & ſordidis panioſa ſquallet. Prout innuitur indicato Evangelij loco. Ubi dum ille nuptialis expers veſtis Dicitur ligatus manus & pedes, ac ſic projectus in tenebras exteriores, ſignificatur eum è pravis iſtiuſmodi cogitationibus & factis contexto quodam indumento ſorduiſſe. quale haud congruere celebritati divinarum incorruptarumque nuptiarum, declarat hic locus. *Mat. xxij. 13.*



LX.

Περὶ τῆς φιλαυτίας παντομισουμένης σοφός τις εἰκότως ἐφθέγξατο. Πρῶτός ἐστι λογισμῶν ὁ δεινὸς οὗτος τῆς φιλαυτίας πόλεμος, καθάπερ τις τύραννος ὤν· μεθ' ὃν καὶ οἱ τρεῖς καὶ οἱ πέντε τὸν νοῦν ἡμῶν ἁρπάζουσιν.

De Amore proprio omnium odio digniſſimo, ſapiens quidam meritò pronunciavit. Princeps malarum cogitationum eſt vehemens illa Amoris proprij oppugnatio, quamdam tyrannicam exercens violentiam; Poſt quem & alij tres, ſubindeque alij quinque mentem noſtram abripiunt.

ΞΑ.

LXI.

Θαυμάζω εἰ βρώμασι κορεννύμενος δυνήσεταί τις ἀπάθειαν κτήσασθαι· ἀπάθειαν δὲ λέγω, οὐ τὴν ἀποχὴν τῆς κατ' ἐνέργειαν ἁμ-

Miror ſi ventre cibis diſtento valeat aliquis impaſſibilitatem acquirere. Impaſſibilitatem voco, non abſtinentiam à pec-

cato per operationem patrato. nam hæc continentia dicitur. Sed abstinentiam ab omni culpâ per arcanum arbitrij consensum intùs consciscendâ: cunctas vitiosas cogitationes radicitùs extirpantem; quæ puritas cordis appellatur.

ἁμαρτίας· αὕτη γὰρ ἐγκράτεια λέγεται· ἀλλὰ τὴν ἀπὸ τῆς διανοίας, τὰς ἐμπαθεῖς ἐννοίας πρόῤῥιζους ἐκτίλλουσαν· ἥτις καὶ καθαρότης καρδίας ὠνόμασται.

LXII.

Facilius est prorsus impuram purgare animam; quàm semel purgatam, sed iterùm vulneratam, ad sanitem rursùs revocare. Iis siquidem qui è Mundi confusione per rerum abdicationem recens emerserunt, in quantacumque priùs prolapsi delicta essent, haud adeò arduum est impassibilitatem arripere. qui autem gustarunt sacra Dei verba; & per viam salutis processerunt: deinde cursu in contrarium verso regressi in peccatum sunt, ægrè ac tardè ad impassibilitatem proficiunt: partim ob pravum habitum & malam assuetudinem: partim ob Dæmonem tristitiæ in pupillas oculorum insilientem ostentantemque idolum peccati. Studiosa tamen & laboris perferens anima, etiam istud quantumcumque arduum, decus assequitur, auxilio rectè utens cooperantis

ΞΒ.

Ῥᾷον ἀκάθαρτον καθᾶραι ψυχὴν, ἢ καθαρθεῖσαν καὶ πάλιν τραυματισθεῖσαν, εἰς ὑγείαν αὖθις ἀνακαλέσασθαι· τοῖς γὰρ ἄρτι τῆς τοῦ κόσμου συγχύσεως ἀποταξαμένοις, ὁποίοις ἂν περιπεπτωκόσι πλημμελήμασιν, εὐκοπώτερόν ἐστι τῆς ἀπαθείας ἐπιλαβέσθαι· οἱ δὲ γευσάμενοι καλῶν Θεοῦ ῥημάτων, καὶ βαδίσαντες ὁδὸν σωτηρίας, εἶτα παλινδρομήσαντες εἰς τὴν ἁμαρτίαν, δυσκατόρθωτός πως ἡ ἀπάθεια γίνεται· τοῦτο μὲν, διὰ τὴν κακὴν ἕξιν καὶ πονηρὰν συνήθειαν· τοῦτο δὲ τοῦ δαίμονος τῆς λύπης ταῖς κόραις τῶν ὀφθαλμῶν ἐμπηδῶντος, καὶ τὸ τῆς ἁμαρτίας φέροντος εἴδωλον· σπουδαία μέντοι καὶ φιλόπονος ψυχὴ, καὶ τὸ δυσκατόρθωτον τοῦτο πολλάκις κατόρθωσε συνεργείᾳ τῆς χάριτος μακροθύμως φιλανθρωπευομένης πρὸς ἡμᾶς, καὶ πρὸς μετάνοιαν ἐπικαλουμένης· καθὼς ἐν τοῖς εὐαγγελίοις διὰ τῆς τοῦ ἀσώτου παιδὸς

παραβολῆς ἐδιδάχθημεν.

Gratiæ; quam Deus longanimâ caritate in nos dignatur effundere ad pœnitentiam vocantem. Prout nos in Evangelio docuit Prodigi filij Parabola. *Luc. xv. 11.*

Ξ Γ.

Οὐδεὶς ἡμῶν ἐκ τῆς οἰκείας ἰσχύος δύναται περιγενέσθαι τῆς μεθοδείας τοῦ ἐχθροῦ· ἀλλ' ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ Χριστοῦ· μάτην οὖν πεπλάνηνται οἱ φυσιολόγοι διὰ τῶν παρ' αὐτοῖς τελουμένων ἀσκήσεων, καὶ τοῦ αὐτεξουσίου καταργεῖν τὴν ἁμαρτίαν ἐπινοοῦντες, τὴν διὰ μόνης τῆς τοῦ Θεοῦ δυνάμεως καταργουμένην· ὡς ἄτε νεκρωθεῖσαν διὰ τοῦ ἐν τῷ σταυρῷ μυστηρίου· διὰ τοῦτο γὰρ ὁ τῆς ἐκκλησίας φωστὴρ Ἰωάννης ὁ Χρυσόστομος λέγει· οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ τῆς ἄνωθέν τις ἀπολάβοι ῥοπῆς· καὶ ὅτι πάλιν, οὐδὲν κερδαίνομεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης· διὸ παρακαλῶ φησὶ, μηδὲ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντας, καθεύδειν· μηδὲ σπουδάζοντας, νομίζειν οἰκείοις πόνοις τὸ πᾶν κατορθωκέναι· οὔτε γὰρ ὑπτίους ἡμᾶς εἶναι βούλεται Θεός· διὰ τοῦτο οὐ τὸ πᾶν αὐτὸς ἐργάζεται· οὔτε ἀλαζόνας βούλεται εἶναι· διὰ τοῦτο οὐ τὸ πᾶν ἡμῖν δέδωκεν· ἀλλ' ἑκάτερον τὸ βλαβερὸν ἀνελὼν, τὸ χρήσιμον ἡμῖν εἴασε· καλῶς δὲ καὶ ὁ ψαλμῳδὸς διδάσκει ἡμᾶς λέ-

LXIII.

Nemo nostrum ex suâ propriâ virtute potest superare tentationes Hostis: sed ex invictâ Christi potentiâ: vanè igitur errant tumidi jactatores, dum per laboriosas exercitationes quas obeunt, & vim Liberi ipsorum arbitrij, destructuros se peccatum autumant: quod solâ Dei potentiâ destruitur; jam mortificatum per mysterium Crucis. Propterea Ecclesiæ luminare Joannes Chrysostomus dicit: *Non sufficit promptitudo voluntatis humanæ, nisi supernè impulsum accipiat.* Iterùm ait idem: *Nihil proficiemus ex superno impulsu, si promptitudo voluntatis desit. Propterea,* addit: *hortor vos, ut neque totum in Deum projiciendo, dormiatis; neque cum promptam adhibueritis voluntatem, confidatis propriis vos conatibus salutis negotium perfecturos. Neque enim supinos & oscitantes vult esse nos Deus: ideóque non totum ipse operatur: nec rursùs arrogantes esse nos vult. ideóque non totum nobis dedit.*

Sed utrimque quod est noxium auferens, quod est nobis utile reliquit. Pulcrè autem & Psalmista docet nos, dicens: *Nisi Dominus ædificaverit Domum, in vanum laboraverunt qui ædificant eam.* Propterea jubemur in oratione petere à Deo: *Ne inducat nos in tentationem: sed liberet nos à malo.* Etenim nisi supernè habeamus auxilium, in vanum laboramus, ex propriâ virtute existimantes nos aliquid perfecturos. Qui ergo vult stare adversus tentationes diaboli, debet lacrymis, gemitibus, & insatiabili desiderio & ferventi animo diù noctuque Deum quærere, ejusque auxilium & protectionem. Hujus verò qui particeps esse vult, putam efficiat animam suam ab omni voluptate mundi de talibus enim Animabus ait Dominus; *Habitabo in ipsis & circum ipsas ambulabo.* Et rursus Apostolis ait: *qui diligit me mandata mea servabit: & Pater meus diliget eum, & ad eum veniemus, & mansionem apud eum facimus.*

Psal. cxxvj. 1.

Jer. vij. Ezech. xliij.

Joan. xiv. 23.

γων· ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· διὸ δὴ καὶ προσετάχθημεν ἐν τῇ προσευχῇ δέεσθαι τοῦ Θεοῦ. μὴ εἰσενεγκεῖν ἡμᾶς εἰς πειρασμόν· ἀλλὰ ῥύσασθαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· καὶ γὰρ εἰ μὴ ἄνωθεν σχῶμεν βοήθειαν, μάτην κοπιῶμεν, ἐξ οἰκείας δυνάμεως δοκοῦντες τι κατορθῶσαι ὁ τοίνυν βουλόμενος στῆναι πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου, ὀφείλει δακρύσι καὶ στεναγμοῖς, καὶ ἀκορέστῳ πόθῳ καὶ ζεούσῃ ψυχῇ ἐν νυκτὶ καὶ ἡμέρᾳ ζητεῖν τὸν Θεὸν, καὶ τὴν αὐτοῦ βοήθειαν καὶ ἀντίληψιν· ταύτης δὲ ὁ θέλων μετασχεῖν, καθαρὰν ἀπεργασάσθω τὴν ψυχὴν αὐτοῦ πάσης ἡδυπαθείας τοῦ κόσμου· περὶ γὰρ τῶν τοιούτων ψυχῶν φησιν ὁ Κύριος· ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ πάλιν τοῖς ἀποστόλοις φησίν· ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν·

LXIV.

ΞΔ.

Prudentem valde & dignam acceptione sententiâ circa cogitationes, protulit quidam San-

Συνετὴν ἄγαν καὶ εὐλήπτον λόγον πρὸς τοὺς λογισμοὺς εἴρηκέ τις τῶν ἁγίων πατέρων· δίκαζε, λέ-

γων, τοὺς λογισμοὺς ἐν τῷ βήματι τῆς καρδίας· εἴτε ἡμέτεροί εἰσιν, ἢ τῶν ὑπεναντίων· καὶ τοὺς μὲν οἰκείους καὶ ἀγαθοὺς, ἐντὸς ἐνδοτέρῳ τῆς ψυχῆς ταμείῳ ἐναποτίθεσο, ἐν ἀσύλῳ θησαυρῷ τούτους φυλάττων· τοὺς δὲ ἐναντίους μάστιξι λογικαῖς καὶ τιμωρίαις ἐξόριζε· μὴ τόπον, μὴ χώραν, μὴ κατοίκησιν ἐν τῇ ψυχῇ σου τούτοις διδούς· ἢ μᾶλλον οἰκειότερον εἰπεῖν, τῇ μαχαίρᾳ τῆς προσευχῆς τελείως ἀπόσφαττε· ἵνα τῶν λῃστῶν ἀναιρουμένων, ὁ ἀρχιλῃστὴς φοβηθῇ· καὶ γὰρ ὁ ἀνὴρ φησιν ἀκριβὴς τῶν λογισμῶν ἐξεταστὴς, ἐστὶ καὶ ἀληθὴς τῶν ἐντολῶν ἐραστής

ctotum Patrum. *Sisse ad judicium* (inquiens) *cogitationes coràm Tribunali cordis. inquirens, utrum nostrarum sint Partium, an Adversariarum. Et eas quidem quæ nostræ ac bonæ sunt,* intrà intimum cordis ærarium reconde, in Thesauro ab omni furum periculo securo custodiens. Adversarias vero flagellis spiritualibus & suppliciis extermina: nec locum, nec spatium, nec habitationem in tuâ illis Animâ concedens. aut, ut magis propriè dicam: gladio eas orationis planè occide. ut furunculis sublatis, furum dux ac Princeps timeat. *Etenim*, ajebat ille Pater, *diligens examinator cogitationum, Amator verus mandatorum est.*

ΞΕ.

LXV.

Ὁ γὰρ πολεμοῦντα καὶ παρενοχλοῦντα αὐτῷ πάθη πυκτεύων ἐκκόψαι, πλέονας ὁπλίτας καὶ συμμάχους ἐπιστρατηγείτω τῇ μάχῃ· φημὶ δὴ, ταπείνωσιν ψυχῆς, καὶ κόπον τοῦ σώματος, καὶ πᾶσαν ἄλλην τῆς ἀσκήσεως ταλαιπωρίαν, καὶ τὴν ἐκτεθλιμμένης καρδίας, μετὰ πλήθους δακρύων, προσευχήν· καθὼς ψάλλει Δαβίδ· ἴδε, λέγων, ταπείνωσίν μου, καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου, καὶ τῶν δακρύων μου παρασιωπήσῃς καὶ

Qui oppugnantes, ac sibi obturbantes Passiones, contrà luctans conatur exscindere, plures sibi benè armatos ad eam pugnam adjungat: puta, Humilitatem Animæ, fatigationem corporis, & cunctam aliam Exercitationis religiosæ duritiem, prætereaque contriti cordis, cum copiâ lacrymarum, Orationem. sicut Psallit David: *vide* (dicens), *humilitatem meam, & laborem meum, &* Psal. ix. 14.

dimitte omnes iniquitates meas, & ne sileas lacrymas meas. Et rursus: *fuerunt mihi lacrymæ meæ panis die ac nocte. potum meum cum fletu miscebam.* Psal. xlj. 4.

πάλιν· ἐγενήθη μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός· καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

LXVI. — ΞϚ.

Adversarius quidem vitæ nostræ Diabolus, extenuat & sæpe oblivione occulit peccata nostra: ut remissis laboribus, non reputemus, quantum luctuum & pœnarum debeamus pro Delictorum impetrandâ veniâ. Nos autem, Fratres mei, non obliviscamur culparum nostrarum. etsi confidamus eas fuisse pœnitentiâ remissas. Tamen nihilominus memores semper eorum quæ perperam egimus, pro iis lugendi nullum finem faciamus. ut humilitate bonam prudentiam consecuti, vanæ gloriæ ac superbiæ laqueos effugiamus.

Ὁ μὲν ἀντίδικος τῆς ζωῆς ἡμῶν Διάβολος κατασμικρύνει καὶ πολλάκις λήθῃ τὰς ἁμαρτίας ἡμῶν καλύπτει· ἵνα ὑπενδόντες τοῖς πόνοις, μὴ λογιζώμεθα τῶν πταισμάτων τοὺς θρήνους· ἡμεῖς δὲ ἀδελφοί μου μὴ ἀμνημονῶμεν τῶν πταισμάτων· κἂν δῶμεν τῇ μετανοίᾳ ταῦτα συγκεχωρῆσθαι· ἀλλὰ μνημονεύοντες ἀεὶ τῶν ἡμαρτημένων, ὑπὲρ αὐτῶν πενθεῖν μὴ παυσώμεθα· ἵνα τῇ ταπεινώσει σύνεσιν ἀγαθὴν κτησάμενοι, τοὺς τῆς κενοδοξίας καὶ ὑπερηφανίας βρόχους ἐκφύγωμεν.

LXVII. — ΞΖ.

Nemo ex propriâ virtute labores tolerare, virtutis officia explere se reputet posse. Causa enim bonorum omnium Deus est: & malorum Diabolus. Eorum igitur quæ facis bonorum, gratias Autori Deo refer: quæ vero Diabolus suggerit mala, in ipsum respuens projice.

Μηδεὶς ἐξ οἰκείας ἰσχύος τοὺς πόνους ὑποφέρειν καὶ τὰς ἀρετὰς κατορθοῦν νομιζέτω· αἴτιος γὰρ ἁπάντων τῶν καλῶν ὁ Θεός· καὶ τῶν κακῶν ὁ διάβολος. ἅπερ οὖν διαπράττεις καλὰ τῷ αἰτίῳ τὴν εὐχαριστίαν πρόσφερε· καὶ ἃ διοχλεῖ κακὰ τῷ ἀρχηγέτῃ τούτων πρόσριπτε.

ΞΗ.

ΞΗ.

Ὁ τὴν πρακτικὴν τῇ γνωστικῇ συζεύξας, γεωργός ἐστιν ἐπαινετὸς, ἐκ δύο διειδεστάτων πηγῶν τὸ τῆς ψυχῆς χωρίον ἀρδεύων· ἡ μὲν γὰρ γνωστικὴ πτεροῖ τὴν ἱερὰν οὐσίαν τῇ τῶν κρειττόνων θεωρίᾳ· ἡ δὲ πρακτικὴ νεκροῖ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν. τούτων γε νεκρωθέντων τὰ τῶν ἀρετῶν ἄνθη ὡραίως ἐκβλαστάνει καρποφοροῦντα τὸν τοῦ πνεύματος καρπὸν, ἀγάπην, χαρὰν, εἰρήνην, μακροθυμίαν, χρηστότητα, ἐγκράτειαν· καὶ τὸ λοιπὸν ὁ σώφρων οὗτος γεωργὸς σταυρώσας τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, ἐρεῖ μετὰ τοῦ Θεοφόρου κήρυκος· ζῶ, οὐκ ἔτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς ὃ δὲ νῦν ζῶ τῇ πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

LXVIII.

Qui vitam practicam Contemplativæ sub unum colligat jugum, laudabilis Agricola est, è duobus simul illimissimis fontibus Agrum Animæ rigans. contemplativa siquidem alas dat sacræ ac meliori nostri substantiæ, quibus ad intuitionem meliorum se attollat: Practica vero *mortificat membra nostra* Col. iij. 5. *quæ sunt super terram, fornicationem, immunditiam, passionem, concupiscentiam malam.* His porrò mortificatis, virtutum flores speciosè progerminant, ferentes *Spiritûs fructum* Gal. v. 22. *caritatem, gaudium, pacem, longanimitatem, bonitatem, continentiam.* De cætero sapiens idem Agricola, crucifixâ carne cum vitiis & concupiscentiis dicet cum Apostolo: *Vivo ego, non jam ego: vivit verò in me Christus. Quod verò nunc vivo, in fide vivo filij Dei, dilexit me, & tradidit semetipsum pro me.* Gal. ij. 20.

ΞΘ.

Καὶ τοῦτο δέ σε, φιλόχριστε, μὴ λανθανέτω· ὅτι πάθος ἓν τόπον ἔν σοι εὑρὸν, καὶ ἐν ἕξει ῥιζωθὲν εἰς τὸν ἑαυτοῦ σηκὸν, καὶ ἄλλα συνεισ-

LXIX.

Et hoc ne Te, Christi amator, lateat. Vitium unum quando locum in te invenerit, & habitu atque assuetudine radi-

ces in tuum ipsius solum altè demiserit, alia quoque simul secum vitia inferre. Etsi enim sibi plerumque invicem adversentur vitia, & horum autores Dæmones, in uno tamen conspirant; ut nostrum cuncta exitium unanimi consensu ac conatu procurent.

φέρει· κἂν γὰρ ἀλλήλοις πολλάκις ἀντικεῖνται τὰ πάθη, καὶ οἱ τούτων δημιουργοὶ δαίμονες· ἀλλὰ τὴν ἡμετέραν ἀπώλειαν πάντα συμφώνως ζητοῦσι.

LXX.

O.

Disciplinæ religiosæ labores, in tranquillæ impassibitatis requiem desinunt: Voluntatis verò ac deliciarum fruendarum modi varij, sensim perveniunt perducuntque ad passiones ignominiæ.

Οἱ τῆς ἀσκήσεως πόνοι τελευτῶσιν εἰς τὴν τῆς ἀπαθείας ἀνάπαυσιν· οἱ δὲ τῆς τρύφης τρόποι, καταντῶσιν εἰς τὰ τῆς ἀτιμίας πάθη.

LXXI.

OA.

Qui carnis florem sacrâ exercitatione arefaciens marcidum reddit & omnem ejus voluptatem exscindit. hic portat stigmata Christi in suâ mortali carne.

Ὁ τῆς σαρκὸς τὸ ἄνθος τῇ ἀσκήσει μαραίνων, καὶ πᾶν θέλημα αὐτῆς ἐκκόπτων, οὗτος βαστάζει τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ θνητῇ αὐτοῦ σαρκί.

LXXII.

OB.

Ne multas annorum periodos, quas in Monasticâ perdurans vitâ emensus es, induci te sinas, ut computans numeres: neque ob duritiem victûs cultusque toleratam, certaminumque ærumnas, conceptâ

Μὴ πολυετεῖς κύκλους τοῦ μονήρους βίου ἀνάγκη ψηφίζειν· μηδὲ ἐν τῇ ὑπομονῇ τῆς ἐρήμου, καὶ τῇ σκληρότητι τῶν ἀγώνων καυχήσει ζωγρηθῇς· ἀλλὰ τὸ δεσποτικὸν λόγιον ἐπὶ νοῦν ἔχε· τὸ δοῦλος ἀχρεῖος εἰμί· καὶ μήπω τὴν ὀφειλὴν

πεπληρωκέναι· τῷ ὄντι γὰρ ἐφ' ὅσον ἐν τῷ παρόντι βίῳ ἐσμὲν, οὔπω τῆς ἐξορίας ἀνεκλήθημεν· ἀλλ' ἀκμὴν ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος καθεζόμεθα· ἀκμὴν ἐπὶ τὴν αἰγύπτιον πλινθουργίαν ταλαιπωροῦμεν, μήπω τὴν γῆν τῆς ἐπαγγελίας θεασάμενοι· ἐπειδὴ οὔπω ἐξεδυσάμεθα τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· οὔπω γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἔτι γὰρ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦμεν· οὐκ ἔχομεν τοίνυν ὁδὸν καυχήσεως· ἀλλὰ δακρύειν ὀφείλομεν· δεόμενοι τοῦ δυναμένου σώζειν ἡμᾶς, τῆς μοχθηρᾶς δουλείας τοῦ πικροῦ Φαραὼ, καὶ ἐξελέσθαι τῆς δεινῆς τυραννίδος, καὶ εἶτα γαγεῖν εἰς τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας, τοῦ καταπαῦσαι ἡμᾶς εἰς ἁγιαστήριον τοῦ Θεοῦ, καὶ εὑρεθῆναι ἐν τῇ δεξιᾷ τῆς μεγαλοσύνης τοῦ ὑψίστου· τούτων δὲ τῶν ὑπὲρ ἔννοιαν ἐπιτυχεῖν ἡμᾶς οὐκ ἐξ ἔργων ἐστὶν ἡμετέρων ὧν δοκοῦμεν ἐν δικαιοσύνῃ ποιεῖν· ἀλλὰ τῷ ἀμετρήτῳ ἐλέει τοῦ Θεοῦ· διὸ γὰρ οὖν μὴ παυσώμεθα προσφέροντες δάκρυα ἡμέρας καὶ νυκτὸς κατὰ τὸν λέγοντα· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου ἐν δάκρυσί μου, τὴν στρωμνήν μου βρέξω· οἱ γὰρ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσιν.

inde gloriatione tibi applaudens consolatiunculam captes: sed illud habe præsens menti Dominicum Oraculum: quo jubemur dicere: *Servus inutilis sum:* & nondum totum debitum exolvi. Luc. xvij. 10. Verè siquidem quamdiù in præsenti vitâ sumus, nondum revocati sumus ab exilio; sed adhuc super flumina Babylonis sedemus: adhuc in Ægyptiâ fingendorum coquendorumque laterum injunctâ tyrannicè miseriâ degimus: nondum vel procul visâ Terrâ Promissionis. Quandoquidem nondum exuimus veterem hominem, qui corrumpitur secundùm desideria erroris. nondum portamus imaginem cœlestis; adhuc enim gerimus imaginem terreni. non habemus ergo cur gloriemur. Sed flere debemus desiderio inveniendi qui possit nos liberare ab ærumnosâ servitute acerbi Pharaonis, & eximere à dirâ tyrannide; atque introducere in bonam promissionis terram, ut ibi quiescamus in Sanctuario Dei, & inveniamur in dexterâ magnitudinis Altissimi. Talium autem nostras intelligentias excedentium votorum fieri nos compotes, non ex nostris nobis continget operibus, quæ nobis videmur in justitiâ fecisse; sed ex im-

mensa misericordiâ Dei. Ne igitur cessemus à profundendis lacrymis die ac nocte, imitati dicentem: *Laboravi in gemitu meo, lavabo per singulas noctes lectum meum; & lacrymis meis stratum meum rigabo. Qui* enim *seminant in lacrymis, in exultatione metent.*

Psal. vj. 7. Psal. cxxv. 5.

LXXIII.

Procul à te loquacitatis abige spiritum. in eo enim generantur vitia omnia. Inde mendacium, inde impudens libertas quidvis effutiendi, indidem garrulitas; non aliunde risus dissolutus, murmuratio, convitium, turpiloquium, stulta dicacitas. & ut brevi colligam cuncta sententiâ: Multiloquus non effugiet peccatum. Vir autem silentio deditus, thronus est intelligentiæ. Præterea verò reddituros nos rationem de verbo otioso, Dominus dixit. quare valde necessarium, & utile silentium est.

Pro. x. 19.

ΟΓ.

Μάκραν ἀπό σου τὸ πολύλαλον δίωκε πνεῦμα· ἐν αὐτῷ γὰρ τίκτονται τὰ πάθη πάντα· ἔνθεν ψεῦδος· ἐκεῖθεν ἡ παῤῥησία· ἄλλοθεν ἡ εὐτραπελία· ἑτέρωθεν ὁ γέλως, καταλαλιὰ, λοιδορεία, αἰσχρότης, μωρολογία· καὶ, συνελόντα φάναι, τὸ εἰρημένον· ἐκ πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία· ἀνὴρ δὲ σιωπηλὸς θρόνος αἰσθήσεως· ἀλλὰ καὶ λόγον ἡμᾶς δοῦναι περὶ ἀργοῦ ῥήματος ὁ Κύριος ἔφησεν· ὥστε πάνυ ἀναγκαία καὶ ὠφέλιμος ἡ σιωπή.

LXXIV.

Eos qui nobis convicia & contumelias inferunt, aut alio quovis modo nos infestant, ne ulciscamur paria ipsis regerendo. Præceptum quippe nobis est, ut eis è contrario bene precemur, & benedicamus. In quantum enim cum ejusmodi

ΟΔ.

Τοὺς λοιδοροῦντας καὶ ὑβρίζοντας ἡμᾶς, ἢ ἄλλως πως ἐπηρεάζοντας, μὴ ἀντιλοιδορεῖν ἢ ἀντεπηρεάζειν· εὐφημεῖν δὲ μᾶλλον καὶ εὐλογεῖν προστετάγμεθα· καθόσον γὰρ τοῖς ἀνθρώποις εἰρηνεύομεν, μαχόμεθα τοῖς δαίμοσι· μνησικακοῦντες δὲ τοῖς ἀδελφοῖς καὶ μαχόμενοι,

εἰρηνεύομεν μετὰ τῶν δαιμόνων· οὓς τέλειον μῖσος μισεῖν, καὶ ἀδιάλλακτον ἔχειν τὸν πρὸς αὐτοὺς πόλεμον, ἐδιδάχθημεν.

hominibus pacem colimus, & Dæmonibus bellum inferimus. recordando verò injuriarum acceptarum à fratribus, inducias fœdusque impium cum Dæmonibus paciscimur: quos perfecto odio odisse, & irreconciliabili bello persequi, docemur.

ΟΕ.

Φεῦγε πτερνίσαι τὸν πλησίον γλώσσῃ δολίᾳ· ἵνα μὴ πτερνισθῇς ὑπὸ τοῦ ὀλετῆρος· ἤκουσας γὰρ τοῦ προφήτου βοῶντος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος, καὶ ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα· ὡσαύτως δὲ φεῦγε ὀνειδίσαι πταῖσμα τοῦ ἀδελφοῦ σου· ἵνα μὴ τῆς χρηστότητος καὶ ἀγάπης ἐκπέσῃς· ὁ γὰρ τὴν χρηστότητα καὶ ἀγάπην εἰς τὸν ἀδελφὸν μὴ ἔχων, οὐκ ἔγνω τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη ἐστί· καθὼς καὶ ὁ ἠγαπημένος Ἰωάννης βοᾷ· εἰ γὰρ ὁ Χριστός φησιν ὁ Σωτὴρ τῶν ἁπάντων ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ τέθεικε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τὰς ψυχὰς ἡμῶν τιθέναι.

LXXV.

Fuge supplantare proximum linguâ dolosâ, ne ipse supplanteris à destructore. Audisti enim *Psal. v. 7.*
Prophetam clamantem: *Virum sanguinum & dolosum abominatur Dominus*, & *disperdet Dominus universa labia dolosa, & linguam magniloquam.* *Psal. xj. 4.* Cave similiter ne fratri exprobres suum lapsum, ne à bonitate & caritate excidas. qui enim benignitatem & caritatem in fratrem *1. Ioan. iv. 8.* non habet, non novit Deum; quoniam Deus caritas est, prout dilectus Joannes clamat. *Si enim*, ait, *Christus*, Salvator omnium, *pro nobis animam suam posuit, & nos debemus pro fratribus animas ponere.* *1. Ioan. iij. 16.*

Ος.

Εἰκότως κέκληται ἡ ἀγάπη τῶν ἀρετῶν μητρόπολις, κεφάλαιόν τε νόμου καὶ Προφητῶν· πάντα τοίνυν πόνον ἐπιδειξώμεθα ἕως οὗ τῆς ὁσίας

LXXVI.

Jure vocata est caritas Metropolis virtutum & summa legis ac Prophetarum. Omnem igitur in eo contentionem ex-

promamus, numquam defituri quoad labore quantovis fanctam fuerimus adepti caritatem, & per eam fublati fuerimus in cœlos, alis virtutum levati, & Deum videamus quantum poffibile eft humanæ naturæ. Si enim Deus caritas eft qui habet caritatem Deum habet præ oculis. hac verò abfente, nihil omninò quod verè profit nobis adeft. 1. Ioan. iv. 20. *Qui autem dicit fe amare Deum & fratrem fuum odit, mendax eft. Si autem diligimus invicem Deus in nobis manet, & caritas ejus perfecta eft in nobis.* Inde colligitur: caritatem rem effe, omnium bonorum pleniffimâ complexione pretiofam: nec effe virtutis genus ullum quo Deo conciliari conjungique homo queat, quod è caritate non pendeat, & ab eâ comprehendatur, arcano & ineffabili quodam modo in ipsâ inclufum.

ἀγάπης ἐπιτυξώμεθα, καὶ δι᾽ αὐτῆς ἀναπτωθῶμεν εἰς οὐρανοὺς πτεροῖς ἀρετῆς κουφιζόμενοι· καὶ Θεὸν ὀψόμεθα ὡς δυνατὸν ἀνθρωπίνῃ φύσει· εἰ γὰρ ὁ Θεὸς ἀγάπη ἐστὶν, ὁ τὴν ἀγάπην ἔχων τὸν Θεὸν ἔχει παρ᾽ ὀφθαλμῶν· ταύτης δὲ ἀπούσης, ὄφελος ἡμῖν τὸ παράπαν οὐδέν. ὁ δὲ λέγων ἀγαπᾷν τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ψεύστης ἐστίν· ἐὰν γὰρ ἀγαπῶμεν ἀλλήλους ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν· ἐντεῦθεν λοιπὸν ἡ ἀγάπη πρᾶγμά ἐστι πάντων τῶν ἀγαθῶν περιεκτικώτατον· καὶ οὐκ ἔστιν ἀρετῆς εἶδος, δι᾽ οὗ ἄνθρωπος οἰκειοῦται τῷ Θεῷ καὶ συνάπτεται, ὃ μὴ τῆς ἀγάπης ἐξήρτηται, καὶ ὑπ᾽ αὐτῆς περιείληπται ἀῤῥήτῳ λόγῳ τινι συνεχόμενον.

LXXVII.

Advenientes ad nos Dum excipimùs Fratres, ne iftam Hofpitalitatis folicitudinem, ut turbationem averfemur, aut facræ quietis abruptionem reputemus: ne à lege caritatis excidamus: neque ut gratiam ipfis præbentes eos benevolè tractemus: fed ut potiùs ab illis

ΟΖ.

Τοὺς παραβάλλοντας ἡμῖν ἀδελφοὺς ὑποδεχόμενοι, μὴ ὄχλον τοῦτο καὶ ἐκκοπὴν τῆς ἡσυχίας λογιζώμεθα· ἵνα μὴ τοῦ θεσμοῦ τῆς ἀγάπης ἔξω πέσωμεν· μήτε δὲ ὡς χάριν αὐτοῖς παρέχοντες δεξιωσώμεθα· ἀλλ᾽ ὡς ἡμεῖς μᾶλλον δεχόμενοι χάριν, καὶ ὑπόχρεοι ὄντες τοῦ πράγματος, μετ᾽ ἱκεσίας αὐτοὺς δεχόμενοι·

ξενίσωμεν, καθὼς ὑπέδειξεν Ἀβραὰμ ὁ Πατριάρχης· διὰ γὰρ τοῦτο καὶ ὁ θεολόγος Ἰωάννης οὕτως διδάσκει· μὴ ἀγαπᾶτε, λέγων, τεκνία λόγῳ ἢ γλώσσῃ· ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν.

beneficium accipientes, & obstricti eo nomine ad reddendas ipsis gratias. Ego quasi exoratos à nobis, & pro ipsorum benignitate ultrò inclinatos ad indulgendum nobis, eos omni hospitalitatis officio curemus imitantes exemplum Abraami Patriarchæ. Propterea enim Joannes Theologus sic docet: *Filioli, ne diligatis verbo aut linguâ, sed opere ac veritate. in hoc cognoscimus quod ex veritate sumus.*

Gen. xviij. 1. Ioan. iij. 18.

ΟΗ.

Ὁ Πατριάρχης Ἀβραὰμ τὴν φιλοξενίαν ὡς ἐργασίαν κεκτημένος, πρὸ τῆς σκηνῆς ἐκαθέζετο τοὺς παριόντας προσκαλούμενος. καὶ πᾶσιν ἐξαπλῶν τὴν τράπεζαν ἀσεβέσι τε καὶ βαρβάροις μὴ διακρινόμενος· διὸ δὴ θαυμαστῆς ἑστιατορίας ἠξιώθη, ξενίσας Ἀγγέλους· καὶ ἡμεῖς τοίνυν τὴν φιλοξενίαν μετὰ πολλῆς τῆς σπουδῆς καὶ προθυμίας κτησώμεθα· ἵνα μὴ μόνον Ἀγγέλους· ἀλλὰ καὶ Θεὸν ὑποδεξώμεθα· ἐφ' ὅσον γάρ φησιν ὁ Κύριος, ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· πάντας μὲν οὖν εὐεργετεῖν· καλόν· μάλιστα δὲ τοὺς μὴ δυναμένους ἀμοίβεσθαι.

LXXVIII.

Patriarcha Abraam Hospitalitatem, loco quæstusæ negotiationis habens, ante suum Tabernaculum sedebat, prætereuntes invitans, & cunctis mensam apponens, sine discrimine impiorum etiam & Barbarorum. Propterea mirabili dignatus convictu, exceptorum in viatorum formâ hospitaliter Angelorum. Et nos igitur Hospitalitatem cum multo studio & alacritate exerceamus. ut non solum Angelos sed & Deum in Personis Hospitum contingat nobis excipere. *In quantum* enim, ait Dominus, *uni fratrum meorum minimorum fecistis, mihi fecistis.* Cunctis igitur benefacere pulcrum honestumque est: maximè autem iis qui vicem rependere nequeunt.

Gen. xviij. Mat. xxv.

LXXIX.

Quemcumque cor non reprehenderit, aut trangressionis mandati Dei, aut negligentiæ, aut admissæ pravæ cogitationis; hic utique ille est *Mundus corde*, ideò beatus, *quia Deum videbit*.

Mat. x. 6.

Ο Θ.

Οὗτινος ἡ καρδία μὴ καταγινώσκει ἑαυτοῦ ἐπὶ ἐντολῆς Θεοῦ ἀθετήσεως, ἢ ἀμελείας, ἢ ἐννοίας ἐναντίας ἀποδοχῇ· οὗτος ἂν εἴη ὁ καθαρὸς τῇ καρδίᾳ· ὅτι αὐτὸς τὸν Θεὸν ὄψεται.

LXXX.

Studeamus sub disciplinâ sensus nostros habere: maximè verò oculos, & aures, & linguam: & non moveri obsequendo Passionibus. Sed non nisi ad nostrum spirituale lucrum videre, audire, ac loqui nobis permittentes. nihil enim est tribus hisce facultatibus proclivius ad lapsum in nequitiam, nisi severo mentis in bonum attentæ judicio frænentur. nihil rursùs ad salutem utilius iisdem accuratâ ratione gubernatis, & directis ad ea quæ mens Deo instincta conducere judicat ad finem ipsi propositum.

Π.

Τὸ παιδαγωγεῖν τὰς αἰσθήσεις κατορθῶσαι σπουδάσωμεν· καὶ μάλιστά γε ὀφθαλμοὺς καὶ ὦτα καὶ γλῶσσαν, μὴ ἐμπαθῶς κινεῖσθαι· ἀλλὰ εἰς κέρδος ἡμέτερον ὁρᾶν τι καὶ ἀκούειν καὶ λαλεῖν ἐπιτρέποντες· οὐδὲν γὰρ τούτων ὀργάνων πρὸς ἁμαρτίαν εὐολισθότερον μὴ τῷ λόγῳ παιδαγωγουμένων· καὶ οὐδὲν πάλιν πρὸς σωτηρίαν αὐτῶν ἑτοιμότερον ἡνιοχοῦντος αὐτὰ τοῦ λόγου καὶ ῥυθμίζοντος, καὶ ἐφ' ἃ δὴ βούλεται ἄγοντος.

LXXXI.

Etiam olfactus effeminatur, si agere sinatur inordinatè. & tactus facilè in illicitum excedit ac per hos non rectè cu-

ΠΑ.

Καὶ ὄσφρησις ἐκθηλύνεται ἀταξίας οὔσης· καὶ ἁφὴ περιττῶς ἐκπίπτει· καὶ ἀναρίθμητος τῶν παθῶν ἑσμὸς ἐπεισέρχεται· εὐτάκτως δὲ τῷ λόγῳ

λόγῳ ἐπιτασσομένων αὐτῶν, πολλή τις γαλήνη καὶ εἰρήνη σταθηρὰ πανταχόθεν διαδείκνυται.

ſtoditos aditus innumerabilium examen Paſſionum in Animam irrumpit. Si autem eâ quâ decet cenſurâ in officio teneantur: in abundanti quadam pace ſerenæ ac ſtabilis tranquillitatis cor undecumque munitum beatâ ſe conſtitutum experientiâ gratulans ſentit.

ΠΒ.

Καλῶς εἶπον οἱ πατέρες καὶ ἀναντιῤῥήτως· ὅτι οὐχ εὑρίσκει τις ἄλλως ἀνάπαυσιν εἰ μὴ τοιαύτην ἐνδιατέθως κτήσεται ἔννοιαν· αὐτὸν μόνον καὶ τὸν Θεὸν εἶναι ἐν τῷ κόσμῳ· μὴ πρός τι τῶν ἄλλων ὅλως ἐᾶν τὸν νοῦν ῥέμβεσθαι· ἀλλ' ἐκεῖνον μόνον ποθεῖν, ἐκείνῳ καὶ μόνον κεκολλημένον· ὁ τοιοῦτος εὑρήσει τὴν ὄντως ἀνάπαυσιν, καὶ ἐλευθερίαν τῆς τῶν παθῶν τυραννίδος· ἐκολλήθη γάρ, φησιν, ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

LXXXII.

Benè dixerunt, & citrà periculum juſtæ in contrarium exceptionis, Patres; Neminem aliter quietem inventurum, niſi hanc altè penitùs in animo cogitationem figat: Solum ſe, & cum ipſo unum Deum in Mundo eſſe. nec averti ſe ad quidquam omninò aliorum oportere. illum unum deſiderare, illi ſoli agglutinari, debere. qui hoc cogitat, & ex eo ſenſu operatur, veram inveniet requiem, & libertatem à tyrannide Paſſionum. Ait enim Pſalmiſta, *Adhæſit Anima mea poſt te: me ſuſcepit daxtera tua.* *Pſal. lxij. 9.*

ΠΓ.

Η φιλαυτία καὶ φιλοδοξία, καὶ φιληδονία ἐκδιώκουσιν ἐκ τῆς ψυχῆς τὴν τοῦ Θεοῦ μνήμην· ἡ γὰρ φιλαυτία ἀνεικάστων παθῶν γεννήτειρα ὑπάρχει· τῆς δὲ μνήμης τοῦ Θεοῦ ἐκλιπούσης, ὁ πολὺς τῶν παθῶν τάραχος ἐν ἡμῖν χώραν λαμβάνει.

LXXXIII.

Amor ſui, Amor gloriæ, & Amor voluptatis, expellunt ex animâ Dei memoriam. Nam Amor proprius, incredibilium genitor malorum eſt. Deficiente porrò Dei memoriâ, numeroſa & tumultuoſa turba Paſſionum in nobis ſedem capit.

L XXXIV.

Qui amorem proprium ex suo corde radicitùs extirpaverit, facilè cætera vitia subjugabit, Domino cooperante. Nam ex hoc, ita, voluptatis amor & gloriæ, agendi quoque ac loquendi immoderata licentia nasci consuevit. Qui autem huic succubuerit, tributarius reliquorum est. Amorem autem proprium vocamus, inclinationem & affectum vehementem in corpus ad carnales ejus voluntates explendas.

ΠΔ.

Ο τὴν φιλαυτίαν τῆς ἑαυτοῦ καρδίας προθέλυμνον ἀνασπάσας, εὐχερῶς καὶ τῶν λοιπῶν κυριεύσει παθῶν· τοῦ Κυρίου συνεργοῦντος· ἐξ αὐτῆς γὰρ ἥτε ὀργὴ καὶ φιληδονία, καὶ φιλοδοξία, καὶ παῤῥησία γίνεσθαι πέφυκεν· ὁ γὰρ ταύτης ἡττημένος, ὑπόσπονδος καὶ τῶν λοιπῶν ὑπάρχει· φιλαυτίαν δὲ λέγομεν τὴν πρὸς τὸ σῶμα ἐμπαθῆ διάθεσιν καὶ φιλίαν, καὶ τὴν τῶν σαρκικῶν θελημάτων ἐκπλήρωσιν.

L X XX V.

Ex Continentiâ & Humilitate impassibilitatem: ex fide autem intelligentiam nasci didicimus. Ex his verò in discretionem & caritatem anima procedens proficit. Veritatem vero sinu amplexa & caritatem, alis puræ orationis, ad hujus apicem sine ullâ morâ pervolat: *Donec occurrat in cognitionem filij Dei, in virum perfectum, in mensuram ætatis plenitudinis Christi*: ut ait Apostolus.

Ephes. iv. 13.

ΠΕ.

Εξ ἐγκρατείας καὶ ταπεινώσεως τὴν ἀπάθειαν· ἐκ δὲ πίστεως, τὴν γνῶσιν γίνεσθαι μεμαθήκαμεν· ἐκ τούτων δὲ εἰς διάκρισιν καὶ ἀγάπην ἡ ψυχὴ ἐλθοῦσα προκόπτει· τὴν δὲ ἀλήθειαν ἐγκολπωσαμένη καὶ ἀγάπην, πτέρυξι καθαρᾶς προσευχῆς πρὸς τὸ ταύτης ὕψος ἀλήκτως ἄνεισιν· ἕως καταντήσει εἰς τὴν ἐπίγνωσιν τοῦ υἱοῦ τοῦ Θεοῦ· ὥς φησιν ὁ Απόστολος, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Π ς.

Διὰ μὲν τῆς πρακτικῆς ἀρετῆς δουλοῦται ἡ ἐπιθυμία καὶ ὁ θυμὸς χαλινοῦται· διὰ δὲ τῆς γνώσεως καὶ θεωρίας ὁ νοῦς πτεροῦται, καὶ ἀνυψωθεὶς τῶν ἐνύλων, πρὸς τὸν Θεὸν ἐκδημεῖ, τῆς ἀληθοῦς ἐπιτυχὼν μακαριότητος.

LXXXVI.

Per practicam quidem virtutem subjugatur cupiditas & ira frænatur. Per intelligentiam verò, etiam contemplationis alis instruitur mens, quibus elevata supra res materiales, ad Deum pervenit, veram in ipso inveniens felicitatem.

Π Ζ.

Οὗτος ἡμῖν ὁ πρῶτος ἀγὼν ὑπάρχει· μειῶσαι πάθη καὶ κατὰ κράτος νικῆσαι· δεύτερον δὲ ἆθλον, τὸ κτήσασθαι τὰς ἀρετὰς, καὶ μὴ κενὴν μηδὲ ἄπρακτον τὴν ψυχὴν ἐᾶσαι· τρίτος δίαυλος τῆς πνευματικῆς πορείας· τὸ νηφαλαίως τοὺς καρποὺς τῶν ἀρετῶν ἡμῶν καὶ πόνων οὐκ ἐργάζεσθαι μόνον ἐμπόνως· ἀλλὰ καὶ φυλάττειν ἀγρύπνως.

LXXXVII.

Primum hoc nobis certamen proponitur debilitare cupiditates, & plenâ tandem post acerrimum prælium subjugare victoriâ. Secundum ab hoc certamen in adipiscendis desudat virtutibus: non permittendo vacuam & otiosam desidêre animam. Tertium Spiritualis viæ stadium est: in id vigilanter incumbere, ut non contenti laboriosè producere fructus virtutum laborumque nostrorum; etiam eosdem custodiamus vigilanter.

Π Η.

Εστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, φησὶν ὁ Κύριος· ζωνὴ μέντοι ὀσφύος ἀγαθή, δι᾽ ἧς εὐσταλεῖς καὶ κοῦφοι δυνάμεθα γίνεσθαι, ἐγκρά-

LXXXVIII.

Sint lumbi vestri præcincti, & lucernæ ardentes, ait Dominus. Zona ergo lumborum ea bona est, per quam expediti & agiles possumus fieri. Conti- Luc. xij 35.

nentia hæc est cum humilitate cordis. Continentiam voco abstinentiam à malis omnibus. Spiritualem verò accendens lucernam & curans ut luceat, est pura Oratio & perfecta caritas. Qui ergo se ipsos in isto ponunt statu, *Similes sunt Hominibus expectantibus Dominum suum, ut cum venerit & pulsaverit confestim aperiant ei.* Et ipse ingressus cum Patre & Sancto Spiritu, mansionem apud eos faciet. Et beati servi illi quos inveniet Dominus adveniens sic facientes.

Luc. xij. 36.

τεία ἐστι σὺν ταπεινώσει καρδίας· ἐγκράτειαν δὲ φημι τὴν ἀποχὴν πάντων τῶν κακῶν· τοῦ δὲ πνευματικοῦ λύχνου φωταγωγὸς ἡ καθαρὰ ἐστι προσευχὴ καὶ τελεία ἀγάπη· οἱ τοίνυν οὕτως αὐτοὺς καταστήσαντες ὅμοιοί εἰσιν ἀνθρώποις προσδεχομένοις τὸν Κύριον αὐτῶν. ἵνα ἐλθόντος καὶ κρούσαντος αὐτοῦ εὐθὺς ἀνοίξωσι· καὶ εἰσελθὼν σὺν τῷ Πατρὶ καὶ Ἁγίῳ πνεύματι μονὴν παρ' αὐτοῖς ποιήσει: καὶ μακάριοι οἱ δοῦλοι ἐκεῖνοι οὓς εὑρήσει ὁ Κύριος ἐλθὼν οὕτως ποιοῦντας.

LXXXIX.

Debet Monachus quatenus filius est, ex toto corde & ex toto corde & ex totâ mente amare Deum: quatenus vero servus est, vereri ac timere illum, obedireque ipsi: ac cum timore & tremore mandata ejus exequi. Fervere Spiritu, indutus armaturâ Sancti Spiritûs: & æternæ. victæ desiderare fruitionem. cunctaque ipsi præscripta sine morâ efficere. acri quoque ac sobriâ vigiliâ custodire cor à malis cogitationibus: bonis autem sensibus divinâ incessanter meditatione

ΠΘ.

Δεῖ τὸν μοναχὸν, ὡς μὲν υἱὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς διανοίας ἀγαπᾷν τὸν Θεόν· ὡς δὲ δοῦλον, εὐλαβεῖσθαι καὶ φοβεῖσθαι καὶ ὑπακούειν αὐτῷ, καὶ μετὰ φόβου καὶ τρόμου τὰς ἐντολὰς αὐτοῦ κατεργάζεσθαι· τῷ πνεύματι ζέειν ἐνδεδυμένον τὴν πανοπλίαν τοῦ ἁγίου πνεύματος· καὶ τῆς αἰωνίου ζωῆς ποθεῖν τὴν ἀπόλαυσιν· καὶ πάντα τὰ διατεταγμένα ἀνυστερήτως ποιεῖν· νήφειν τε καὶ τηρεῖν τὴν καρδίαν ἀπὸ λογισμῶν πονηρῶν· καὶ ἐννοίαις ἀγαθαῖς τὴν θείαν ἀπαύστως μελέτην ἐκτελεῖν· ἑαυτὸν δὲ ἀνακρίνειν καθεκάστην περὶ τῶν λογισμῶν καὶ ποιη-

ρῶν πράξεων· ϗ τὰ ἐλλείποντα αὐτῷ πρὸς ἀρετὴν ἀναπληρῶν· ἐπὶ δὲ τοῖς κατορθώμασι μὴ ἐπαίρεσθαι· ἀλλὰ δοῦλον ἑαυτὸν ἀχρεῖον λέγειν ϗ πάνυ ἐστερημένον πρὸς τὴν τῶν κατορθωμάτων ἐκπλήρωσιν· εὐχαριστεῖν δὲ ἀεὶ τῷ Θεῷ, ϗ αὐτῷ τὴν χάριν ἐπιγράφεσθαι· μηδὲν τὸ σύνολον κατὰ κενοδοξίαν ἢ ἀνθρωπαρέσκειαν ποιεῖν· ἀλλ' ἐν κρυπτῷ πάντα πράττειν, ϗ μόνον τὸν παρὰ Θεοῦ ἔπαινον ζητεῖν· πρὸ πάντων δὲ ϗ ἐπὶ πάντων ὀρθοδόξῳ πίστει περιφράχθαι τὴν ψυχὴν κατὰ τὰ θεῖα θεσπίσματα τῆς Καθολικῆς ἐκκλησίας· τοῖς γὰρ οὕτω πολιτευομένοις, ἀνταπόδοσις πολλὴ, ζωὴ ἀτελεύτητος, μονὴ ἀκατάλυτος, παρὰ τῇ ἁγίᾳ ϗ ζωαρχικῇ τριάδι, τῇ ὁμοουσίῳ θεότητι.

fungi. In sese præterea inquirere quotidie, severoque explorare examine, ecqua ipsi prava obrepserit vel cogitatio vel operatio. quæque sibi ad virtutem deesse deprehenderit incunctanter explere. Posteà ob rectè facta nequaquam elevari: sed servum se inutilem dicere: multisque carentem quæ ad perfectam Officiorum quibus adstringitur absolutionem requirerentur. Gratias verò Deo semper agere, beneficioque ipsius imputare quidquid agit boni, laudemque illi omnem adscribere. Nihil omninò umquam ob vanam gloriam, aut studio placendi Hominibus, facere. Sed in occulto quantum potest cuncta quæ laudem merentur operari: ab uno Deo approbationem & gloriam quærens. Ante omnia verò & super omnia, orthodoxâ fide circum undique obvallare animam, juxtà Divinas Sanctiones Catholicæ Ecclesiæ. Tali enim vitæ ratione utentibus, retributio multa, vita interminabilis, mansio numquam dissolvenda apud Sanctam & vitæ autorem Trinitatem, consubstantialem Deitatem certò speranda servatur.

ϛ.

Προσήκει οὖν τοὺς ἀσκεῖν ἐναρχομένους, τούς τε νέους ϗ Πρεσβυτέρους ἐρρωμένον ἔχοντας τὸ σῶμα, μήτε νάρκην μήτε κάματον φοβου-

XC.

Convenit ergo Sacram inchoantes Ascesin, sive illi juvenes seu seniores sint, sanum & validum habentes corpus,

ἠμφίασαι ἀφίληταί τις. litem movere etiamsi vestes ipsi quibus induitur quispiam auferat.

ϟΓ. XCIII.

Οταν λογισμὸς ἐπιςῇ σου τῇ καρδίᾳ πολέμιος μὴ ἄλλα ἀντὶ ἄλλων δι' εὐχῆς ἐπιζήτει· καὶ τὸ τῶν πολεμίων τὸ ξίφος τῶν δακρύων θῆγε· ὅπως τὸ μάχλω εὐτόνως προσάξας, θᾶττον αὐτοὺς ἀποςῆναί σου ποιήσῃς.

Quando cordi tuo cogitatio ab Hoste profecta & ad perniciem tuam pertinens supervenerit: ne in oratione aliud aliudve à te desideratorum quæras, hoc quod nunc urget omisso. Sed contrà tunc grassantes hostes gladium lacrymarum acue. ut prælio fortiter illato celeriter ipsos à te cogas abscedere.

ϟΔ. XCIV.

Φιλοκάλει σου τῷ ἐργοχείρῳ τῶν χειρῶν σου, καὶ τὸ τῆς εὐχῆς μνήμην.

Enitere ut cum opere manuum tuarum Orationis memoriam conjungas.

ϟΕ. XCV.

Ο' ἀκτήμων ἀμέριμνός ἐςιν ἐκ τῆς τοῦ βίου ἡδονῆς· ὁ δὲ φιλοκτήμων μέριμναι διὰ παντὸς ἔχει τὸ ὀδύνην τοῦ πλούτου.

Pauper liber à cura est earum rerum quæ sæculi voluptatem spectant. Divitiarum autem vel possessor propriarum, vel cupidus plurium, ob perpetuam quâ pungitur solicitudinem, perennem patitur aculeum è spinis ipsi appressis divitiarum.

ϟς. XCVI.

Τότε τὸ σαυρὸν ἀπερισπάςως βαςάσεις, ὅτε πᾶσαν ἐπιθυμίαν ἀρνήσῃς.

Tunc Crucem indilvulsè portabis, quando omnem cupiditatem abnegaveris.

XCVII.

Qui sub obedientiâ vitam religiosam profiteri elegit; fide se obvallet, & spe corroboret, & caritate firmet.

ϟΖ.

Ὁ τὴν ὑποταγὴν ἀσκεῖν προῃρημένος, πίστει τειχιζέσθω, καὶ ἐλπίδι κραταιούσθω, καὶ ἀγάπῃ βεβαιούσθω.

XCVIII.

O Monache, quando renunciaveris exterioribus rebus, & viam inieris eam quâ ad meliores proceditur: tunc malæ cogitationes, quasi captato momento ipsarum insidiis aptissimo, egestatem tibi tuam, & commodorum penuriam exprobrant, addentes; ad tui, ut vilis capitis, contemptum, atque adeò ad non dubiam ignominiam ista pertinere. Scopus in hoc ipsarum est, ut te ex isto splendido virtutis gradu, infami in voluptatem lapsu dejiciant. Dijudica ergo cogitationes, & convictas condemna in Tribunali cordis; ut Latrunculis malè mulctatis, Princeps Latronum semper timeat.

ϟΗ.

Ὅταν ἀποταξάμενος μοναχὸς ταῖς ἔξωθεν ὕλαις, καὶ ἐν ὁδῷ τῶν κρειττόνων βαδίσῃς· τότε οἱ λογισμοὶ καιρὸν κατασκοπήσαντες τὴν πενίαν σοι καὶ τὴν ἔνδειαν ἐπονειδίζουσιν, εὐτέλειαν καὶ ἀδοξίαν προσφέροντες· ἵνα τῆς τοιαύτης λαμπρᾶς ἀρετῆς μετάπτωσιν φιληδόνως ἐργάσωνται· δίκαζε οὖν τοὺς λογισμοὺς ἐν τῷ βήματι τῆς καρδίας σου· ἵνα τῶν λῃστῶν ἀναιρουμένων ὁ ἀρχιλῃστὴς ἀεὶ φοβῆται.

XCIX.

Quando cogitationes, in aurem insusurratâ, & persuasâ mutatione loci in quo priùs vixeramus, nos in alium transtulerint prætextu probandi, uter accomodatior ad Ascesin sit,

ϟΘ.

Ὅταν οἱ λογισμοὶ μεταστήσωσιν ἡμᾶς, εἰς οὓς ὑποβαλόντες ὁρᾶν τόπους· τότε μεταμελείας πάλιν ποιοῦσιν· ἵνα ἀστάτους ἡμᾶς πανταχόθεν καταστήσωσι καὶ ἀκάρπους· διὸ μετὰ τὸ ἑαυτοὺς ἐν τόπου εἰς

εἰς τόπον πελάζεσθαι, ὀφείλει ἡμῶν μᾶλλον εἰς ἡσυχίαν καὶ πόνους καὶ κόπους εἰσέρχεσθαι· ὅτι ἐκ τῆς ἡμετέρας ῥαθυμίας λαμβάνουσι καθ' ἡμῶν οἱ λογισμοὶ τὴν δύναμιν· ὁ δὲ εἰδὼς πολέμου πεῖραν, ἐν ᾧ τόπῳ ἐκλήθη, ἐν τούτῳ μένει παρὰ Θεῷ.

Tunc post migrationem factam; rursus ingerunt mutationis pœnitentiam: ut nos inquietos & ubique instabiles efficiant; ac per id inidoneos fructibus perfectionis maturandis. Quocirca ubi acciderit, nos ex uno loco in alium transire, levitate serò agnitâ, non benè probatarum suggestionum: oportet nos eam imprudentiam sic ulcisci, ut deinceps majori contentione laborum & ærumnarum ultrò susceptarum, veræ quietis portum ingredi conemur. propterea quod deprehenderimus: ex nostrâ negligentiâ profectum ut vanæ cogitationes vim haberent nos in consilium minùs utile propellendi. Qui autem belli experiens spiritualis, insidiosas istiusmodi suasiones scivit eludere, in quo primùm loco vocatus est, in eo apud Deum permanet.

P.

Οἱ ἀπὸ τόπου εἰς τόπον μετερχόμενοι, μετέπεισαν εἰς τὰ πνευματικώτερα, μὴ εἰς τὰ ἀναπαυστικώτερα· ὑπομονὴ γὰρ καὶ μακροθυμία, καὶ ἀγάπη, ἐν ταῖς θλίψεσι πάντοτε εὐχαριστεῖ· ἀκηδία δὲ καὶ φιλαυτία καὶ ἐλαφρία ἐν τῇ ἀποχωρήσει χαίρει.

C.

Qui ex loco in locum transeunt caveant ne in commodiora corpori, quàm in accomodatiora profectui Spiritûs emigrent loca. Patientia enim, longanimitas & caritas; in angustiis ubique Deo gratias agit. Negligentia verò, amor proprius, & levitas, recessu à loco ubi sunt, gaudent.

PA.

Τινὲς ἐπὶ κατορθώμασιν εὐφημηθέντες, τῷ χρόνῳ τῶν πόνων ἠκηδίασαν· καὶ ἡ μὲν εὐφημία διώ-

CI.

Quidam ob præstantium opera virtutum jure laudati, processu temporis in negligentiam

versi, languidiùs labores obeunt. Et laus quidem illa præteriit, labores verò in remissionem soluti deficiunt.

διδόασιν· οἱ πόνοι δὲ διελύθησαν.

C I I.

Eccl. cxij. 13. *Finem loquendi pariter omnes audiamus*, ait Ecclesiastes, *Deum time, & mandata ejus observa, hoc est enim omnis homo.* Quasi diceret: ego summariam & compendiosissimam viam salutis monstro, his collectam verbis: *Deum time & mandata ejus observa.* Timorem dicit non introductorium & initialem, qui è suppliciorum comminatione nascitur: sed perfectum, & perfectionis artificem: quem ex ejus amore qui præcipit concipere debemus. Si enim solo pœnæ metu abstineamus à peccatis, palàm est, nos, nisi periculum impendêret ultionis, facturos utique quod videmus illicitum: cum peccati quidem ipsius amore teneamur, solam ipsi adjunctam pœnam exhorrescentes. Sin autem non propter minas intentati peccantibus supplicij, sed ex odio iniquitatis, à malè agendo nos tenuerimus: tunc sanè, ac prout convenit, fungemur observatione manda-


Ρ Β.

Τέλος λόγου τὸ πᾶν ἄκουε· εἶπεν ὁ ἐκκλησιαστὴς, τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε· ὅτι τοῦτο πᾶς ἄνθρωπος· ἐγὼ φησὶ κεφαλαιώδη καὶ ἀποτομωτάτην σωτηρίας ὁδὸν ὑποδείκνυμι· τὸν Θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε· φόβον λέγει, οὐ τὸν εἰσαγωγικὸν διὰ τὰς κολάσεις· ἀλλὰ τὸν τέλειον καὶ τελειοποιόν· ὃν διὰ τὴν στοργὴν τοῦ προστάξαντος ἔχειν ὀφείλομεν· εἰ μὲν γὰρ διὰ τὸ δέος τῆς κολάσεως μὴ ποιοῦμεν τὰς ἁμαρτίας· εὔδηλον ὅτι εἰ μὴ προὔκειτο τὰ τῆς τιμωρίας, ἐποιήσαμεν ἄν, φιλαμαρτήμονες ὄντες· εἰ δὲ μὴ διὰ τὴν ἀπειλὴν τῆς κολάσεως· ἀλλ' αὐτὰ μισήσαντες τὰ φαῦλα, τούτων ἀποσχώμεθα, φιλίᾳ τῇ πρὸς τὸν δεσπότην ἀξίως ἐργαζόμενοι τὰς ἐντολὰς φοβούμενοι, μή τι τῶν ἐντεταλμένων παρίδωμεν· οὗτος ὁ φόβος ἁγνὸς τυγχάνει, δι' αὐτὸ τὸ καλὸν γινόμενος· ταῦτα οὖν ἐγνωκότες τὸν Θεὸν φοβηθῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν· ἵνα τέλειοι ὦμεν καὶ ἀπαρτισμένοι τὸ ἀρετῆς ἔχοντες φρόνημα καταβεβλημένον

καὶ συντετριμμένην καρδίαν· καὶ ἀδιαλείπτως τὴν τοῦ μεγάλου Ἀρσενίου εὐχὴν προσᾴδοντες τῷ Κυρίῳ· ὁ Θεός μου μὴ ἐγκαταλείπῃς με· ὅτι οὐδὲν ἀγαθὸν ἐποίησα ἐνώπιόν σου· ἀλλὰ δός μοι τὴν εὐσπλαγχνίαν σου, βαλεῖν ἀρχήν· τὸ γὰρ ὅλον ἡμῶν τῆς σωτηρίας ἐν τοῖς τοῦ Θεοῦ οἰκτιρμοῖς κεῖται, καὶ τῇ αὐτοῦ φιλανθρωπίᾳ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

torum, ea ex Dei amore exequentes; ac verentes, ne ullam eorum omittamus partem, quâ explendâ gratificari Domino possimus. Hic castus metus est, ex ipsâ boni operis honestate natus. His igitur cognitis, Timeamus Deum & mandata ipsius custodiamus, ut perfecti simus, & cunctis absoluti numeris virtutum; habentes opinionem de nobis demissam, & cor contritum. Atque incessanter illam Magni Arsenij orationem Domino accinentes: *Deus meus ne derelinquas me: quia nihil umquam boni feci coràm te: sed indulge mihi per tuæ viscera misericordiæ, ut vel nunc incipiam benè agere.* Nam tota spes salutis nostræ in Dei miserationibus sita est, & in ejus erga nos homines benignitate. Ipsi gloria in sæcula. Amen.






OPUSCULUM XVII.

NICEPHORI Monachi


De Custodia Cordis Lib.



VICUMQUE magnificâ, dignati divinâque Salvatoris Jesu Christi illustratione amanter cupitis. quicumque supercœlestem ignem sinu ac sensu cordis suscipere penitùs decrevistis, Quicumque reconciliationis cum Deo experimentum consequi sensibile studetis. Quicumque Thesaurum in agro absconditum penetralibus intimis vestri cordis obtinere repositum desideratis. res mundi cunctas abdicate. Quicum-

ΝΙΚΗΦΟΡΟΥ Μοναχοῦ Λόγος.

ΠΕΡΙ ΦΥΛΑΧΗΣ ΚΑΡΔΙΑΣ.



Σοι τῆς μεγαλοπρεποῦς τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ θεϊκῆς φωτοφανείας τυχεῖν ἐρωτικῶς ἔχετε· ὅσοι τὸ ὑπερουράνιον πῦρ καρδιακῶς ἐν αἰσθήσει ὑποδέξασθαι βουλεύεσθε· ὅσοι τῆς πρὸς Θεὸν καταλλαγῆς πεῖρα καὶ αἰσθήσει τυχεῖν σπεύδετε· ὅσοι τὸν θησαυρὸν τὸν ἐν τῷ ἀγρῷ κεκρυμμένον ἐν ταῖς καρδίαις ὑμῶν ἀποθεῖτε κτήσασθαι· τὰ τοῦ κόσμου πάντα ἀποκτήσασθε· ὅσοι τῇ λαμπάδι τῆς ψυχῆς φαιδρὰς ἀναφθῆναι ἀπὸ τοῦ παρόντος θέλετε, τὰ παρόντα

ἅπαντα ἀποτάξασθε· ὅσοι ἐν γνώσει καὶ πείρᾳ τῆς τῶν οὐρανῶν βασιλείας ἔνδοθεν ἡμῶν οὔσης γνῶσιν καταλαβεῖν θέλετε, δεῦτε καὶ διηγήσομαι ὑμῖν, αἰωνίου, μᾶλλον δὲ οὐρανίου βιοτῆς ἐπιστήμην ἢ μέθοδον, ἀκόπως εἰς τὸν τῆς ἀπαθείας λιμένα καὶ ἀνιδρωτὶ, τὸν ταύτης ἐργάτην εἰσάγουσαν· μηδεμίαν πλάνην ἢ πτῶσιν ἐκ δαιμόνων δειματουμένην· ὅτε ἔξωθεν τῆς ζωῆς ἣν ὑμῖν ὑφηγοῦμαι, πόρρω που ἐκ παρακοῆς διαζίβομεν· καθάπερ πάλαι καὶ ὁ Ἀδὰμ τῆς ἐντολῆς καὶ τοῦ Θεοῦ κατολιγωρήσας, τῷ ὄφει δὲ φιλιάσας, καὶ πιστῷ ἡγησάμενος, καὶ τοῦ καρποῦ τῆς ἀπάτης ὑπ' αὐτοῦ κατακόρως πλησθεὶς, εἰς πυθμένα θανάτου, σκότους τε ἅμα καὶ διαφθορᾶς· οἰκτρῶς ἑαυτὸν καταβέβληκε καὶ τοὺς μετ' αὐτόν.

que lampadum Spiritualium festo ac læto jam hinc duci ornarique vultis lumine, præsentia universa rejicite. Quicumque experientiâ conscientiæ arcanâ residentis intrà vos Regni cœlorum percipere notitiam optatis. Adeste hùc & edisseram vobis perpetuæ, aut potiùs cœlestis vitæ rationem scientificam ac methodum, cujus qui ductum operando sequi curaverit, facilè ac citrà sudorem in portum tranquillæ à perturbationibus quietis introductum sese gratulans sentiet, nullam de cætero timentis à Dæmonibus seductionem ex quâ sequi lapsus queat. Quando extrà vitam, cujus informare vobis ideam hâc oratione ordior, longissimè ob inobedientiam versabamur. Sicut olim Adam, mandato & Deo spreto, fœderatus Serpenti, & eum velut fidelem ducem sequens, fructuque deceptionis ab eo usque ad satietatem pastus, in profundam mortis foveam, tenebrarumque ac corruptionis miserabiliter seipsum præcipitavit, suosquè unà secum universos Posteros.

Οὐκοῦν ἐπανάγεσθε· μᾶλλον δὲ τ' ἀληθέστερον εἰπεῖν, ἐπανέλθωμεν πρὸς ἑαυτοὺς, ἀδελφοί, τῆς ὄφεως συμβουλῆς, καὶ πρὸς τὰ χαμαὶ συρόμενα περιφορᾶς, εἰς ἅπαν ἀποστυγούμενοι· οὐ γάρ ἐστι τῆς πρὸς Θεὸν καταλλαγῆς καὶ οἰκειώσεως ἡμᾶς ἐπιτυχεῖν, μὴ πρότερον τὸ ἑαυ-

Igitur revertimini, aut ut æquiùs atque in commune utiliùs dicatur, revertamur ad nos ipsos, Fratres. Consilium serpentis, & aberrationem ad ea quæ deorsum trahuntur semel in omne tempus aversione summâ respuentes non enim recon-

ciliationem nostri cum Deo, & familiaritatem ejus consequi umquam poterimus, nisi nos prius, quantum erit in nobis, reversi fuerimus, aut potiùs primùm, & præter anteriorem usum ingressi viam sursum rectam, à stultâ per circuitum decrratione, quâ Mundus abducitur, & à curâ rerum sæculi nos ipsos abscindentes, in constituto autem intra nos Dei regno mentem indivulsè nostram tenentes affixam. Propter hoc enim ars artium & scientia scientiarum vita monastica nominata est. Non enim Sancta hæc disciplina simile habet quidquam cum vulgaribus Hominum institutis atque industriis, cunctis in id intentis ut mentem nostram à melioribus deflexam in ima terrenaque dejiciant: verùm aliò longè ducens, mira & ineffabilia ostentat & promittit bona,
1. Cor. ij. 9. qualia *Nec oculus vidit, nec auris audivit, neque in cor hominis ascenderunt*, unde neque
Eph. vj. 12. *colluctatio nobis est adversùs carnem & sanguinem, sed adversùs principatus & potestates, adversùs Mundi Rectores tenebrarum hujus sæculi.* Si ergo præsens sæculum tenebræ est: fugiamus ab ipso ne cum ipso pereamus. Fugiamus corpore, fu-

τοὺς ὅπου τὸ ἐφ᾽ ἡμῖν, οὐ περιελθεῖν, ἢ μᾶλλον εἰσελθεῖν· τὸ παράδοξον, ἀπὸ τῆς ματαίας περιφορᾶς τοῦ κόσμου καὶ τῆς μερίμνης ἑαυτοὺς ἀποσχίζοντες· πρὸς δὲ τὴν ἐντὸς ἡμῶν οὖσαν βασιλείαν τῶν οὐρανῶν, τὸν νοῦν ἡμῶν ἀπαγχωρήτως κατέχοντες· διὰ τοῦτο γὰρ τέχνη τεχνῶν, καὶ ἐπιστήμη τῶν ἐπιστημῶν ὁ μοναδικὸς βίος ὠνόμασται· ἐπειδὴ οὐχ ὁμοία τοῖς φθειρομένοις πράγμασι τούτοις καὶ ἀπολλυμένοις ἐστὶν ἡ ὁσία πολιτεία αὕτη· ἵνα τε πρὸς αὐτὰ τὸν νοῦν ἡμῶν ἀπὸ τῶν κρειττόνων μετοχετεύοντες καταχωννύωμεν· ἀλλὰ ξένα καὶ ἀπόρρητα ἡμῖν ἐπαγγέλλεται· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε· καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· κἀντεῦθεν οὐδὲ πάλη ἡμῖν ἐστι πρὸς αἷμα καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου· εἰ οὖν σκότος ὁ παρὼν αἰών· φευξώμεθα ἀπ᾽ αὐτοῦ, ἵνα μὴ μετ᾽ αὐτοῦ συναπολεσθῶμεν· φευξώμεθα τῷ σώματι, φευξώμεθα τῷ φθέγματι, φευξώμεθα τῷ νοήματι· μηδὲν κοινὸν ἐμοὶ ἔστω καὶ τῷ ἐχθρῷ τοῦ Θεοῦ· ὁ γὰρ βουληθεὶς φιλιῶσαι αὐτῷ, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται· τῷ δὲ ἐχθρῷ γεγονότι Θεοῦ τίς βοηθῆσαι δύναται.

giamus sermone, fugiamus cogitatione. Nihil mihi commune sit cum Dei hoste. qui enim voluerit amico illo uti, inimicus Dei constituitur. Ei porrò qui Dei fuerit inimicus quis auxiliari potest?

Διὰ τοῦτο μιμησώμεθα τοὺς Πατέρας ἡμῶν, καὶ τὸν ἐντὸς τῶν καρδιῶν ἡμῶν θησαυρὸν, ὡς κἀκεῖνοι ζητήσωμεν· καὶ τοῦτον εὑρόντες κραταιῶς ἄγαν, ἐργαζόμενοι ὁμοῦ καὶ φυλάττοντες εἰς τοῦτο γὰρ ἐξ ἀρχῆς ἐτέχθημεν· εἰ δὲ τις Νικόδημος ἄλλος τις ὀφθείη φιλονεικῶν καὶ λέγων· πῶς δύναταί τις ἐν τῇ καρδίᾳ εἰσελευσόμενος ἐκεῖ ἐργάζεσθαι ἢ διατρίβειν· ὥσπερ κἀκεῖνος τῷ Σωτῆρι ἀντέφησε· πῶς δύναταί τις ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὐτοῦ εἰσελθεῖν (καὶ γεννηθῆναι γέρων ὤν; ἀκούσεται καὶ αὐτὸς· ὅτι τὸ πνεῦμα ὅπου θέλει πνεῖ· καὶ εἰ τὰ τῆς πρακτικῆς ἔργα οὕτως ἀμφιβάλλομεν ἀπιστοῦντες, πῶς τὰ τῆς θεωρίας ἡμῖν ἐπελεύσεται; θεωρίας γὰρ ἐπίβασις, πρακτική.

Quare imitemur Patres nostros, & Thesaurum intrà corda nostra defossum prout ipsi fecerunt, omni diligentiâ quæramus: & hunc postquam invenerimus fortissimè teneamus, operantes simul & custodientes. in id enim à principio sumus geniti. Si autem alius quidam Nicodemus contentiosus velit esse argutando dicens: quomodo potest aliquis in cor ingressus suum ibi operari & habitare? ut & ille vetus Salvatori se opponens dixit: *quomodo potest homo rursus introire in ventrem matris suæ & renasci cum sit senex*? audiet & hic: *Spiritus ubi vult spirat.* Et si circa vitæ practicæ opera sic dubitamus increduli, quomodo intellecta venire nobis poterunt contemplationis arcana. contemplationis quippe fundamentum vita est practica. Ioan. iij. 4.

Ἐπεὶ δὲ γραφικῶν ἀποδείξεων ἄνευ, τοῦτο πληροφορηθῆναι ἀδύνατον· φέρε λοιπὸν ἀπὸ τῶν Ἁγίων βίων, καὶ τῶν ἐγγράφως ὑπ' αὐτῶν ἐκτεθέντων εἰς πολλῶν ὠφέλειαν ἐν τούτῳ τῷ λόγῳ κατάξωμεν· ἄνωθεν δὲ ἐξ Ἀντωνίου, τοῦ μεγάλου φημὶ, τῶν λόγων ἀρξάμενος,

Quoniam vero sine scriptis testimoniis certò persuaderi talia non possunt, Age, deinceps è vitis Sanctorum, & ex iis quæ scripto ipsi consignata reliquerunt ad multorum utilitatem, quædam à Magno Antonio serie continuâ singillatim exe-

quentes dicta factaque illustria quæ fidem facere dictorum à nobis queant.

Ibant aliquando ad Abbatem Antonium in Monte degentem duo fratres, quos cum aqua defecisset in itinere, eorum unus quidem mortuus est, alter extremè laborans, nec valens ambulare ampliùs, jacebat in terra mortem proximam expectans. At Sanctus Antonius sedens in Monte, vocavit duos Monachos, (contigit enim eos ibi esse) aitque illis ite, accipite vas aquæ & currite per viam quæ versus Ægyptum tendit: duorum enim hùc venientium unus modò exspiravit, alter verò mox exspiraturus est, nisi properetis. Hoc enim mihi oranti revelatum est. Profecti ergo Monachi repererunt ita rem habere uti Sanctus dixerat; & mortuum quidem sepelierunt, moribundum verò recreatum aquâ perduxerunt ad Senem. Erat autem intervallum viæ iter diei unius. Si autem quærat quis, quare non antequam alius ille moreretur Antonius subsidium miserit, quæ retulimus dicens? Respondebitur, incivilem &

ἐπὶ τὰ καθεξῆς, ὅσον ἐστὶ δυνατὸν ἐμοὶ, τοὺς λόγους καὶ τὰς πράξεις μερικῶς συλλέξαντες, πρὸς πίστωσιν τοῦ λόγου χρησόμεθα.

Εἰσήρχοντό ποτε πρὸς τὸν Ἀββᾶν Ἀντώνιον ἐν τῷ ὄρει δύο ἀδελφοὶ· καὶ λείψαντος αὐτοῖς ἐν τῇ ὁδῷ τοῦ ὕδατος, ὁ μὲν εἷς ἀπέθανεν· ὁ δ' ἕτερος ἔμελλε· μηκέτι γοῦν ἰσχύων ὁδεύειν ἔκειτο καὶ αὐτὸς ἐπὶ τῆς γῆς τεθνήξεσθαι προσδοκῶν· ὁ δὲ ἅγιος Ἀντώνιος καθήμενος ἐν τῷ ὄρει, φωνήσας δύο μοναχοὺς, συνέβη γὰρ αὐτοὺς ἐκεῖ εἶναι, ἄπιτε, λέγει, λάβετε κεράμιον ὕδατος καὶ δράμετε πρὸς τὴν αἰγύπτιον ὁδόν· δύο γὰρ ἐρχομένων ὁ μὲν εἷς ἄρτι τετελεύτηκεν· ὁ δὲ ἕτερος μέλλει ἐὰν μὴ σπεύσητε· τοῦτο γὰρ εὐχομένῳ μοι πεφανέρωται. ἐλθόντες τοίνυν οἱ μοναχοὶ εὗρον καθὼς ὁ ἅγιος εἶπε· καὶ τὸν μὲν κείμενον νεκρὸν ἔθαψαν· τὸν δὲ ἕτερον ἀνεκτήσαντο τῷ ὕδατι καὶ ἀπήγαγον πρὸς τὸν γέροντα· ἦν γὰρ τὸ τῆς ὁδοῦ διάστημα ἡμέρας μιᾶς· ἂν δὲ ζητήσῃ τις· διὰ τί μὴ πρὸ τοῦ τελευτῆσαι τὸν ἄλλον εἴρηκε τοῦτο; οὐκ ὀρθῶς ζητεῖ· οὐ γὰρ ἦν Ἀντωνίου τὸ τοῦ θανάτου κρίμα· ἀλλὰ τοῦ Θεοῦ, καὶ περὶ ἐκείνου κρίναντος, καὶ περὶ τούτου ἀποκαλύψαντος· μόνον δὲ Ἀντωνίου τὸ θαῦμα ἦν· ὅτι ἐν τῷ ὄρει καθήμενος εἶχε τὴν καρδίαν νήφουσαν, τὸν δὲ κύριον δεικνύοντα

αὐτα

αὐτοῦ τὰ μακράν· ὁρᾷς ὅτι διὰ τὸ νήφειν τῇ καρδίᾳ ὁ Ἀντώνιος θεόπτης καὶ προόπτης ἐγένετο· ἐκεῖ γὰρ ἐν τῇ καρδίᾳ ὁ Θεὸς τῷ νοῒ ἐμφανίζεται· κατ' ἀρχὰς μὲν, ὡς φησιν Ἰωάννης ὁ τῆς Κλίμακος, καθαίρων τὸν ἐραστὴν ὡς πῦρ· ἔπειτα δὲ ὡς φῶς τὸν νοῦν λαμπρύνων, καὶ θεοειδῆ ἐργαζόμενος· ἐπὶ δὲ τοὺς καθεξῆς ὁ λόγος χωρείτω.

incongruam hanc exceptionem eſſe. Non enim ad Antonium ſpectabat de viri morte judiciũ, ſed ad Deum qui & illum Monachum ſic mori decreverat, & tam ejus abitum, quam ſocij periculum Antonio revelavit. Miraculum hoc fuit unius meritis imputandum Antonij, qui ſedens procul in monte ob cordis attentionem cum quâ orabat dignus ei viſus eſt cui mirabiliter ea manifeſtaret quæ in loco tam longinquo gerebantur. Ibi ſcilicet in corde Deus menti ſeſe aperit. principiò quidem, ut ait Joannes Climacus, ſui amatorem purgans ut ignis; deinde ut lux mentem illuminans, & Deiformem efficiens. Hinc ad conſequentia procedat ſermo.

Οὕτω γὰρ ὁ θεῖος Θεοδόσιος ἐν τῷ γλυκεῖ τῆς ἀγάπης βέλει ἐβέβλητο· καὶ οὕτως αὐτῆς τοῖς δεσμοῖς συνείχετο, ὥστε τὸ ὑψηλὸν τοῦτο καὶ θεῖον παράγγελμα· τὸ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου· καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, ἔργοις ὑπ' αὐτοῦ πληροῦσθαι· ὅπερ οὐκ ἄλλως γένοιτο, ἢ τῶν φυσικῶν τῆς ψυχῆς δυνάμεων πρὸς οὐδὲν ἄλλο τῶν παρόντων, ὅτι μὴ πρὸς μόνον τὸν τοῦ δημιουργοῦ πόθον συντεινομένων· ταύτας τὰς νοερὰς φημὶ τῆς ψυχῆς ἐνεργείας· ταύτῃ τοι καὶ παρακαλῶν πολλοὺς, φοβερὸς ἦν, καὶ ἐπιτιμῶν πάλιν· ποθεινὸς δὲ καὶ ἡδὺς ἐν

Sic Divinus Theodoſius dulci amoris telo vulneratus erat, adeóque arctè conſtrictus vinculis caritatis tenebatur, ut ſublime illud & divinum mandatum; *Diliges Dominum Deum* Mat. xxij. 37.
tuum ex totâ Animâ tuâ, & ex omnibus viribus tuis, & ex omni mente tuâ, opere ab ipſo compleretur. quod aliâ fieri ratione non potuit, niſi naturalibus Animæ Potentiis ad nihil aliud præſenrium quàm ad ſolum Creatoris deſiderium intentis. Animæ potentias, intellectivas hîc voco Animæ Facultates. Hinc & adhortans multos, & rurſus reprehendens,

æquè cunctis salubriter erat terribilis: amabilis autem & suavis in omnibus. quis ut ille conversationes cum multis promiscuas utilissimè habebat? Quis item ut ille ad sensus colligendos; & ad horum convertendam intrà intima sui attentionem idoneus usu multo erat maximè? ita ut tranquilliori quiete mentis in strepitu tumultuosorū cum plurimis congressuum, quàm quivis alter in seductissimâ solitudine frueretur. nihilóque minus in concursu multorum solitarius esset, quàm in privato secessu. En ut vir hic Magnus Theodosius, eò quod sensus colligere, introque in mentis adyta totam attentionem convertere assuetudine longâ didicisset: ad eum perfecti Dei amoris gradum ascendit, in quo verè dici posset, vulneratus caritate.

ἅπασι· τίς οὕτω καὶ τοῖς πολλοῖς ὁμιλεῖν ὠφελιμώτατος, καὶ τὰς αἰσθήσεις συνάγειν, καὶ εἴσω παρασκευάσαι νεύειν ἱκανώτατος· ὡς ἐν πλείονι γαλήνῃ τοῦτον ἐν μέσῳ θορύβων, ἢ τοὺς ἐν ἐρημίᾳ διατελεῖν· καὶ ἅμα τὸν αὐτὸν μετὰ πλήθους τε εἶναι καὶ ἰδιάζειν· ἰδοὺ καὶ ὁ μέγας οὗτος Θεοδόσιος διὰ τὸ τὰς αἰσθήσεις συνάγειν, καὶ ἔσω τὸν νοῦν εἰσάγειν, γέγονε τῇ τοῦ Κτίστου τετρωμένος ἀγάπῃ.

Ab admirabili verò Arsenio hoc observabatur, ut neque interrogationes scripto ad quemquam, etiam de rebus ad sacram scripturam spectantibus mitteret, neque ullo de argumento Epistolas daret. Non sane quod facultate ornatè loquendi ac scribendi careret. utique homo in talibus perfectus; cui eleganter dicere facilius erat quàm aliis simpliciter loqui. Sed quæ dixi in ipso efficiebat assuetudo tacendi, & ab omni ostentationis specie abhorrens modestia. Propterea

Καὶ τοῦτο δὲ τῷ θαυμαστῷ πεφύλακτο Ἀρσενίῳ, τὸ μήτε ζητήματα γραφικὰ προτείνειν, μήτε μὴν ἐπιστέλλειν· οὐχ ὡς ἀδυνάτως ἔχοντι· πῶς γάρ; ᾧτινι τὸ εὖ λέγειν οὕτω ῥᾴδιον ὡς τὸ ἁπλῶς λέγειν ἑτέροις; ἀλλὰ πρὸς τὸ σιωπᾶν ἐθισμὸς, καὶ τὸ πρὸς ἐπίδειξιν ἀπαθὲς, ταῦτα τῶν εἰρημένων αἴτια· διὰ τοῦτο γὰρ κἂν τῇ ἐκκλησίᾳ, κἂν τῇ συνάξει λίαν ἐσπουδασμένον ἦν αὐτῷ τὸ μήτε τινὰ ὁρᾶν, μηθ' ὑφ' ἑτέρων ὁρᾶσθαι· ἀλλ' ὄπισθεν κίονος ἢ ἑτέρου προβλήματος ἵστασθαι, καὶ ποιεῖν ἑαυτὸν τῆς τῶν ἄλλων ἐπιμιξίας ἄμικτον

καὶ ἀθέατον· ἅτε δὴ προσέχειν ἑαυτῷ, καὶ ἔσω τὸν νοῦν ἀθροίζειν, καὶ οὕτω ῥαδίως πρὸς Θεὸν αἴρεσθαι· πάλιν δὲ ὁ μέγας οὗτος ἀνὴρ ὁ ἐπίγειος ἄγγελος εἴσω ἀθροίζει τὸν νοῦν· ὅπως ἐντεῦθεν εὐκόλως πρὸς Θεὸν αἴρηται.

enim & in Ecclesiis & in synaxibus summo studio cavebat spectare quemquam, aut abaliis spectari: solitus ea de causa retrò columnam quampiam, aut molem similem stare, quò sic & in turba, quantum posset, præstaret se impermixtum aliis, ac neque conspicuum iisdem. Facultatem scilicet inde aptans majorem attendendi sibi: & indesinenter colligendi: unde illam posset faciliùs ad Deum tollere Alterum hoc exemplùm esto magni hujus viri, quem jure quis dixerit terrestrem Angelum, nobis monstrans, quomodo colligenda sit mens, ut sic composita haud ægrè ad Deum elevetur.

Ὁ μέντοι θεῖος Παῦλος, ὄρεσι καὶ ἐρημίαις διὰ παντὸς διῃτᾶτο· θηρσὶ δὲ ἀγρίοις οἷα γείτοσι καὶ ὁμοσίτοις χρώμενος· ἔστι δ' ὅτε καὶ πρὸς τὴν λαύραν κατιὼν ἐπισκοπῆς ἠξίου τοὺς ἀδελφούς· παρῄνει τε καὶ ἐδίδασκε μὴ μικροψυχεῖν, μηδὲ τῶν ἐπιπόνων τῆς ἀρετῆς καταραθυμεῖν ἔργων· ἀλλ' ἐν προσοχῇ πάσῃ καὶ διακρίσει τῆς κατὰ τὸ εὐαγγέλιον ἔχεσθαι πολιτείας, καὶ πρὸς τὰ πνεύματα τῆς πονηρίας εὐψύχως ἀνταγωνίζεσθαι· πρὸς δὲ καὶ μέθοδον αὐτοῖς εἰσηγεῖτο, δι' ἧς δυνατοί ἔσονται, τάς τε προλήψεις ἀπομανθάνειν τὰς συμπαθεῖς, καὶ τὰς ἐπεισφορὰς τῶν παθῶν ἀποξέεσθαι· βαβαὶ πῶς ὁ θεῖος οὗτος πατὴρ μέθοδον τοῖς φοιτηταῖς ἀγνοοῦσι διδάσκει ἵνα διὰ ταύτης ἀποξέειν δύνωνται τὰς ἐπεισφορὰς

Ex vita sancti Pauli in Latro.

Ad Divinus Paulus in Montibus & locis desertis semper habitabat, feris bestiis tamquam vicinis & sodalibus utens. Fuit tamen cum in Lauram descendens haud abnuit suscipere Regimen Fratrum. Suadebat autem & docebat, excutere pusillanimitatem, nec à laboriosis virtutis operibus metu desidiave ullâ retardari capessendis: sed in omni attentione ac discretione, evangelicam capessere ac perseveranter exercere vivendi rationem, & contra Spiritûs nequitiæ animosè certare. Præterea methodum ipsis proponebat, quam si tenerent opiniones olim p æsumptas, quæ vitiis favent, dediscere, & insultus pravorum affectuum

possent propulsare : quâ sane, pro rei momento nihil poterat expetibilius Discipulis mõstrare. Quantum enim hoc ab eo didicisse : quâ quis arte possit nequissimarum a se impressiones cogitationum repellere? non autem alia erat ars ista nisi mentis custodia. Hujus enim effectus est proprius istud perfectæ virtutis opus. Transeat hinc sermo ad sequentia.

τῶν ἐμπαθῶν νοημάτων· οὐκ ἄλλη δὲ ἦν αὕτη ἢ τοῦ νοὸς τήρησις· ταύτης γάρ ἐστι τοῦτο τὸ κατόρθωμα, καὶ οὐκ ἄλλης· χωρείτω δὲ ὁ λόγος ἐπὶ τὰ πρόσω.

Divinus Sabbas hanc regiminis formam sequebatur. Eum qui regulam jam monasticam didicerat; & suam jam custodire mentem poterat; atque adversis repugnare cogitationibus; quique mundanarum rerum ex toto memoriam è mente exterminaverat : habitare in Laurâ permittebat, cellam ipsi propriam assignans, si parùm robusto invalidoque erat corpore. Sin ex iis erat qui sanitate membrorum ac viribus pollerent, locum præbebat ubi cellam ipsi sibi con'truerent. Vides ut hic Sanctus Abbas mentis ante omnia custodiam à Fratribus quos sub suam curam admitteret exigebat. nec aliter eis cellæ jus in quâ sub se Deo quietè servirent tribuebat. Quid faciemus nos inutiles in Cellis ignavè desidentes; quid sit mentis custodia, & an uspiam reperiatur, ne

Ηνίκα μέντοι τὸν ἀποταξάμενον ὁ θεῖος Σάββας τόν τε κανόνα ἤδη τὸν κατὰ μοναχοὺς ἐκμαθόντα, καὶ νοῦν ἤδη τὸν σαυτοῦ τηρεῖν δυνάμενον καὶ πρὸς τοὺς ἐναντίους τῶν λογισμῶν ἀπομάχεσθαι, πρὸς δὲ καὶ τὴν τῶν κοσμικῶν ὅλως μνήμην τῆς διανοίας ἐξοικησάμενον, τότε δὲ κἂν τῇ λαύρᾳ παρεῖχε κελλίον εἰ ἀσθενὲς ἔχοι τὸ σῶμα καὶ ἄρρωστον· εἰ μέντοι τῶν ἐρρωμένων εἴη καὶ δυνατῶν, καὶ κελλίον οἰκοδομεῖν ἐπέτρεπεν· ὁρᾷς πῶς καὶ ὁ θεσπέσιος Σάββας τὴν τοῦ νοὸς φυλακὴν ἀπῄτει τοῖς ἀδελφοῖς· καὶ οὕτως αὐτοῖς παρέχων κελλίοις συνεχώρει καθίσαι· τί πράξομεν ἡμεῖς οἱ ἀνωφελῶς καὶ ἀργῶς ἐν κελλίοις καθήμενοι καὶ οὐδὲ εἰ ἔστι νοὸς τήρησις ἐπιστάμενοι· ἀλλ᾽ οὗτος ὁ μέγας Πατὴρ παρὰ τῶν περὶ αὐτὸν πλουτήσας ταύτην τὴν ἀρετὴν, καὶ αὐτὸς ὡσαύτως ἑτέροις ταύτην νομοθετεῖ, ὡς ἴδιόν τι καὶ τῶν μοναχῶν μόνον κατόρθωμα· ἀλλ᾽ εἰ δοκεῖ μεταβῶμεν ἐφ᾽ ἕτερον.

mentione quidem primâ edocti? At hic Magnus Pater præ iis qui eum præcesserant istam copiosè virtutem possidens, hanc similiter aliis præscribebat, uti propriam & singularem Monachorum laudem. Ex hoc, si videtur, ad alium vertamur.

Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀγάθωνα, λέγων· εἰπέ μοι Ἀββᾶ· τί μεῖζον, ὁ σωματικὸς κόπος ἢ ἡ τῶν ἔνδον φυλακή; καὶ ἀπεκρίθη ὁ γέρων· ἔοικεν ὁ ἄνθρωπος δένδρῳ· ὁ τοίνυν σωματικὸς κόπος φύλλα ἐστίν· ἡ δὲ τῶν ἔνδον φυλακή, ὁ καρπός· ἐπεὶ οὖν κατὰ τὸ γεγραμμένον· πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται, φανερόν ἐστιν ὅτι διὰ τοὺς καρποὺς πᾶσα ἡμῶν ἡ σπουδή· τουτέστιν ἡ τοῦ νοὸς φυλακή· χρεία δέ ἐστι καὶ τῆς τῶν φύλλων εὐκοσμίας καὶ σκέπης· ἅπερ εἰσὶν ὁ σωματικὸς κόπος· θαῦμα, πῶς ὁ ἅγιος οὗτος κατὰ πάντων μὴ ἐχόντων νοὸς τήρησιν, ἀπεφήνατο, εἰς μόνην δὲ αὐχοῦντας τὴν πρακτικήν, εἰπὼν πᾶν δένδρον μὴ ποιοῦν καρπόν, νοὸς τήρησιν δηλαδή, φύλλα δὲ μόνον ἔχοντας, ἤγουν τὴν πρᾶξιν, ἐκκόπτεσθαι καὶ εἰς πῦρ βάλλεσθαι· φρικτή σου Πάτερ ἡ ἀπόφασις.

Frater quidam interrogavit Abbatem Agathonem, dicens: dic mihi Abba: quid majus est, Corporeus labor, an interiorum animi custodia? Respondit Senex: similis est homo arbori: corporeus ergo labor folia sunt: custodia verò interiorum fructus est. quandoquidem autem juxta quod scriptum est: *Omnis arbor quæ non facit fructum bonum excidetur & in ignem mittetur* Mat. vij. 19.
Manifestum est totum nostrum studium conferri debere ad ferendum fructum, hoc est, ad mentis custodiam. Utilitas porrò etiam quædam est foliorum ad speciem & tegumentum. quare non reprobatur corporeus labor per illa figuratus: Sed quid sit ei præstantius adjungendum ostenditur. Mirabiliter hic Sanctus vanos & veræ religionis exortes declaravit omnes illos qui sine mentis custodiâ, solâ gloriantur vitâ Activâ. vocans eos arbores non ferentes fructum bonum, mentis scilicet custodiam, ac nihil nisi folia habentes, hoc est labores operationis qui non obstabunt quominus exscindãtur & in ignem mittantur. Terribilis hæc tua, Pater, sententia est.

Μάρκου δὲ μοναχοῦ πρὸς μαθητὴν τάδε· εἰ οὖν βούλει, τέκνον,

Marci Monachi hæc ad Discipulum erat Oratio: Si vis,

,, Fili, propriam tibi & domesticam lucernam luminis intellectualis, hoc est, spiritualis scientiæ, intrà te semper habere accensam & lucentem, cujus beneficio possis inoffensè per noctem hujus sæculi profundissimam ambulare; ita ut sub Domino tui gressus dirigantur; ut viam Evangelij velis valde, juxta propheticum oraculum: quod est, fide ardenti Evangelicorum Domini Præceptorum quæ perfectionem docent, per desiderium & orationem executor & particeps fieri, monstro tibi viam mirabilem, & inventum industriæ Spiritualis, labore certaminis corporei non egens: sed quod solum conatum animæ ac mentis, attentionemque perpetuam timore amoreque Dei adjutam requirat. quâ industriâ phalangem vitiorum & hostium facilè poteris repellere. Si ergo vitia superare vis, per orationem & Dei cooperationem intrà te ipsum collectus, & in profunda tui cordis penetrans, investiga tres hos gigantes: oblivionem, dico,

οἰκεῖον λύχνον φωτὸς νοητοῦ γνώσεως πνευματικῆς ἔνδοθεν κτήσασθαι· ἵνα ἀπροσκόπως ἐν τῇ βαθυτάτῃ νυκτὶ τοῦ αἰῶνος τούτου περιπατεῖν δυνήσῃ, καὶ ὑπὸ τοῦ Κυρίου τὰ διαβήματά σου κατευθυνθῇ, ὅπως τὴν ὁδὸν τοῦ εὐαγγελίου θελήσῃς σφόδρα, κατὰ τὸ προφητικὸν λόγιον· τουτέστι πίστει διαπύρῳ τῶν τελείων εὐαγγελικῶν προσταγμάτων τοῦ Κυρίου δι' ἐπιθυμίας καὶ εὐχῆς κοινωνὸς γένεσθαι, ὑποδείκνυμί σοι ὁδὸν θαυμαστὴν, καὶ ἐπίνοιαν τρόπου πνευματικοῦ, οὐ σωματικοῦ κόπου ἀγῶνος δεομένην, ἀλλὰ ψυχικοῦ πόνου, καὶ νοὸς καὶ προσεχοῦς διανοίας χρῄζουσαν, φόβῳ καὶ ἀγάπῃ Θεοῦ συνεργουμένην· δι' ἧς ἐπινοίας τὴν φάλαγγα τῶν παθῶν καὶ ἐχθρῶν εὐχερῶς τροπώσασθαι δυνήσῃ· εἰ οὖν κατὰ τῶν παθῶν βούλει τὸ νῖκος ἄρασθαι· δι' εὐχῆς καὶ συνεργίας τοῦ Θεοῦ ἐν ἑαυτῷ γενόμενος, καὶ εἰς τὸ τῆς καρδίας βάθος δύνων, ἀνίχνευσον τοὺς τρεῖς τούτους γίγαντας· λήθην λέγω, καὶ ῥᾳθυμίαν καὶ ἄγνοιαν· τὸ ὑποστήριγμα τῶν νοητῶν ἀλλοφύλων· δι' ὧν τὰ λοιπὰ τῆς κακίας πάθη ὑπονοστούμενα ἐνεργεῖ καὶ ζῇ καὶ ἰσχύει ἐν ταῖς τῶν φιληδόνων ψυχαῖς· καὶ διὰ τῆς πολλῆς προσοχῆς καὶ νοὸς ἐπιστασίας, μετὰ τῆς ἄνωθεν ῥοπῆς εὑρὼν ταῦτα τοῖς πολλοῖς ἀγνοούμενα, τάχα δυνήσῃ ἐν πολλῇ προσευ-

χρὴ ῥυσθῆναι τῶν πονηρῶν γιγάντων
γνώσεως γὰρ ἀληθοῦς καὶ μνήμης λό-
γου Θεοῦ, καὶ ἀγαθῆς προθυμίας
ἐνεργείᾳ, διὰ χάριτος ἐνεργοῦς
ἐν καρδίᾳ στῆναι σπουδαζομένη καὶ
ἐπιμελῶς φυλαττομένη, λήθης καὶ
ἀγνοίας καὶ ῥαθυμίας ἴχνος ἐξ αὐτῆς
ἀφανίζεται.

pigritiam, & ignorantiam, „
in quibus robur est situm spi- „
ritualium Philistæorum, per „
quos redeuntia in animam „
unde pulsa fuerant reliqua „
vitia operantur, & vivunt, „
& valent in animabus volu- „
ptati deditorum. Quod eva- „
dere discrimen poteris, & ab horum trium pessimorum Gigan- „
tum tyrannicâ oppressione liberari, si multus & assiduus in „
Oratione fueris, & auxilio supernè addito, adhibitâ ex te at- „
tentione plurimâ vigiliâque mentis, ea quæ à plerisque igno- „
rantur, inveneris. Etenim per ita procuratam veri notitiam, „
perque memoriam verbi Dei, per bonæ quoque voluntatis „
adjutæ à gratiâ, vim; in corde stare firmiter conante, & „
diligenter custodito, deletur omne vestigium oblivionis ignoran- „
tiæ, ac pigritiæ. Hactenus Marcus. „

Ὁρᾷς συμφωνίαν τῶν ἀγαθῶν πα-
τερικῶν ῥημάτων; ὁρᾷς πῶς σαφῆ
διδασκαλίαν τῆς προσευχῆς
ἐπιστήμην ποιεῖ; ὁρᾷς πῶς ἕτερος
ἑτέρῳ κατ' ἴχνος ἀκολουθεῖ, καὶ
τὰ τῆς καρδίας βάθη δύνειν προ-
τρέπονται πάντες; ὅρα λοιπὸν καὶ τοὺς
ἔμπροσθεν οἷα ἢ μὴν διαλέγον-
ται.

Pergis in his videre, Lector, quàm aptè quàm exactè consentiant inter se veterum nostrorum Patrum optimorum dicta. Vides ut hic pariter cum aliis suprà recitatis clarè docet, totam vitæ spiritualis spem ac successum esse situm in scientiâ orandi: vides ut quivis modò laudatorum, alterius vestigia premat, unus alium ad singulos affectans passus. quis horum non quasi ex composito ad idem adhortans docet: penetrandum nobis esse, si perfecti esse volumus, in nostri profunda cordis, pariterque alia suadet, superiùs hoc Opusculo memorata? audi nunc alios quoque.

Οὕτως γράφει ὁ τῆς Κλίμακος·
Ἡσυχαστής ἐστιν, ὁ τὸ ἀσώματον
ἐν σωματικῷ οἴκῳ περιορίζειν φι-

Sic scribit à Scala nominatus Climacus. Quietis reli- „
giosæ Professor verus ilc est: „

„ qui contendit, incorporeum
„ corporeâ domo circumscri-
„ bere ac comprehensum te-
„ nere. quod mirum inopina-
„ tumque est. Ipse idem est cu-
„ jus vox sonat in sacro Can-
Cant. v. 2. „ tico : *Ego dormio , & cor*
„ *meum vigilat.* Claude Ja-
„ nuam linguæ voci, & suprà
„ clausum tecum intùs spiri-
„ tum fores obduc exteriùs
„ impenetrabiles. ita intrò se-
„ dens ab alto observa, si uti-
„ que id scias facere. Et tunc
„ videbis, quomodo, & quan-
„ do, & unde, & quot, &
„ quales fures conentur irrum-
„ pere, ut spirituales tuæ vi-
„ neæ uvas auferant. Tunc
„ vigil solicitusque speculator,
„ impigrè surgens orabit. & rur-
„ sus sedens in opus idem for-
„ titer incumbet. Aliud est ob-
„ servatio cogitationum: aliud mentis custodia. & quantum di-
„ stat ortus ab occasu, tantò hæc illa sublimior & ærumnosior
„ est. Sicut arma regia in loco posita quopiam videntes Fures,
„ non temerè audaciam expediunt ad furtum ibi tentan-
„ dum: ita spirituales fures à sic munitâ & vigili absistunt ani-
„ mâ.

λογεικῶν· τὸ παράδοξον· ἠσοχα-
στής ἐστιν ἐκεῖνος ὁ εἰπών· ἐγὼ κα-
θεύδω καὶ ἡ καρδία μου ἀγρυπ-
νεῖ· κλεῖε μὲν θύραν κέλλης σώ-
ματι, καὶ θύραν γλώττης φθέγμα-
τι, καὶ ἔνδον πύλην πνεύματι,
καθεζόμενος, ἀφ' ὕψους τήρει, εἰ
ἄρα καὶ ἐπίστασαι· καὶ τότε ὄψει,
πῶς, καὶ πότε, καὶ πόθεν, καὶ
πόσοι, καὶ ποῖοι κλέπται εἰσελ-
θεῖν κλέψαι τοὺς βότρυας ἔρχον-
ται· ἀποκαμὼν ὁ σκοπὸς, ἀνα-
στὰς προσεύξεται· καὶ πάλιν καθε-
σθεὶς, τῆς αὐτῆς ἐργασίας ἀνδρείως
ἔχεται· ἄλλο φυλακὴ λογισμῶν, καὶ
ἄλλο νοὸς τήρησις· καὶ καθ' ὅσον
ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,
κατὰ τοσοῦτον ἡ δευτέρα τῆς προτέ-
ρας ὑψηλοτέρα καὶ μοχθηροτέρα
καθέστηκεν· ὥσπερ ὅπλα βασιλικὰ
ἐν τόπῳ τινὶ κείμενα ὁρῶντες οἱ
κλέπται, οὐχ ὡς ἔτυχεν ὑπὸ τῶν νοε-
ρῶν λῃστῶν κλέπτεται.

Vidisti declarationem mira-
bilis exercitationis: vidisti ma-
nifestationem evidentissimam
priùs commendatorum. cæte-
rùm nos, ut apparet, in tene-
bris ambulantes, & ad spiri-

Εἶδες φανεροποίησιν τῆς θαυμα-
στῆς ἐργασίας, εἶδες σαφήνειαν·
ἀλλ' ἡμεῖς γε, ὡς ἔοικεν ἐν σκότει
περιπατοῦντες, καὶ τῶν πνευματι-
κῶν τοῦ πνεύματος λογίων καὶ
ψυχοποιῶν ἀμβλυωποῦντες, οὐδὲ
οἶα

σιν ἡμῖν ἡ θεία γραφὴ ἐπαγγέλλεται γνῶναι βουλόμεθα, ῥάθυμοι ὄντες καὶ νωθροὶ, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀπρόθυμοι· ἀλλὰ τὰ πρὸς τὴν νῆψιν ἡμᾶς ὁδηγοῦντα βαδίσωμεν.

tualia animásque salvantia divini Spiritûs Oracula cæcutientes, ne illa quidem cunctis exposita quæ disertè Sacrà Scriptura denunciat, cognoscere curamus, desides quidam ac pigri, & ad omne opus bonum segnes frigidique. verùm age, excutiamus tandem hunc torporem: & per monstratum nobis iter, quo in sobriam & acrem tuendo intentam cordi vigiliam tenditur, impetu alacri curramus.

Τάδε παραγγέλλει ὁ Ἀββᾶς Ἠσαΐας· ὅταν τίς χωρίσῃ ἑαυτὸν ἀπὸ τῶν ἀριστερῶν, καὶ γνῷ ἀκριβῶς πάντα τὰ ἁμαρτήματα ἃ ἐποίησεν εἰς Θεόν· ἐπεὶ οὐ βλέπει αὐτὰ ἂν μὴ χωρισθῇ ἀπ' αὐτῶν τῷ χωρισμῷ πικρίας· οἱ φθάσαντες οὖν τὸ μέτρον, αὐτοὶ εὗρον τὸν κλαυθμὸν καὶ τὴν δέησιν, καὶ τὸ αἰσχύνεσθαι ἐνώπιον τοῦ Θεοῦ, μνημονεύοντες τῆς πονηρᾶς φιλίας τῶν παθῶν· ἀγωνισώμεθα οὖν ἀδελφοὶ κατὰ τὴν δύναμιν ἡμῶν, καὶ συνεργήσει ἡμῖν ὁ Θεὸς κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ· καὶ εἰ οὐκ ἐφυλάξαμεν τὴν καρδίαν ἡμῶν, ὡς οἱ Πατέρες ἡμῶν· κἂν ποιήσωμεν κατὰ τὴν δύναμιν, τὰ μέλη ἡμῶν ἀναμάρτητα· καὶ πιστεύομεν ὅτι κατὰ τὸν καιρὸν τοῦ λιμοῦ τοῦ λαμβάνοντα ἡμᾶς, ποιήσει ὁ Θεὸς τὸ μεθ' ἡμῶν ἔλεος, ὡς καὶ μετὰ τῶν ἁγίων αὐτοῦ.

Hæc præcipit Abbas Isaïas. ,, cum quis abduxerit seipsum à viâ, quæ ducit in interitum, sinistrâ: & cognitis clarè, recensitisque peccatis, quæ in Deum commisit, omnibus: nondum tamen satis videt illa, & quàm sint noxia perpendit, si nondum ab iis recesserit eâ separatione quæ fit per pœnitentiam amaram. qui ad hunc gradum pervenerunt, ipsi invenerunt planctum, deprecationem, & confundi pudore coràm Deo in recordatione perversi amoris quo vitia sunt amplexi. certemus, Fratres, ex omni nostrâ virtute; & cooperabitur nobis Deus, secundùm multitudinem misericordiæ suæ. Et si non custodivimus cor nostrum, ut Patres nostri: saltem faciamus quantum possumus membra nostra impeccabilia: & confidimus facturum Deum misericordiam nobiscum in

„ tempore famis quæ comprehendit nos : sicut & fecit in San„ ctis suis.

Consolatur his Magnus hic Pater valdè infirmiores. multa est condescensio & benigna pietas talis Patris.

Παραμυθεῖται καὶ ἐνταῦθα ὁ μέγας πατὴρ οὗτος τοὺς λίαν ἀσθενεστέρους· πολλὴ ἡ συγκατάβασις καὶ εὐσπλαγχνία τοῦ τοιούτου πατρός.

Audiamus & Macarium ma„ gnum: Præcipuum intentum „ Athletæ spiritualis hoc est : „ ut ingressus in cor suum , „ bellum indicat Satanæ, exe„ crans ipsum ; & strenuè „ obluctās suggestionibus ejus, „ contrà ipsum pugnet. Si „ verò in speciem quidem , & „ quantum apparet , custodiat „ quis corpus à corruptione „ & fornicatione ; interiùs au„ tem adulteret & fornicetur „ assensu voluntatis arcano : „ nihil tali prodest carnem ha„ bere virginem. Scriptum „ enim est in Evangeliis: *Omnis* (Mat. v. 28.) „ *qui videt mulierem ad con*„ *cupiscendum eam , jam mœ*„ *chatus est eam in corde suo.* Est enim fornicatio per corpus „ consummata, est alia fornicatio perpetrata per animam adhæ„ rentem Satanæ.

Ἀκούσωμεν καὶ Μακαρίου τοῦ μεγάλου· τὸ καιριώτατον τοῦ ἀθλητοῦ, τοῦτό ἐστιν, ἵνα εἰσελθὼν εἰς τὴν ἑαυτοῦ καρδίαν, ποιήσῃ πόλεμον πρὸς τὸν Σατανᾶν, καὶ μισήσῃ αὐτόν· καὶ ἀντιπαλαίσας τοῖς διαλογισμοῖς αὐτοῦ, μαχεσθῇ αὐτῷ· εἰ δὲ ἐς τὸ φαινόμενον φυλάσσῃ τις τὸ σῶμα ἀπὸ φθορᾶς καὶ πορνείας· ἔσωθεν δὲ μοιχεύει καὶ πορνεύει τοῖς διαλογισμοῖς· οὐδὲν ὠφελεῖται ἔχων τὸ σῶμα παρθένον· γέγραπται γὰρ ἐν εὐαγγελίοις· πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· ἔστι γὰρ πορνεία διὰ σώματος ἐπιτελουμένη· καί ἐστι πορνεία ψυχῆς κοινωνούσης τῷ Σατανᾷ.

Videtur quidem Magnus hic Pater affirmare contraria dictis priùs memorati Patris Abbatis Isaiæ. Non est tamen ita. siquidem & hic , ut jubet Deus , commendat nobis ut

Δοκεῖ μὲν ὁ μέγας οὗτος Πατὴρ ἀντιφέρεσθαι τοῖς λόγοις τοῦ προλεχθέντος Πατρός, Ἀββᾶ Ἠσαΐου· οὐκ ἔστι δέ· κἀκεῖνος γὰρ, ὡς ζητεῖ ὁ Θεός, παρεγγυᾶται ἡμῖν φυλάσσειν τὰ σώματα ἡμῶν· ζητεῖ δὲ τὴν

σωμάτων καὶ τῶν πνευμάτων καθαρότητα· καὶ οὕτως ἀπὸ τῶν εὐαγγελικῶν προσταγμάτων ἡμῖν ὑποτίθεται.

præservemus à corruptione corpora nostra: quærit autem præterea puritatem spiritus, & affectuum voluntatis. & quod in hâc parte præcipit, ex Evangelicâ trahit lege.

Διάδοχος δέ φησιν· ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ· ἐκδημεῖ πάντως τοῦ βίου τῶν ὡραίων· πνεύματι γὰρ περιπατῶν, τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται· ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τὰς περιπάτους αὐτοῦ ποιεῖται, αὐτὰς ὥσπερ τὰς ἀρετὰς πυλωροὺς ἔχων τοῦ τῆς ἁγνείας πολίσματος· διὸ δὴ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων τότε γίνονται μηχαναὶ ἐπ' αὐτῷ.

Diadochus vero ait: qui habitat in suo corde, intrà illud penitùs immigrans, peregrinatur & longè disjunctus vivit ab omnibus in vitâ speciosis. Spiritu enim ambulans Carnis desideria nosse non potest. De cætero quippe intrâ munitissimam inaccessamque vitiis, virtutum arcem ambulationes suas facit: virtutes ipsas invictas custodes præ se habens quasi urbis cujusdam suæ pudicitiæ. quare machinæ Dæmonum istam urbem oppugnantium, vanæ irritæque fiunt.

Καλῶς εἶπεν ὁ ἅγιος· ὅτι ἄπρακτοι μένουσιν αἱ τῶν ἐχθρῶν μηχαναὶ ὅτε δηλονότι ἐν τῷ βάθει τοῦ τῆς καρδίας ἡμῶν διατρίβομεν· καὶ τοσοῦτον πλέον, ὅσον ἐκεῖ ἐγχρονίζειν μέλλομεν· ἀλλ' ἐπιλείψει με ὁ χρόνος διηγούμενον τῷ παρόντι διηγήματι τῶν πατέρων πάντων καταλέγειν τοὺς λόγους πρὸς πίστιν τῶν ἐντυγχανόντων· διὸ ἑνὸς ἢ καὶ δύο ἐπιμνησθεὶς πρὸς τὸ τέλος τοῦ λόγου ἐπείξομαι.

Rectè dicit hic Sanctus: effectu cassas manêre Hostium nos oppugnantium machinas, quandò nos scilicet in profundo cordis nostri habitamus attenti ac vigiles ei defendendo: idque tantò perfectiùs securiùsque perficimus, quantò diutiùs & perseverantiùs in tali statione, cum eâ quæ dicta est, obnixæ virtutis acrimoniâ, perduramus. verùm tempus me deficeret si vellem hâc narratione recensere ad fidem dicto meo adstruendam cuncta SS. Patrum quæ hùc pertinent,

dicti. Itaque uno tantùm adhuc & altero memorato, finem faciam dicendi.

„ Isaac Syrus hæc dicit: „ Stude intrare in receptaculum intimum tibi: & videbis receptaculum cœleste. „ Unum enim idemque est „ hoc & illud: & uno ingressu vides utrumque. Scala „ quoque quâ conscenditur in „ istam regiam intra te est abscondita in animâ tuâ. Baptiza igitur teipsum & largâ „ infusione cujusdam aquæ lustralis abrade ex imo animæ lutum omne ac fæces peccati. eo in loco sic deterso gradus „ invenies per quos possis ascendere quò dixi.

Ἰσαὰκ ὁ Σύρος τάδε λέγει· Σπούδασον εἰσελθεῖν εἰς τὸ ταμεῖον τὸ ἔνδοθέν σου, καὶ ὄψει τὸ ταμεῖον τὸ οὐράνιον· ἓν γάρ ἐστι τοῦτο κἀκεῖνο· καὶ ἐν μιᾷ εἰσόδῳ θεωρεῖς ἀμφότερα· ἡ κλίμαξ τῆς βασιλείας ἐκείνης ἔνδοθέν σου ἐστὶ κεκρυμμένη ἐν τῇ ψυχῇ σου· βάπτισον οὖν σεαυτὸν ἐκ τῆς ἁμαρτίας, καὶ εὑρίσκεις ἐκεῖ ἀναβάσεις ἐν αἷς ἀναβαίνειν δυνήσῃ.

„ Carpathij. multo & certamine & tempore opus est „ in orationibus. ut inveniamus in imperturbabili mentis „ statu alterum quoddam corde nostro inclusum Cœlum, „ ubi habitat Christus, ut ait „ Apostolus, *An nescitis quod* „ *Christus habitat in vobis. nisi forte reprobi estis.*

II. Cor. xiij. 5.

Τοῦ Καρπαθίου· Πολλοῦ ἀγῶνος καὶ χρόνου χρεία ἐν ταῖς προσευχαῖς· ὅπως εὕρωμεν ἐν τῇ ἀπαρενοχλήτῳ τῆς διανοίας καταστάσει ἕτερόν τινα ἐγκάρδιον οὐρανόν, ἔνθα οἰκεῖ ὁ Χριστός, ὥς φησιν ὁ Ἀπόστολος· ἢ οὐκ ἐπιγινώσκετε ὅτι ὁ Χριστὸς οἰκεῖ ἐν ὑμῖν· εἰ μή τι ἀδόκιμοί ἐστε.

Symeonis Junioris Theo„logi, Securitatem invenit Diabolus, & ejus Ministri, ex „ quo à Paradiso & à Deo „ exterminavit hominem, con„ cutiendi turbandique par„ tem rationalem cujuscum„ que hominis, tam nocte „ quam die spiritualiter intel-

Συμεῶνος τοῦ νέου Θεολόγου· Ἄδειαν εὗρεν ὁ Διάβολος μετὰ τῶν αὐτοῦ ὑπηρετῶν ἀφ' οὗ τοῦ παραδείσου καὶ τοῦ Θεοῦ ἐξόριστον εἰργάσατο τὸν ἄνθρωπον, τὸ λογιστικὸν παντὸς ἀνθρώπου σαλεύειν, καὶ ἐν νυκτὶ καὶ ἡμέρᾳ νοητῶς, τοῦ μὲν ἐπιπολὺ τοῦ δὲ ἐπ' ὀλίγῳ, καὶ ἄλλου ἐπὶ πλέον· καὶ οὐκ ἄλλως δύναταί τις ὀχυρω-

θῆναι τοῦτο, ἡ μνήμη θανάτου καὶ Θεοῦ διηνεκής· ὡς ἂν τῇ δυνάμει τοῦ σταυροῦ τυπωθεῖσα ἡ καρδία τῇ θείᾳ μνήμῃ πρὸς τὸ ἀσάλευτον στερεωθῇ· εἰς τοῦτον γὰρ φέρει τὰ τοῦ νοητοῦ ἀγῶνος ὃν ἕκαστος ἀγωνίσασθαι πρὸς τὸ στάδιον τῆς Χριστοῦ πίστεως ἐνεδύσατο· εἰ δὲ μή, μάτην ἀγωνιεῖται· τούτου τοῦ ἀγῶνος ἕνεκεν ἡ πᾶσα καὶ ποικίλη παντὸς κακοπαθοῦντος διὰ τὸν Θεὸν ἄσκησις· ἵνα τις κλέψῃ τὰ σπλάγχνα τοῦ ἀγαθοῦ, καὶ δώσῃ πάλιν τὸ πρέπον ἀξίωμα τούτῳ, καὶ σφραγισθῇ τῷ λογιστικῷ Χριστός· καθὼς λέγει ὁ Ἀπόστολος· τεκνία, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

lectis: hoc est, tam tempore desolationis, quàm consolationis: cujusdam quidem in multis, cujusdam in paucis: alterius importuniùs & vehementiùs. Neque adversùs hos insultus aliud munimentum est, quàm memoria continua & mortis & Dei. quâ fiet, ut virtute crucis consignatâ mens divinarum vivâ recordatione rerum ad immobilitatem solidetur. ad talem enim contendit palmam spirituale certamen, ad quod nos decertandum in Christi stadio, fidei armaturam induimus. quâ qui non fuerit instructus, sine vincendi successu pugnabit. Hujus præmij spes, tota causa est variæ ac multiplicis in vitæ religiosæ duritie propter Deum susceptâ exercitationis spiritualium Athletarum. id scilicet unicè spectantium, ut pro se quisque horum, quodammodo furetur, hoc est, quavis arte, quove conatu in se vertat atque attrahat boni Dei visceralem misericordiam. Eidemque vicissim reddat quam ejus summa dignitas meretur, infimam sui subjectionem ac venerationem. ita ut quasi sigillum imprimatur Christus in rationali parte ipsius. prout dicit Apostolus: *Filioli quos iterùm parturjo donec formetur Christus in vobis.* Gal. iv. 19.

Κατεμάθετε ἀκριβῶς ἀπὸ τῶν πατρικῶν ῥήσεων ὡς ἐστιν ἡ πνευματικὴ πορεία τέχνη καὶ μέθοδος ταχέως εἰς ἀπάθειαν καὶ θεοπτίαν τὸν ταύτης ἐργάτην ἀνάγουσα· πεπληροφόρησθε πῶς πᾶσα πρακτική, ὡς φύλλα δένδρον χωρὶς καρποῦ

Didicistis planè ex his Patrum sententiis: spiritualem viam, artem esse ac Methodum celeriter perducentem eum qui illâ utitur, ad sublimem imperturbabilitatis ac Dei visionis statum. Persuasi prorsùs

estis: omnem merè externam operationem, non alio apud Deum loco censeri, quàm ut arborum fructu carentium folia. prætereáque omnem animam non exactè vigilantem in mentis custodiâ, in vanum currere. Omni ergò studio caveamus; ne sine fructu in morte deprehensi, inutili æternum pœnitudine cruciemur.

λελόγισται τῷ Θεῷ· καὶ ὅτι πᾶσα ψυχὴ μὴ ἔχουσα τοῦ τήρησιν, εἰς κενὰ ταῦτα αὐτῇ ἐπιτήδευται· οὐκοῦν σπεύσωμεν, ἵνα μὴ ἄκαρποι τελευτήσαντες, μεταμεληθῶμεν ἀνόνητα.

Ex hactenus scriptis manifestum & in confesso cunctis nobis est, & quæ sit praxis placentium Domino: & esse quamdam operandi rationem, quæ vitia ex animâ velociter expellat; alligans ipsam Charitati Dei: quæ ars ratiove operandi sit omni sub Christo militanti necessaria: Tribus his satis cognitis, unum restat inquirendum: quid sit ea res quam *prosochen*, sive *attentionem* vel *advertentiam* vocamus? Id porrò & nos discere cupimus; utique qui nos ejus rei prorsùs expertes sentiamus. Hoc igitur, in nomine Domini Nostri Jesu Christi, qui dixit: sine me nihil potestis facere, ipsum adjutorem & cooperatorem invocans, quantum possum conabor demonstrare, clarè docendo quid sit *prosoche*, & quomodo quis eam Deo volente perfectè exerceat.

Ὅτι μὲν ἀπὸ τοῦ νῦν συγγράμματος γινώσκομεν, τίς ποτ᾽ ἦν ἡ πρᾶξις τῶν εὐαρεστησάντων τῷ Κυρίῳ, καὶ ὅτι ἐστί τις ἐργασία ἡ τὰ πάθη ἀπὸ τῆς ψυχῆς ταχέως διώκουσα, καὶ τῇ τοῦ Θεοῦ ἀγάπῃ αὐτὴν συνδέουσα, εἰς χρεὼν παντὶ τῷ τῷ Χριστῷ στρατευθέντι· οὐδὲ ἡμεῖς ἀμφιβάλλομεν, ἀλλὰ καὶ λίαν πεπείσμεθα· τί δὲ ἐστι προσοχὴ, καὶ πῶς ἀξιοῦταί τις ταύτην μαθεῖν, δυσωποῦμεν καὶ αὐτοὶ μαθεῖν· εἰς ἄπειρον γὰρ τοῦ τοιούτου πράγματος ἐσμὲν ἀκμήν· ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος· χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδὲν, τοῦτον βοηθὸν καὶ συνεργὸν ἐπικαλεσάμενος τὸ κατὰ δύναμιν ὑποδεῖξαι πειράσομαι, τί ἐστι προσοχὴ, καὶ πῶς αὐτὴ, Θεοῦ θέλοντος, κατορθωθείη.

Prosochen Alij Sanctorum mentis observationem dixerunt:

Τὴν προσοχὴν οἱ μὲν τῶν ἁγίων νοὸς τήρησιν ἔφησαν· ἄλλοι

οἰκῶν τὴν τοῦ ἁγίου φήμην μεγάλην παρὰ πᾶσιν ἀκούων, περί τε τῆς ἀσκήσεως αὐτοῦ καὶ τῆς ἀκριβοῦς πολιτείας, τοῦ ἀκατασκευάστου, καὶ ἀκαλλοῦς βίου, καὶ τῆς ταπεινώσεως· τότε οὕτως αὐτὸν ὀψικευόμενον ἰδὼν, καὶ ὑπὸ τῶν ἀρχόντων δορυφορούμενον, ἔπαθέ τι ἀνθρώπινον· ψευδῆ τὰ φημιζόμενα ὑποτοπάσας· οὐ γὰρ ἄν ποτε ὁ ἐν τοσαύτῃ δόξῃ καὶ δορυφορίᾳ ὢν, καὶ ἀρετῶν ὧν ἀκήκοα ἐργάτης εἶναι νομίσαιτο. οὕτως ὁ μοναχὸς λογισμοὺς ἔχων, ἑσπέρας καταλαβούσης εἰς ὕπνον ἐτράπη· καὶ παραυτίκα ὄνειρος αὐτῷ παρίστατο τοιοῦτος· ἐδόκει γυναῖκα ὁρᾶν· τῷ κάλλει ὑπεραστράπτουσαν, σχῆμα πορφυροῦν ἀναβεβλημένην, καὶ ἱσταμένην αὐτοῦ, καὶ τὰ τοῦ λογισμοῦ ὀνειδίζουσαν. Καὶ, τί μὴ ἀπελθὼν προσεκύνησας τὸν ἐρημίτην μου; λέγουσα. τοῦ δὲ πρὸς τὴν ὄψιν ἐκπλαγέντος· ὑπὸ δὲ τοῦ σχήματος καὶ τῆς ἐκεῖθεν ἐκπεμπομένης χάριτος τὴν ἁγίαν Θεοτόκον εἶναι αἰσθόμενος, σὺν φόβῳ πολλῷ καὶ δέει πρὸς αὐτὴν ἀπεκρίνατο· καὶ τίς, ὦ δέσποινα, ὁ σὸς ἐρημίτης ὑπάρχει; ἡ δὲ πρὸς αὐτόν· ὁ νυνὶ τῇ πόλει ταύτῃ ἐπιδεδημηκὼς μοναχὸς Βαρθολομαῖος· ἐγὼ γὰρ τοῦτον ἐρημίτην καὶ ἔχω καὶ ἀποκαλῶ. οὕτως ὁ μοναχὸς ἀκούσας, ἔξυπνός τε γενόμενος, καὶ τὸ ὁραθὲν συγκρίνας, σπουδῇ,

πρὸς τὸν ἅγιον παραγίνεται, τά τε λογισμοῦ τε αὐτῷ ἀνακαλύπτει, καὶ τὰ τῆς ὀπτασίας ἀπαγγέλλει· συγγνώμην τε αἰτήσας καὶ λαβὼν, οἴκαδε χαίρων ὑπέστρεφε. Καὶ ὁ μὲν Μοναχὸς τῇ ἐπιστασίᾳ τῆς ἁγίας Θεοτόκου πληροφορηθεὶς, τῇ πρὸς τὸν ἅγιον προτέρᾳ πίστει καὶ ὑπολήψει ἔχετο· ὁ δὲ τῆς Γαΐτας ἄρχων οὐ μόνον τῶν δεσμῶν ἀνείθη, καὶ τῆς φρουρᾶς· ἀλλὰ καὶ ἑτέρας ἀρχῆς ἐξουσίαν παρὰ τοῦ Πρίγκιπος, ταῖς μεσιτείαις τοῦ ἁγίου ἐδέξατο· καὶ οὕτω μετὰ χαρᾶς ἐν τοῖς ἰδίοις ὑπέστρεφε δοξάζων Θεὸν, καὶ τὸν ὅσιον αὐτοῦ πλεῖστα ἀπευχαριστῶν.

bitu', effulgentibusque gratiæ radiis Sanctam illam esse Deiparam intelligens, cum metu tremoreque multo ipsi respondit. *Et quis, ô Domina, tuus iste quem memoras Eremita est?* Cui illa; *qui in hanc urbem modò advenit Monachus Bartholomæus; Hunc ego Eremitam & habeo, & voco.* His Monachus auditis expergiscens & considerata visione, certis eam signis probam, miniméque illusionis suspectam agnoscens, ad Sanctum se confert, ac quid de illo perperam cogitasset ultrò fassus, visum sibi oblatum quo esset correctus aperuit, veniaque & suppliciter petita, & facillimè impetrata, ad suum se gaudens habitaculum recepit. ac Monachus quidem apparitione, ac testimonio Sanctæ Deiparæ persuâsus, quam priùs habuerat de Sancto existimationem plenâ fide resumpsit. Dominus verò Cajetæ, non modò vinculis, custodiaque liberatus est, sed & alterius Principatus potestatem, intercessione Sancti accepit, & sic cum gaudio in propria rediit glorificans Deum, Sanctoque ipsius prolixas affectu maximo gratias referens.

Προσκείσθω δὲ πρὸς πληροφορίαν τῶν λεγομένων καὶ ὁ σχολαστικὸς Ἰωάννης τὰ εἰρημένα βεβαιῶν, καὶ τὴν πρὸς τὸν ὅσιον ἀγάπην τῶν ἁγίων ἐυφαίνων. οὗτος ἐκ τῆς νήσου τῆς Σικελίας ὁρμώμενος, τῶν ἀρετῶν τε καὶ τῆς εὐφυΐας καὶ λογιότητος τοῦ ἁγίου κατήκοος ὢν, ἐπεπόθει καὶ ὄψιν ἐκείνου ἰδεῖν, καὶ

Adjungatur ad pleniorem persuasionem eorum quæ dicimus, & Scholasticus Ioannes hactenus narrata firmans; & Sanctorum erga venerabilem Patrem dilectionem testificans. Hic solvens ex insula Siciliâ, oriundus indè, de virtutibus, benigna indole, sacra

eruditione Sancti famæ Testimonio audito creditoque cupiebat faciem ejus videre, colloquioque dignari, ac precum coram imploratatum fieri particeps. Consilium ergo in opus conferens itineri se dat, & paucis diebus ad Monasterium pervenit. Ibique abundè fruitus optatis, ac spem infra rem fuisse, suavissima convictus experientiâ, profitens, Romam usque ulterius progredi decrevit, & Principum Apostolorum Petri, ac Pauli sacras memorias venerari, quod & fecit. Veneratus igitur, & diebus non multis Romæ moratus: quod haud sibi visus illic esset iis à sancto cultus hospitalis caritatis officiis quæ speraverat, Deo credo sic permittente, ut ea occasione palàm ipsi Ioanni, & per eum, mundo fieret, quanta vir venerabilis apud Sanctos Apostolos esset in gratiâ) inofficiosæ duritiei Sanctum accusans, Domum regredi ipso insalutato, ac, non impetrato precum eius viatico, repetere Patriam statuit. Navi ergo conscensa viam iniit. Sic ille quidem & decreverat, & agebat. Divina verò providentia novi aliquid molicbatur,

λόγων ἀπολαύσαι τῆς αὐτοῦ καὶ εὐχῶν· τὸ βουλευθὲν οὖν εἰς ἔργον διαπεράνας, ὁδοῦ εἴχετο, καὶ τὸ μοναστήριον ἐντὸς ὀλίγων ἡμερῶν κατέλαβε· τοῦ ποθουμένου τε ὡς ἐφετὸν ἀπολαύσας, καὶ ὑπὲρ τὴν φήμην μᾶλλον ἰδὼν τὰ ἐλπιζόμενα, καὶ πρὸς τὴν Ῥώμην ἀπάραι ἐβουλεύσατο, καὶ τοῖς κορυφαίοις τῶν ἀποστόλων Πέτρῳ καὶ Παύλῳ προσκύνησιν ἀπονεῖμαι· ὃ δὴ καὶ πεποίηκε· προσκυνήσας οὖν καὶ ἡμέρας οὐ συχνὰς ἐν Ῥώμῃ διατρίψας, ἐπεὶ μὴ τῆς παρὰ τοῦ δικαίου τυχὼν προνοίας καὶ ἐπισκέψεως, ἐξ οἰκονομίας ἴσως θειοτέρας. ὅπως καὶ ἣν εἶχον οἱ ἅγιοι ἀπόστολοι πρὸς τὸν δίκαιον ἀγάπην, καὶ τῷ κόσμῳ τούτῳ ἐνδημοῦντος κατάδηλος γένηται, ἀσπλαγχνίαν τῷ ἁγίῳ κατέγνω· καὶ πρὸς τὰ οἰκεῖα συνταγῆς ἄτερ καὶ εὐχῆς τύπου παλινοστῆσαι διενοήθη. πλοίου οὖν ἐπιβὰς ὁδοῦ ἥπτετο. ἀλλ᾽ ἐκεῖνος οὕτω μὲν ἐβουλεύσατο καὶ ἐποίει· ἡ δὲ Πρόνοια ἕτερα ποικίλλουσα ἦν· ὡς γὰρ τῷ πελάγει ἡ ναῦς προσώρμησεν, ἐναντίος ἄνεμος ἐπελθὼν ἄλλοις ἀλλαχόθεν τόποις ταύτην ἠμείβετο. ἐν ἱκαναῖς δὲ ἡμέραις τούτου ἐν τῷ πελάγει κακῶς περιφερομένου, στένωσις καὶ ἀπορία πάντοθεν τοῦτον ἐλάμβανεν· οὐδὲ γὰρ ἕτερον ἦν τὸ προσδοκώμενον ἢ ὁ δι᾽ ὕδατος θάνατος. ὅπως οὖν ἐν

ἀμηχανίᾳ καὶ σκοτοδινίᾳ πλεόντων ναῦς ἑτέρα φαίνεται πλησιάζουσα τούτῳ· ἐρωτήσας δὲ καὶ μαθὼν Ἀμαλφηνοὺς εἶναι, πρὸς τὴν Ῥώμην δὲ τὸν ἀπόπλουν ποιεῖσθαι· δυσωπεῖ συμπαραλαβεῖν καὶ αὐτόν· οὗ γενομένου καὶ καλῶς ἐκείνων πλευσάντων, καὶ τῷ λιμένι τῆς Ῥώμης προσορμησάντων, τοῦ πλοίου Ἰωάννης ὁ σχολαστικὸς ἐξελθών, ἐν τόπῳ τινὶ παραθαλασσίῳ ἠρεμίας καὶ ἀναπαύλης ἐτύγχανεν ἀδολεσχῶν καὶ ἀχθόμενος, καὶ τί πράξει διαπορούμενος· ἀσπαλλόντι οὖν αὐτῷ καὶ τὴν ψυχὴν παθαινομένῳ ἄνδρες δύο ἐπιφαίνονται ἐπὶ τοῦ ὕδατος τῆς θαλάσσης, καὶ πρὸς αὐτὸν ἐρχόμενοι, οἳ καὶ τοῖς ἁγίοις καὶ κορυφαίοις τῶν ἀποστόλων Πέτρῳ καὶ Παύλῳ ἐῴκεσαν· ἐγγύς τε γενόμενοι, χαίροις, εἶπον, ἑταῖρε· πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ πῶς μονώτατος ἐνταυθοῖ κατάκεισαι; ὁ δὲ σὺν φόβῳ τά τε πραχθέντα, καὶ συμβησόμενα ἀπήγγειλεν· οἱ φαινόμενοι δὲ τῆς ἀβουλίας αὐτῷ, ὡς δῆλον, ἐπονειδίζοντες, ἔλεγον· οὐ καλῶς τῇ βουλῇ ἐχρήσω. διὰ τί γὰρ μὴ ἀπελθὼν ταῖς εὐχαῖς τοῦ πατρὸς ἐφοδιάσθης Βαρθολομαίου; ὅπως γὰρ σὺν τάχει καὶ χαρᾷ ἐν τοῖς οἰκείοις ἀπέπλευσας. ὁ πρὸς τὸ τῶν ἀνδρῶν ὑπέρλαμπρον καταπλαγείς· ὑμεῖς δὲ τίνες ἐστέ, ὦ Κύριοι; σὺν φόβῳ ἤρετο· εὐθὺς

Ut enim in altum progressa navis est, adversus ventus contrà ingruens alios eam ex aliis per vices mutare coëgit locos. Diebus aliquot ea jactatio duravit : errantemque sic illum, ac temerè circumlatum vasto Pelago, angustiæ ac tædium ærumnosum subit; quin & metus anxius. nihil enim ipsi verisimilius expectabatur quàm demersio, & mors in aquis. Tali vice rerum, nautis miseris inopia consilij sub ictu procellæ inter caliginem voricosam laborantibus, navis apparuit cursum contrarium tenens feliciùs : quam cum Ioannes sibi propiùs admotam cerneret, & ab ejus vectoribus interrogatis cognovisset, esse ipsos Amalphenses, qui Romam tenderent; oravit se quoque assumere ne gravarentur. quo impetrato, & cunctis fœlici navigatione in Romæ Portum appulsis, egressus nave Ioannes Scholasticus in quodam loco mari vicinō requiem è jactatione, & nausea præteritis captabat, mente revolvens quæ acciderant, ægerque animi, ac quid deinceps ageret incertus. Mœsto igitur ipsi, ac fluctuantem frustra conanti mentem cōponere;

duo viri apparent super aquam maris ad ipsum accedentes, qui & Sanctis Principibus Apostolorum Petro, & Paulo videbantur similes. Hi cum propè accessissent, *salve*, inquiunt, *Amice, unde venis, & quo vadis, & cur solus hic desides?* ille autem cum metu quid egisset, quidque pararet aperuit. quibus illi auditis, imprudentiam ipsi exprobrarunt, aientes, *malo consilio usus es. quid enim attinuit abire te ac mari committere, non priùs imploratis Patris Bartholomæi precibus, quæ tibi attulissent certum viæ præsidium. his enim instructus, citò, securè, & cum gaudio Domum renavigasses.* Ad ea Ioannes magis magisque splendore Virorum propiùs aspecto stupefactus: *vos verò Domini quinam estis?* timidè ac reverenter percontatus est. cui subitò unus ipsorum dextera extensa Sancti Apostoli Pauli Templum ostendit, simul dicens: *mihi propria est magna illa Domus.* Alter verò versùs Romam digito extenso Templum in eâ eminens S. Petri monstravit: *Mihi*, dicens, *Ædes illa magna sorte obtigit.* Sic loquuti ex oculis evanuerunt. ut igitur & ex forma atque habitu, & ex sermone illorum Principes Apostolorum ipsos esse cognovit, altiùs consideratis illorum verbis, quid jam ea significarent intelligens, Romam iterùm se confert, & Sancto cuncta per Epistolam manu sua scriptam indicat, veniamque omissæ in digressu salutationis, & neglecti Amicitiæ officij supplex poscit, implorans eius preces, quibus suus in Patriam reditus fortunaretur, quæ omnia ubi se

ὧν ὁ μὲν εἰς τὴν δεξιὰν ἐκτείνας χεῖρα τὸν τοῦ ἁγίου ἀποστόλου Παύλου ναὸν ὑπεδείκνυεν· ἐμοὶ, λέγων, ἐκεῖνος οἶκός ἐστιν· ἕτερος δὲ πρὸς τῇ Ῥώμῃ δακτυλοδεικτῶν, τὸν τοῦ ἁγίου Πέτρου ναὸν, ὑπεσήμαινεν· ἐμοὶ, λέγων, ὁ μέγας ἐκεῖνος ἀποκεκλήρωται οἶκος. οὕτως εἰπόντες, ἐξ ὀφθαλμῶν αὐτοῦ ἐγένοντο· ὡς δὲ ἔκ τε τοῦ σχήματος καὶ τῶν λόγων, τοὺς Κορυφαίους τῶν ἀποστόλων εἶναι ἐπέγνω, ἐν τῷ τὰ παρ' αὐτῶν λαβὼν, καὶ τί βούλεται τὰ λεχθέντα συνείς, τὴν Ῥώμην καὶ αὖθις καταλαμβάνει· καὶ τῷ ἁγίῳ ἅπαντα κατάδηλα διὰ γραφῆς ἰδιοχείρου ποιεῖ, συγγνώμην τε τῆς σφαλείσης ἐννοίας ζητεῖ· καὶ τὴν πρὸς τὰ οἰκεῖα μετ' εὐχῆς ἐπάνοδον, ἐξαιτεῖ· ὧν καὶ τυχὼν, χαίρων, καὶ εὐθυπλοῶν πρὸς τὰ οἰκεῖα ἐφέρετο.

impetrasse intellexit ex benigno, & perofficioso Sancti Patris responso, gaudens, & feliciter navigans, iter in Patriam intendit.

Τῆς οὖν τοῦ ἁγίου φήμης πανταχόσε διαδοθείσης, καὶ ἀπείρου πλήθους καθ' ἑκάστην συῤῥέοντος· καὶ τῶν μὲν τῷ λόγῳ τῆς χάριτος τρεφομένων· τῶν δὲ καὶ τὰς σωματικὰς χρείας ἀφθόνως ποριζομένων· ἀμφοτέρων δὲ κατ' ἄμφω στηριζομένων, ἔδει καὶ αὐτὸν ἄνθρωπον ὄντα ἐλεγχθῆναι. Λιμοῦ γάρ ποτε γενομένου· καὶ πρὸς τὴν μονὴν πάντων τῶν τε αὐτοχθόνων καὶ τῶν ἐπιδημούντων ξένων ὥσπερ ἐπὶ λιμένα καταφευγόντων· τῶν τῆς μονῆς δὲ εἰς ἄκρον στενωθέντων· γίνεται γὰρ καὶ τοῖς δικαίοις ἐγκατάλειψις, κρίμασιν οἷς οἶδεν ὁ πάντα ἐφορῶν ὀφθαλμός· πλῆθος λαοῦ ἰδὼν ὁ μακάριος· τροφῶν δὲ σωματικῶν τὴν μονὴν ἀποροῦσαν· οἵ τε γὰρ σιτῶνες ἐξέλιπον τῇ πολυπληθείᾳ τῶν προσερχομένων· τῶν πρὸς ὄνησιν δὲ ἅμα τοῖς γεωργίοις ἐκλελοιπότων, τῶν φίλων τε πρὸς τὸ ἐπικουρεῖν ἀτονησάντων· μὴ φέρων ὁ τοῦ Θεοῦ ἄνθρωπος ψυχὰς τεθλιμμένας καὶ καταπεπονημένας τῇ τοῦ λιμοῦ ἐπηρείᾳ ὁρᾷν, φυγεῖν βούλεται· ὃ δὴ καὶ πεποίηκε, τὴν ἐπὶ Ῥώμην φέρουσαν μεθ' ἑτέρων δύο μοναχῶν ἐπιλαβόμενος· ἀλλὰ τίς σου Χριστὲ τὰ θαυμάσια μὴ ἐκπλαγείη; καὶ τῆς ἐπὶ τῶν ἀπόρων μετὰ σοφίας τῆς

Sancti ergo famâ in omnem latè diffusa partem, & innumerabili ad eum multitudine quotidiè confluente, quorumdam, spirituale gratiæ alimentum ex ipso percipientium; Aliorum, quæ ad corporeas necessitates opus erant abundè largientium: utrisque, per diversa licet inter se ambo illa opera, suarum firmamentum Animarum stabilientibus; oportebat, & ipsum esse, qualis erat, & hominem in aliquo deprehendi. Fame siquidem aliquando grassante: confugientibusque ad Monasterium tamquam ad Portum cunctis æquè Advenis Indigenisque promiscuè, unde brevi exhaustis Monasterij copiis, summæ illic angustiæ rerum erant (nam & justi ad tempus derelinquuntur; judicijs quorum causas solus videt cunctis invigilans oculus) multitudinem Populi videns Beatus, Monasterium autem alimentorum corporeorum inopiâ laborans, quippe horrea defecerant expenso in pascendos qui primi venerant famelicos tritico; & herbæ, ac fructus, quæque alia panis

defectum supplent, eâdem quæ segetes peremerat, siccitate perierant. Amici verò ne auxiliari possent propriâ impediebantur penuriâ. Non sustinens homo Dei videre animas angustiatas, & otiosus esse testis tabescentium famis diritate humanorum omnis ætatis corporum: fugere decrevit, quod & fecit; iter Romam versus cum duobus Monachis capessens. Sed quis ad tua Christe mirabilia non obstupescat? modos præsertim inopinatos videns, quibus tua sapiens Providentia extremis necessitatibus citò subvenit; cumulatâ insuper usque ad redundantiam copiâ bonorum. Viâ igitur cepta pergenti Romam versùs Beato, vehemens dormiendi necessitas incidit: quâ coactus dixit comitibus Monachis: Providete mihi locum extrà viam aptum, ubi paululum obdormiscam. quo facto, simul sopor ibi jacentem comprehendit Beatum, somnium ipsi Divinum objicitur, cujus erat hæc species: videbatur sibi videre venerabilem quemdam Sacerdotem stolâ indutum Pontificiâ, leniter minaci adstantem vultu, increpantem quod fugisset, redireque in Monasterium jubentem, ac ineffabilis Dei miserationibus fidere, neque irritare per pusillanimitatem eum qui manum aperit, & implet omne animal benedictione. Videbatur is Antistes esse magnus Gregorius Dialogus: qui & olfactoriolum quodpiam manu tenens Beato dedit, miram quamdam Ambrosij odoris suavitatem halans.

προνοίας λυσιέντε καὶ ἐπίδοσιν; ὁδεύοντι τοιγαροῦν τῷ μακαρίῳ νυσταγμὸς λέγεται συμβῆναι· καὶ τοῖς ἀμφ' αὐτὸν· μικρὸν τῆς ὁδοῦ ἐκκλίναντες, εἶπεν, ὑπνῶσαι με παρασκευάσατε· οὗ δὴ γενομένου, καὶ τοῦ μακαρίου ἐπ' ἐδάφους ὑπνώττοντος· ὄνειρος αὐτῷ παρίσταται θεῖος. ὁ δὲ ὄνειρος τοιαύτην εἶχε τὴν ὄψιν· ἐδόκει τινὰ ἱεροπρεπῆ ὁρᾶν στολήν τε ἱερατικὴν ἠμφιεσμένον· παρεστάναι τε αὐτῷ, καὶ τὴν φυγὴν ἐπεγκαλοῦντα, καὶ ὑποστρέφειν ἐν τῷ μοναστηρίῳ παρακελευόμενον, τοῖς ἀφάτοις τοῦ Θεοῦ οἰκτιρμοῖς πεποιθότα, καὶ μὴ παροξύνειν δι' ὀλιγοψυχίας τὸν ὑπανοίγοντα χεῖρα καὶ ἐμπιπλῶντα πᾶν ζῶον εὐδοκίας· ἐῴκει δὲ μέγας Γρηγόριος οὗτος εἶναι ὁ διάλογος· ὃς καὶ ὀσφράδιόν τι ἐν τῇ χειρὶ τῷ μακαρίῳ δέδωκε ξένην τινὰ εὐωδίαν ἀποπέμπον.

Somno igitur cum admira-

Τοῦ ὕπνου οὖν σὺν θαύματι ἀνε-

θεὶς

θεὶς τὸ κελευσθὲν ἀδιστάκτως ἐποίει, καὶ ἐν τῷ μοναστηρίῳ ὑπέστρεφε χρηστῶν ἐλπίδων ἐμπεπλησμένος. ὑποστρέφων δὲ ὁρᾷ τινα τῆς ἄστεως Τουσκουλάνης κατερχόμενον καὶ πρὸς τὴν μονὴν ἀφικνούμενον· ὃν ἰδὼν, τοῖς συνοῦσιν ἠρέμα ἐπιστραφεὶς· οὗτός φησι εὐαγγέλια ἥκει κομίζων. καὶ γὰρ ἦν ἀληθῶς εὐαγγελιζόμενος, ἑκατὸν μοδίους σίτου παρὰ τοῦ ἄρχοντος δωρεῖσθαι τῷ μακαρίῳ· ἐκ τότε οὖν ἄνετον ἔχων τὴν χεῖρα, ἄφθονος ἦν χορηγὸς, Θεῷ πεποιθὼς, καὶ τῷ δι' ὄψεως αὐτὸν παραθαρρύναντι ἱεράρχῃ αὐτοῦ· ἀπόχρη δὲ ταῦτα πρὸς ἀπόδειξιν τῆς τε παρὰ τοῦ Θεοῦ πρὸς τὸν ὅσιον ἀγάπης, καὶ τῆς δόξης ἧ παρ' αὐτοῦ ἐδοξάσθη· καὶ οἵαν καὶ οἱ ἅγιοι πρὸς αὐτὸν εἶχον τὴν οἰκειότητα. ὁ δὲ λόγος βούλεται καὶ θαυμάτων ἐπιμνησθῆναι ὧν οὐ μόνον τῷ βίῳ περιόντος τοῦ μακαρίου ὁ Θεὸς δι' αὐτοῦ εἰργάσατο, ἀλλὰ καὶ ἐν τῇ πρὸς αὐτὸν ἐκδημίᾳ, καὶ μετὰ τῆς ἐκδημίας, πολλὴν ἔχοντα μετὰ τοῦ θαύματος καὶ τὴν πληροφορίαν.

tione ſolutus, quod juſſus erat nil dubitans cepit exequi; è veſtigio in Monaſterium revertens bonis ſpebus plenus, nondum pervenerat, cum ex ipſo cernit itinere deſcendentem quemdam ex urbe Tuſculana Monaſterium verſùs. quo viſo ad Socios ſedatè converſus. Hic, ait, felicem nuncium apportans venit. Veriſſimum id mox compertum eſt. nunciavit enim, centum modios frumenti à Principe donari Beato. ex tunc laxatâ manu largus fuit diſpenſator, Deo fretus & Sancto, ejus Antiſtite, qui ei per viſionem animos fecerat. Sufficiunt hæc ad demonſtrationem, & Dei amoris in Sanctum & gloriæ quâ ab ipſo glorificatus eſt, & intimæ quâ ſancti eum Cœlites dignabantur amicitiæ ac familiaritatis. Exigit autem ipſa narratio hîc adjungi commemorationẽ quoque miraculorum, quæ non ſolum ſuperſtite adhuc in vita Beato Deus per eum effecit, ſed & in ejus ad ipſum migratione, ac poſt eam, multam habentia cum admiratione credibilitatis autoritatem & fidei certitudinem.

Ἠλίας μὲν ὁ Θεσβίτης θαυμάζεται οὐρανοὺς κλείειν καὶ ἀνοίγειν λαχών· καὶ Γεδεὼν πειράζειν ἐπὶ πόκῳ καὶ ἅλωνι· πλὴν ὁ μὲν πρὸς λαοῦ ἀπείθειαν καὶ σκληροκαρδίαν·

Elias quidem Thesbites admirationi eſt quod ei contigit Cœlos claudere, & aperire, iv. Reg. c. xvii.
& Gedeon quod ipſi permiſſum Judic. c.
ſit pignus, ac experimentum vii.

Divinæ promissionis petitum accipere in areâ & vellere. Cœterum priori quidem id datum est ad castigandam, convincendamque Populi inobedientiam, & duritiem cordis; alteri verò in supplementum infirmitatis copiarum, quibus præerat, victoriæ de pluribus fortioribusque Hostibus reportandæ imparium: aut fortè ad mysticam significationẽ adumbrandam cujusdam Divinioris œconomiæ. Quiddam effectum à Sancto Patre fertur, nonnullam habens cum his convenientiam, prout sermo consequens docebit. Tempestas erat æstiva, imò æstatis ardentissimus cardo: & aream congesti frugum manipuli compleverant. frugum autem non sulcis adhuc stantium, vigoremque è terrâ matre trahentium, quas ideo spes esset si quo casu affligerentur posse restitui: sed jam demessarum, & flagello subjectarum ad excussionem grani, quæ differri nequiret. At, quales multæ solent insperatò contingere cœli mutationes, repentè accidit, concursus fieri nubium, turbinemque inter, ac tonitrua caligine aërem obduci. Nigro se pallio minax Cœlum induc-

ὃ δὲ δι' ἀσθένειαν παρατάξεως, καὶ θειοτέραν ἴσως οἰκονομίαν. οὐχ ἧττον δὲ καὶ τὸ ὑπὸ τοῦ ὁσίου πατρὸς πρὸς ἐμφέρειαν τούτων· καὶ ὅπως, ὁ λόγος δηλώσει. Καιρὸς θέρους ἦν, καὶ θέρους τὸ ἀκμαιότατον. καὶ ἡ ἅλως πυρῶν ἐπέπληστο, καὶ πυρῶν οὐχ ὑγιῶν καὶ ἐλπίδα ἐχόντων ἀνακλήσεως· ἀλλ' ἤδη κατακοπέντων, καὶ πρὸς χωρισμὸν τοῦ σίτου κατεπειγόντων· οἷα δὲ ὡς τὰ πολλὰ συμβαίνειν εἴωθεν, ἐξαίφνης συνδρομαὶ νεφῶν, λαίλαπές τε καὶ βρονταὶ καὶ σκότος τὸν ἀέρα ἐκάλυπτεν· ἐμελαίνετο μὲν ὁ οὐρανὸς, καὶ ὁ ὑετὸς ὅσον οὔπω προσδόκιμος ἦν, ἢ μᾶλλον καὶ ὑετίζειν τὰ κύκλῳ ὁρᾶτο· ἀθυμία δὲ τοὺς ἐργάτας καὶ λύπη δεινῶς κατέσχεν· ἐξ ὧν καὶ βλασφημίας, καὶ ἕτερα ἄττα τὰ ἐκ λύπης φθεγγόμενα· ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος, συμπαρῆν γὰρ καὶ αὐτὸς, τοὺς ἐργάτας ἐπιρρωννὺς, καὶ προθυμίαν διδοὺς τοῦ ἐργάζεσθαι· πρῶτα μὲν λόγοις παραινετικοῖς τῶν τοιούτων ἀπεστόμει λόγων, καὶ τὴν ἀθυμίαν κατέψα· ἔπειτα καὶ πρὸς ἄριστον αὐτοὺς ἐκκαλεῖται. ἀπέλθετε, λέγων, ἀριστήσατε τέκνα, καὶ Κύριος ποιήσει τὰ ἐλέη αὐτοῦ μεθ' ἡμῶν· οὕτως τοὺς ἐργάτας προπεμψάμενος, καὶ μεθ' ἑνὸς ἐν τῇ ἅλῳ ὑπολειφθεὶς, γόνυ μὲν πρὸς ἀνατολὰς ἔκλινε· τοῖς

χείλεσι δὲ ὑποψιθυρίζων σὺν δάκρυσιν ἵλεων τὸν Θεὸν γενέσθαι ἱκέτευε, καὶ ὑετὸν παρενεχθῆναι ἐπὶ βλάβῃ καὶ ἀπωλείᾳ καρπῶν ἐπερχόμενον. τί οὖν ὁ ταχὺς πρὸς ἐπικουρίαν, καὶ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν; ἆρα παρήκουσε τοῦ αὐτοῦ θεράποντος; ἢ ἐβράδυνε τοῦ εἰσακοῦσαι; οὐ μὲν οὖν· ἀλλὰ θαῦμα παλαιὸν ἐνταῦθα καινίζων ἦν· ὁ γὰρ ὑετὸς, ὥσπερ ἐξ ἐπιτάγματος τοῖς κύκλῳ μὲν ῥαγδαῖος ἐφέρετο, τῇ ἅλωνι δὲ τοῦ δικαίου οὐδὲ μικρὸν προσεγγίσαι ἐτόλμα· ἅπερ πάντες θεασάμενοι εἰς εὐθυμίαν ἐκ τῆς πολλῆς ἀθυμίας ἐξάπτοντο, εὐχαριστηρίους τε φωνὰς τῷ Θεῷ ἀνέπεμπον, καὶ τὸν ὅσιον αὐτοῦ ἐμεγάλυνον. ὁ δὲ ταπεινόφρων τῷ ὄντι, καὶ τῶν τοῦ Χριστοῦ ἐντολῶν ἀκριβέστατος φύλαξ, καὶ αὖθις ταπεινόφρων ἐδείκνυτο, καὶ οἷς εἰώθει τὸ θεῖον θεραπεύειν, ἐπεκτείνετο· νηστείᾳ συζῶν ὡς μόνοις τοῖς ἀναγκαίοις τρέφεσθαι· ταπεινώσει δὲ αὐτὸν ἐξευτελίζειν, ὡς μηδὲ γνωρίζεσθαι εἰ αὐτός ἐστιν ὁ προεστώς· ἀγρυπνίαις τε ἑαυτὸν καταξύχων, ὡς μικροῦ τοῖς ἀσωμάτοις συναμιλλᾶσθαι· σὺν τούτοις καὶ ταῖς χερσὶ κοπιῶν, καὶ ἀδιαλείπτως ποιούμενος· ἔγραφε γὰρ ὁ θαυμάσιος καὶ εἰς κάλλος, εἰ καὶ συγγράφων ἦν, καὶ οὕτως ἄμεμπτα ὡς μηδεμίαν λαβὴν διδόναι τοῖς

rat, nihilque apparebat propiùs, quàm largum mox, moxque, è gravidis supernè nubibus imbrem devolui, aut potius jam ingruere pluvia, & campos circumsitos inundare cernebatur. Consternantur id videntes Operæ, doloreque in blasphemias, & id genus alia in quæ solet rabies erumpere, ferebantur. At vir Dei (aderat enim & ipse operarios confortans, & alacritatem ipsis operandi dans) primùm quidem verbis hortatorijs nefanda ejusmodi comprimebat dicta, ægritudinemque ac intemperiem detergebat Animorum; Deinde & ad prandium ipsos vocat: aiens, prandete Filij, & Dominus faciet misericordias suas nobiscum. Sic admonitis curatisque operariis, ipse cum uno solus in areâ relictus, genu versùs orientem flexo labiis submurmurans cum lacrymis Deum reddere propitium precando conabatur, orans imbrem averti ad damnum perniciemque frugum imminentem. Quid igitur velox in auxilium, & voluntatem timentium se faciens? Num audire abnuit suum famulum, aut in eo exaudiendo cunctatus est?

Minimè verò. quin miraculum περὶ ταῦτα κομψοῖς. vetus hic repræsentavit renovans. siquidem imber tamquam ex præscripto loca circum aream undecumque sita obruebat vehemens: areæ autem Iusti, ne paululum quidem appropinquare audebat: quæ omnes videntes in lætitiam ex priori multa tristitia vertebantur, vocesque gratiarum actionis ad Deum mittebant; Sanctumque ipsius magnificabant. At ille verè humilis, & Christi mandatorum exactissimus custos, rursus se magis, magisque humilitate involvebat sua, & in ea, quibus Divinum colere numen solebat religiosa opera se prolixius effundebat, jejunia continuans, ut nihil sibi ultra meram præcisamque necessitatem in victu indulgeret: demissione vero se deprimens tantà, ut cognosci ex specie nequiret esse ipsum Præsidem. vigiliis quoque se ipsum atterens, quasi certare in hoc cum incorporeis auderet mentibus: super hæc & manibus operans, & sine intermissione laborans. Literarum enim citò, & perelegante exarandarum artem homo per omnia mirabilis excellenter callebat, exercebatque indefessè. sed & proprio multa scribebat ingenio; cuncta tam emendatè, ut nullam usquam, vel in talibus morosi ac delicati fastidij censores reprehendendi sibi dari ansam faterentur.

Unum ubi adhuc memoravero, in ejus morte, miraculisque illam commendantibus, orationem claudam. Monasterio, ut est dictum, Deo cooperante, in multitudinem aucto, oportebat; & animalia in eo esse ad usum Monachorum, aliasque familiæ utilitates. In his & equi erant; quorum unus relictus solus sine custode, cum Sanctus in Monasterio non esset, præda facilis Furibus fuit. His igitur abducentibus, equus aliquousque se-

Ἑνὸς ἔτι μνησθεὶς, ἐπὶ τὴν αὐτοῦ τελευτὴν, καὶ ἐκείνης θαύματα τὸν λόγον καταπαύσω. Τῆς μονῆς τοιγαροῦν, τοῦ Θεοῦ συνεργοῦντος, εἰς πλῆθος ἐπιδιδούσης, ἔδει καὶ ζῶα εἰς ὑπουργίαν τῶν μοναχῶν, καὶ τῶν ἑτέρων χρειῶν, συνυπάρχειν· μεθ' ὧν καὶ ἵπποι· εἷς δὲ τούτων ποτὲ μονώτατος ἀπολειφθεὶς, μὴ τοῦ ἁγίου τότε τῇ μονῇ ἐνδημοῦντος, φώριον εὐάλωτος ἐγεγόνει· ἠκολούθει οὖν ὁ ἵππος φώρσι μέχρι τινὸς, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος, ὥστε καὶ αὐτοὺς διορθωθῆναι, καὶ τὸ ὅσιον αὐτοῦ καὶ μὴ

παρόντα δέξασθαι. Οἱ φῶρες δὲ τοῦ ἵππου αὐτοῖς ἑπομένου χαίροντες ἔθεον· ἀλλὰ προσεκτέον τῷ διηγήματι οὐκ ἀχαρίστῳ, ἀλλὰ πολὺ μετὰ τοῦ θαύματος ἔχοντι καὶ τὸ χάριεν. ὡς δ' οὖν τὰ τῆς κλοπῆς, ὡς αὐτοῖς ἐδόκει, πέρας ἔχε, καὶ τὸ κέρδος ἦν ἐν μυχοῖς, καὶ ἐλπίδων ἐμπεπλησμένοι ἔθεον, ἄφνω ἔστη ὁ ἵππος λίθῳ ἐοικὼς, καὶ μηδόλως, τὸ παράπαν κινούμενος. τῶν δὲ ῥαπιζόντων καὶ περιπληκιζόντων, καὶ τῆς φορβᾶς θάτερος θατέρου εἰλημμένος, καὶ ὡς εἶχον ἕλκοντες, αὐτὸς ὡς τί τῶν ἀψύχων ἵστατο, μηδ' ὅλως αὐτοῖς ὑπακούων· μήτε μὴν βαδίζειν ὅλως ἐπὶ τὰ πρόσω ἀνεχόμενος. ἀπογνόντες, οὖν οἱ φῶρες τῆς ἐπὶ τὰ πρόσω πορείας δι' ἧς ἤρχετο, τὸν ἵππον δοκιμάζοντες ὑπέστρεφον· ὡς δὲ τοῖς ὄπισθεν βαδίζειν ᾔσθετο. ὢ τοῦ θαύματος· ὀξύτατά τε ἔβαινε, καὶ προθυμίας πεπλησμένος τὴν ἐφ' ἣν ἤρχετο ἤλαυνε. τοῦτο ἐκεῖνοι ἰδόντες· τέως μὲν ἐκπλήξει καὶ θάμβει συνείχοντο. ἀνενεγκόντες δὲ, καὶ τὸ θαῦμα συλλογισάμενοι, τὸν ἵππον φέροντες τὸ μοναστήριον κατέλαβον· ἐξομολογούμενοι καὶ διομνύμενοι, μηκέτι τοῖς περιττοῖς ἐπιχειρεῖν, ἀλλὰ ταῖς χερσὶ πονοῦντες τὰς τῆς ζωῆς ἀφορμὰς πορίζεσθαι. Καὶ οὗτοι μὲν οὕτως· διὰ πάντων δὲ

quebatur; Deo sic rem administrante, ut & ipsi Latrones emendarentur, & in Sanctum ejus ipsum, licet absentem, redundaret gloria. Prædones igitur equo ipsis prompte obsequente læti currebant. At adverte Lector animum ad narratiunculam non illepidam: sed haud parùm cum admirabilitate habentem etiam festivitatis. cùm igitur securo jam, ut ipsis videbatur, furti successu jumenti abactores gaudium certi lucri, spebus pleni nulla suspicione turbatis, Domum currendo apportare festinarent, subitò equus constitit lapidi similis, nullum omninò motum edens. Illis autem cum urgentibus, propellentibus, pungentibus, arreptoque unus post alium capistro, modò hanc, modò illam in partem, quantum conniti summo conatu poterant, trahentibus, ipse saxea immobilitate, velut simulacrum inanime perstabat, in nullo iis obsequens, promovereque pedem, ac vel pusillum progredi contumacia ineluctabili renuens. Desperantes igitur se bestiam perducere quò intenderant posse, quod frustrà tamdiu se conatos erant exper-

ti, e quo relicto redire ad sua cœperunt. simul autem ipsos retrò cedere animal sensit, statim; ô miraculum! plenus vegeti spiritus, alacritate velocissima versùs Monasterium cursum intendit. id Fures respectantes, cum vidissent, aliquandiù stupore, & admiratione constricti hæserunt, tandem observato miraculo, Dei manum in eo versatam argumentati, mentem pœnitentiâ correctam ad scelus expiandum referendo converterunt. Hoc meliori jam animo post equum currunt, eumque assecuti ad Monasterium reducunt, ultrò fatentes culpam, & de cœtero jurantes se nunquam deinceps aliena rapturos, sed innocenti labore manuum paraturos victum. & illi quidem sic· per omnia verò glorifibatur Deus, qui glorificantes se, vincere, magis ipsos glorificando, gloriatur.

Θεὸς ἐδοξάζετο ὁ μειζόνως ἀντιδοξάζων τοὺς αὐτὸν δοξάζοντας.

Quandoquidem autem oportebat Patrem Sanctum cursu jam consummato, & fide, ut de se ait admirabilis Paulus, servatâ, multorum laborum, & sudorum finem nancisci, dissolvi autem & cum Christo esse, vivificæque adstare Trinitati. in morbum incidit, ex quo beatum accepit finem. Ipsa porro die qua migraturus è tabernaculo corporis erat, Monachus quidam, nomine Leontius, dignitate Presbyter, & è Primoribus Monasterij, matutinis hymnis, ut mos est terminatis, cum somno se dedisset, vocem audit tonitrui similem, quæ vox hæc significabat: *Præparatus est Patri Barthalomæo Thronus successioni*

Ἐπειδὴ δὲ ἔδει αὐτὸν τὸν δρόμον τελέσαντα, καὶ τὴν πίστιν, κατὰ τὸν θαυμάσιον Παῦλον τηρήσαντα, τῶν πολλῶν πόνων καὶ ἱδρώτων λυθῆναι, ἀναλῦσαί τε καὶ σὺν Χριστῷ εἶναι, καὶ τῇ ζωαρχικῇ Τριάδι παρέστασθαι. νόσῳ περιπίπτει, ἐν ᾗ καὶ τὸ μακάριον τέλος ἐδέξατο· αὐτῇ δὲ τῇ ἡμέρᾳ ἐν ᾗ τοῦ σκήνους ἐκδημεῖν ἔμελλε, μοναχός τις ὀνόματι Λεόντιος, πρεσβύτερος τε τὴν ἀξίαν, καὶ τῶν ἐν τῇ μονῇ τὰ πρωτεῖα φερόντων, τῶν ὀρθρινῶν ὕμνων ὡς ἔθος πέρας λαχόντων, ὕπνῳ ἑαυτὸν ἐκδεδωκώς, φωνῆς ἀκούει βροντῇ παραπλησίας· ἡ δὲ φωνὴ τάδε ἐδήλου. ἡτοίμασται τῷ Πατρὶ Βαρθολομαίῳ θρόνος ἀδιάδοχος· σύντρομος οὖν γενόμενος, καὶ τῆς κέλλης ἀναστάς, καὶ ἅλματι ἐκπηδήσας, ἤρετο τοὺς παρατυγχά-

τοῦντας, εἰ δὲ αὐτοὶ τῆς φωνῆς ἠκηκόεισαν; τῶν δὲ μηδὲν ἀκηκοέναι φησάντων, ἐκεῖνος· καὶ μὴν, ἔφη, ἐν τῇ Τουσκουλάνῃ τὴν φωνὴν ἐκείνην νομίζω ἀκουσθῆναι. καὶ ταῦτα μὲν ἡ φωνὴ, τὰ τῷ ἁγίῳ ἑτοιμασθέντα ἀγαθὰ, καὶ ἧς ἀπολαύειν ἔμελλε δόξης, καὶ ἡμῖν κατάδηλα ποιοῦσα· ἡμέρας δὲ ἤδη κλινούσης καὶ ὁ μακάριος πρὸς Κύριον ἐξεδήμησε. καὶ νῦν ἐστὶν ἐν τοῖς οὐρανοῖς Θεὸν ὁρῶν, καὶ ὁρώμενος ὃν ἠγάπησεν, ὃν ἐθεράπευσεν, ᾧ καὶ ἐντυγχάνει ἀμέσως τὰς ὑπὲρ ἡμῶν ἱκετηρίας ποιούμενος.

non obnoxius. Tremens igitur cella exurgit, ac saltu extra erumpens obvios percontabatur; ecquid & ipsi vocem audissent? quibus se nihil audisse respondentibus; ille; *atqui*, ajebat, *in ipsa quoque Tusculana urbe vocem auditam equidem arbitror.* Et hæc quidem vox, ista parata Sancto bona, & quâ fruiturus erat gloriam, nobis quoque manifesta faciens. Inclinante porrò jam die Beatus ad Dominum migravit: & nunc est in Cœlis Deum videns, visus ab ipso vicissim, quem amavit, cui obsecutus est, apud quem intercedit coràm agens, & supplicationes pro nobis offerens.

Οὐ δίκαιον δὲ τὸ μετὰ τὴν αὐτοῦ ἐκδημίαν γινόμενον θαῦμα παρελθεῖν ἀδιήγητον, τῇ φωνῇ μᾶλλον τῇ τῷ μοναχῷ Λεοντίῳ ἀκουσθείσῃ ἰσοδυναμοῦν, καὶ ταύτῃ τοῦτο πιστούμενον· ἕτερός τις μοναχὸς Φράγγος λεγόμενος, ἀσθενείᾳ περιπεσὼν, τὸ χρεὼν ὡς ἐδόκει ἀπῄτει; καὶ τῆς φωνῆς αὐτοῦ ἐκλιπούσης, νεκρὸς ἑωρᾶτο, ἄφωνος, ἀκίνητος, μηδεμίαν ζωτικὴν δύναμιν ἐμφαίνων· συνδρομῆς οὖν τῶν ἀδελφῶν, ὡς εἰκὸς γενομένης· καὶ, τῶν μὲν ταφῇ παραδίδοσθαι λεγόντων. τῶν δὲ ἐπὶ τούτῳ ἀναβαλλομένων· ἡ μὲν ἡμέρα ταῖς ἀρχαῖς τῆς νυκτὸς ἤδη ἐπλησίαζεν,

Nec fas est indictam prætermittere miram rem post ejus migrationem actam: testimonium de Sancti post mortem felicitate continentem, paris admodum autoritatis cum voce à Leontio audita, quæ & ipsa suo quasi suffragio isti alteri mox à me narrando eventui fidem adstruit. Alius quidam Monachus, Frangus appellatus, gravi morbo laborans, brevi moriturus putabatur, aut potiùs jam extinctus justa modò funebria poscere, nam vocis usu amisso non aliam quàm mortui præferebat spe-

ciem, sine spiritu, immobilis, nullum signum edens vitalis ullius facultatis. Concursu igitur Fratrum ad tale, ut par erat, Ægri symptoma facto, variabant sententiæ: quibusdam sine mora curandam sepulturam censentibus, aliis opinantibus cunctandum adhuc donec certiora mortis verè obitæ indicia extarent. Expectatum ergo die toto, noctis autem principio instante, cum nihilo minus immobilis, & sensu cassus omni qui jacebat cerneretur; haud ampliùs quin esset mortuus dubitandum rati, præparare Cadaver ad sepulturam lotione solitâ cœperunt, ubi autem aquâ in corpus injectâ hinc inde illum conabantur vertere; subitò ecce qui credebatur mortuus vivus apparuit; ante mutus loquens auditus est. conquerens enim de lavantibus dixit: cur me Fratres vexare voluistis? quam ob causam me suaviter dormientem excitastis? cui illi: Mortuo Tibi per totam continenter diem viso, hac tandem horâ vespertinâ tempestivè credidimus adhibendam debitam mortuis lotionem. Ad ea rursus jacens narrare quæ viderat in hunc modum cœpit.

ὁ κείμενος δὲ καὶ αὖθις νεκρὸς ὁρᾶτο· λοῦται πίνουν αὐτοῦ τὸ ἐπιτάφιον περιλυπηθέντες, ὡς τὸ ὕδωρ αὐτῷ ἔβαλον, καὶ περιστρέφειν ἔνθεν κἀκεῖθεν ἐπειρῶντο, ἄφνω ὁ νεκρὸς ζῶν ἦν, καὶ ὁ πρὸ μικροῦ ἄφωνος λαλῶν ἐδείκνυτο· καὶ τοῖς λούουσιν ἐπιμεμφόμενος, ἔλεγε· τί με, ἀδελφοί, βιάσαι ἐπεχειρίσατε; διὰ τί δέ με ἡδέως ὑπνώττοντα διυπνίσατε; οἱ δὲ πρὸς αὐτόν· νεκρόν σε ὅλην τὴν ἡμέραν βλέποντες, νυνὶ λοῦσαι διενοήθημεν· αὖθις οὖν ὁ κείμενος διηγεῖσθαι ἀπήρξατο· ἐγὼ, εἴτε ἐνδημῶν, εἴτε ἐκδημῶν τοῦ σώματος, ἑώρων ἐμαυτὸν ἔν τινι τόπῳ μόνον πορευόμενον· δύο δὲ περιστερὰς προπορευομένας μου, τῶν ἡ μὲν μία λευκὴ, θατέρα δὲ μέλαινα, περιίπτατό με· ἡ μὲν λευκὴ δεξιὰ, ἡ δὲ μέλαινα ἐξ ἀριστερῶν· οὕτως οὖν ἐκείνων προπορευομένων, κἀμοῦ ἑπομένου, ἔν τινι χώρῳ κατηντήσαμεν· ὁ δὲ χῶρος, φωτὸς ἀρρήτου καὶ εὐωδίας ἐπέπληστο· ᾧ χώρῳ προσεσχηκὼς τὸν πατέρα ἡμῶν τεθέαμαι ἱστάμενον· κύκλῳ δὲ αὐτοῦ πλῆθος πενήτων· τὸν δὲ μέσον τὴν χεῖρα ἐκτείνοντα, καὶ ὡς δὴ ἐπιχορηγοῦντα, αὐτοῖς ἄρτον· ὡς δὲ τὸ ὄμμα περιστρέψας ἐθεάσατό με· τί σὺ ἐνταῦθα Φάγγε, ἔφη, καὶ τίς ὁ ἐνταῦθα ἀγαγών σε; ἐγὼ δὲ πρὸς αὐτόν· ὅπως παραγενόμενος ἀπήγγελλον·

γελλον· ὁ δὲ πατὴρ καὶ αὖθις ἤρετο· καὶ πῶς οἱ ἀδελφοὶ ἡμῶν διάγουσι; καλῶς διὰ τοῦ Θεοῦ καὶ τῶν σῶν εὐχῶν, φημὶ ἐγώ· ὁ δὲ, ὑπόστρεφε εἰς τὸ μοναστήριον, καὶ εἰπὲ τοῖς ἀδελφοῖς, ἐμμένειν τῇ παραδόσει ᾗ παρέδωκα αὐτοῖς. ταῦτα εἰπὼν ἐνδοτέρω χωρεῖν ἐδόκει· πορευομένου οὖν αὐτοῦ κἀμοῦ ἑπομένου, οὐ γὰρ ἤθελον χωρισθῆναι αὐτοῦ, εἴς τινα πόλιν κατηντήσαμεν ἧς τὸ κάλλος ἐξειπεῖν γλώσσῃ ἀνθρωπίνῃ ἀδύνατον· ἐν ἑνὶ δὲ τῶν ἐκεῖσε ἀνακτόρων τοῦ πατρὸς εἰσελθόντος, κἀγὼ συνεισῆλθον αὐτῷ, ἐν ᾧ θρόνον ἐθεασάμην ἐνδοξότατον πάνυ, εἰς ὃν ἀνελθὼν ὁ πατὴρ κεκάθικεν. δύο δέ τινες αὐτῷ παρειστήκεσαν, ὧν τὰ πρόσωπα ὑπὲρ τὸν ἥλιον· ἐπιστραφεὶς οὖν καὶ θεασάμενός με, φησί. ὦ ἐνταῦθα Φράγγε ἥκεις; ὑπόστρεφε εἰς τὸ μοναστήριον, καὶ καθὼς εἶπόν σοι, εἰπὲ τοῖς ἀδελφοῖς, ἐμμένειν ἐν ἀρετῇ καὶ τῇ τῶν καλῶν ἐργασίᾳ, καὶ ἐπιμονῇ. καὶ ἐν τῇ Κυρίᾳ μου ἐλπίζω καὶ Δεσποίνῃ, τὸ ὄμμα ὑπεράνωθεν ἐρείσας, ὅτι οὐκ ἐγκαταλειφθήσεσθε, οὔτε χωρισθήσομαι ὑμῶν, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. οὕτως τοῦ πατρὸς εἰπόντος, κἀγὼ τὸ ὄμμα, ὑπὲρ κεφαλῆς αὐτοῦ ἐρείσας, γυναῖκα εἶδον ἐπὶ θρόνου φοβεροῦ καθεζομένην, ἧς τό κάλλος ὦ τὴν δόξ-

Ego sive in corpore, sive extra corpus, videbam me ipsum in quodam loco ambulantem solum: duas verò columbas præeuntes mihi, quarum una quidem alba, altera nigra erat. volabant autem hinc, & inde: alba mihi à dextris, nigra à sinistris. sic igitur illis præeuntibus, & pone sequente me, certam in Regionem devenimus planè felicem. nam, & luce ineffabili fulgebat, & plena erat suavissimi odoris. Ubi cum attentiùs circumspexissem, Patrem nostrum vidi stantem: circum autem ex omni parte densam Pauperum turbam. ipse autem medius manum hùc, & hùc protendens panem cuique porrigebat. Is porrò conversis me oculis intuens: Tune hic ades, inquit, Frange? & quis te hunc in locum duxit? ego verò ipsi quomodo venissem exposui. At Pater rursus percontabatur: ut, inquiens, valent Fratres Nostri? bene per Dei gratiam & preces tuas, dixi ego. ille verò: revertere in Monasterium, & dic Fratribus, ut permaneant in traditione quam ipsis tradidi. Ea locu itusnteriùs recedere videbatur. Proficiscente igitur illo, &

me ſequente (neque enim volebam ſeparari ab ipſo) pervenimus ad quamdam Civitatem, cujus pulchritudinem exprimere lingua humana nequit. in unam autem Regiarum illic undique renidentium Ædium ingreſſo Patre noſtro , & ego ingreſſus cum ipſo ſum : in qua Thronum vidi incomparabili ornatu ſpecioſum, quem inſcendens Pater noſter in eo conſedit : duo autem quidam ipſi adſtabant, quorum vultus ſole lucidiores : converſus igitur , & intuens me ait : *etiam huc venis , Frange ? revertere in Monaſterium , & ſicut mandavi tibi , Dic Fratribus , ut permaneant in virtute , in bonorum operum exercitio , in patientia. & in Dominâ meâ confido ac Patrona* (hæc dixit , intuitu in ſuperna defixo) *fore ut non derelinquamini ; nec ſeparer ego à vobis ſivè in hoc ſeculo ſivè in futuro.* Sic Patre locuto , ego ſublatis ſuprà caput eius altè ac fixè intuens oculis , mulierem vidi Throno Majeſtatis inſidentem, & ex ea procedentem ſplendorem verbis exequi non poſſum. Circum autem ipſam ſplendidos quoſdam & reverenter , & venerabundè adſtantes : quam & intellexi Sanctam Deiparam eſſe. Hæc cum vidiſſem & audiſſem exivi Palatio , & rurſus præcedentibus me columbis, quas dixi , duabus huc perveni.

αὐτῆς ἐκπεμπομένην λαμπρότητα ἐξειπεῖν ἀμήχανον. κύκλῳ δὲ αὐτῆς λαμπρούς τινας ἐν φόβῳ παρεστῶτας καὶ σεβάσματι· ἣν καὶ ὑπενόησα τὴν ἁγίαν Θεοτόκον εἶναι· ταῦτα θεασάμενος καὶ ἀκούσας ἐξῆλθον τοῦ Παλατίου· καὶ πάλιν τῶν περιστερῶν ἐκείνων προπορευομένων μου, τὰ ἐνταῦθα κατέλαβον.

Et hæc quidem ſe vidiſſe, & audiviſſe Monachus retulit. Nos autem duobus hiſce omni fide dignis confirmati teſtimoniis ; altero ex ſancta ejus , & ad omnem exactâ virtutem vita , altero ex miraculis , quæ per ipſum effecit Deus, indubitabili perſuaſione , & deſiderio ferventi , memoriam ipſius feſtivè colimus , & ſacrum feretrum,


Ταῦτα μὲν ὁ μοναχὸς καὶ θεασάμενος καὶ ἀκούσας ἀπήγγειλεν· ἡμεῖς δὲ διὰ δισσοῖν πληροφορηθέντες , ἀπό τε τοῦ ἐναρέτου καὶ ἠκριβωμένου βίου αὐτοῦ , ἀπό τε τῶν θαυμασίων ὧν δι' αὐτοῦ πεποίηκεν ὁ Θεὸς , ἀδιστάκτῳ τῇ γνώμῃ καὶ πόθῳ ζέοντι , τὴν μνήμην αὐτοῦ ἑορτάζοντες , καὶ τὴν σορὸν τῶν λειψάνων κατασπαζόμενοι , μεσίτην αὐτὸν καὶ πρέσβυν πρὸς τὸν

Σωτῆρα ἡμῶν καὶ Θεὸν ἔχειν ἐξαιτούμεθα· ἵνα ταῖς τούτου πρεσβείαις, καὶ τῆς Κυρίας ἡμῶν καὶ Δεσποίνης Ἀειπαρθένου, τῶν ἐκείνῳ κληρωθέντων ἀγαθῶν μὴ ἀποτύχωμεν· ἀλλ' εὕρωμεν κλῆρον καὶ μερίδα μετὰ πάντων τῶν ἁγίων τῶν εὐαρεστησάντων αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν· ᾧ ἡ δόξα σὺν τῷ προανάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ συνανάρχῳ καὶ ζωαρχικῷ, καὶ ζωοποιῷ καὶ ἀγαθῷ Πνεύματι, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ubi sunt ejus reliquiæ depositæ exosculantes, mediatorem illum, & interpretem apud Salvatorem & Deum ut nobis habere contingat poscimus: quò ejus orationibus, itemque Dominæ ac Patronæ nostræ semper-Virginis Deiparæ, bonorum quæ ille sortitus est participatione non excidamus. Sed inveniamus sortem, & partem cum omnibus Sanctis qui placuerunt ipsi Christo, & Deo nostro; cui gloria cum prææterno ipsius Patre, & Coæterno vitæ autore, vivifico, & bono Spiritu, nunc & semper in sæcula sæculorum. Amen.

LAUS DEO.

Finis Thesauri Ascetici.



INDEX RERUM.


BIBLIOTECA NAZ.
ROMA
VITTORIO EMANUELE

ERRATA IN GRÆCIS.

P. 4. v. 1. ἐκ corrige ἐν.
Ibid. v. 9. post εἴτε. adde: ἐσθίετε, εἴτε.
P. 6. v. 7. συχνῶς corr. συνεχῶς.
P. 22. v. 3. λυρώσεως. λυτρώσεως.
P. 94. v. 5. πνεύματοις. πνεύματος.
P. 155. v. 21. ἐπι. ἐςι.
P. 216. v. 18. χριτ. χριςὸν.
P. 220. v. 27. χριθȣ. χριςȣ.
Ibid. v. pen. ῥοπονηρίας. πονηρίας.
P. 223. v. 16. ἀῤῥιςῶς. ἀκριϐῶς.
P. 273. v. 18. ἀναιἔλ. ἀνἔιλαι.
P. 349. v. 23. καυδία. καρδία.
P. 350. v. 14. φλαρυρία. φιλαργυρία.
P. 380. v. 13. ἐπιλωϐέθαι. ἐπιλαϐέσθαι.
Ibid. v. 8. γίναται. γίνεται.
Mutationes alibi paucæ Literarum, spirituum, vel accentuum, facilè agnoscentur à perito, & corrigentur à benigno Lectore.

ERRATA IN LATINIS.

In Ep. nuncupatoriâ.
Pag. 4. v. 21. *post*, audierat, *adde* prodiret.
P. 8. v. 9. omino corr. omninò.
P. 137. v. 10. *post* comparo, *adde* ei.
P. 145. v. 20. divitas. divitias.
P. 214. v. 12. ad. ac.
P. 228. v. 14. contede. contende.
P. 247. v. 8. imponans. imponas.
P. 295. v. 23. *post* ajò, *adde* renidens.
P. 303. v. 20. famuli. diaconi.
P. 353. v. 15. amovent. admovent.

Pauca & leviora cætera, oculi eruditi censuræ relinquimus.



